AESCHYLI
TRAGOEDIAE
QUAE SUPERSUNT
AC
DEPERDITARUM
FRAGMENTA.

RECENSUIT
ET
COMMENTARIO
ILLUSTRAVIT
CHR. GODOFR. SCHÜTZ.

VOL. IV.

SCHOLIA GRAECA
IN SEPTEM AESCHYLI, QUAE EXSTANT,
TRAGOEDIAS.

HALAE,
IN BIBLIOPOLIO GEBAUERIANO
MDCCCXXI.

LECTORIBUS
S. D.
EDITOR.

Scholia graeca in ſuperſtites Aeſchyli Tragoedias primus ſeparatim edidit Franciſcus Robortellus Venet. 1552. 8. Deinde ea plurimis in locis locupletata et paene infinitis, ut ait, emendata *Petrus Victorius* editioni ſuae Tragoediarum adjunxit, ex officina Stephani 1557. 4. Ex hac editione Stanlejus ſcholia graeca in ſua Tragoediarum editione repetiit, et illa quidem in tres priores tragoedias e cod. Barocciano in bibliotheca Arundeliana locupletavit, ex alio codice ſcholia inedita adjecit. Butlerus V. C. in editione tragoediarum Aeſchyli Scholia ſic diſpoſuit ut ſingulis tragoediis primum Σχόλια πρῶτα, deinde Σχόλια δεύτερα, tum ubi exſtant etiam Σχόλια τρίτα adjiceret. Sic ad Prometheum vinctum p. 49 ſqq. poſita

sunt Σχόλια πρῶτα; p. 80 sqq. Σχόλια δεύτερα, p. 113 sqq. Σχόλια τρίτα. Nos commoditati lectorum inserviendum putavimus hac ratione, ut ad singulos versus scholia prima, secunda, tertia, literis α′, β′, γ′ distincta referremus.

Ceterum proximo editionis nostrae volumine fragmenta deperditarum Aeschyli fabularum, et supplementa annotationum ad eas quae extant tragoedias continebuntur.

Scr. in Academia Fridericiana Halensi et Vitebergensi consociata Idibus Decembr. MDCCCXX.

SCHOLIA
IN
AESCHYLI TRAGOEDIAS.

SCHOLIA
IN
PROMETHEUM VINCTUM.

ὙΠΟΘΕΣΙΣ
ΤΗΣ ΤΟΥ ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑΣ
ΠΡΟΜΗΘΕΩΣ ΔΕΣΜΩΤΟΥ.

Προμηθέως ἐν Σκυθίᾳ δεδεμένου διὰ τὸ κεκλοφέναι τὸ πῦρ, πυνθάνεται Ἰὼ πλανωμένη, ὅτι κατ' Αἴγυπτον γενομένη, ἐκ τῆς ἐπαφήσεως τοῦ Διὸς τέξεται τὸν Ἔπαφον. Ἑρμῆς δὲ παράγεται ἀπειλῶν αὐτῷ κεραυνωθήσεσθαι, ἐὰν μὴ εἴπῃ τὰ μέλλοντα ἔσεσθαι τῷ Διΐ. Προέλεγε γὰρ ὁ Προμηθεύς, ὡς ἐξωσθήσεται ὁ Ζεύς, τῆς ἀρχῆς ὑπό τινος οἰκείου υἱοῦ. Τέλος δὲ βροντῆς γενομένης ἀφανὴς ὁ Προμηθεὺς γίνεται.

Κεῖται δὲ ἡ μυθοποιΐα ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ, Κόλχοις, παρὰ δὲ Εὐριπίδῃ ὅλως οὐ κεῖται. Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Σκυθίᾳ ἐπὶ τὸ Καυκάσιον. Ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ὠκεανίδων νυμφῶν. Τὸ δὲ κεφάλαιον αὐτοῦ ἐστὶ Προμηθέως δέσις.

Ἄλλως.

Προμηθέως ἐκ Διὸς κεκλοφότος τὸ πῦρ καὶ δεδωκότος ἀνθρώποις, δι' οὗ τέχνας πάσας ἄνθρωποι εὕροντο, ὀργισθεὶς ὁ Ζεὺς παραδίδωσιν αὐτὸν Κράτει καὶ Βίᾳ, τοῖς αὐτοῦ ὑπηρέταις, καὶ Ἡφαίστῳ, ὡς ἂν ἀγαγόντες πρὸς τὸ Καυκάσιον ὄρος δεσμοῖσι σιδηροῖς αὐτὸν ἐκεῖ προσηλώσαιεν. Οὗ γενομένου παραγίνονται αἱ Ὠκεαναῖαι νύμφαι πρὸς παραμυθίαν αὐτοῦ, καὶ αὐτὸς ὁ Ὠκεανός, ὃς δὴ καὶ λέγει τῷ Προμηθεῖ, ἵνα ἀπελθὼν πρὸς τὸν Δία δεήσεσι καὶ λιταῖς πείσῃ αὐτὸν

A 2

τὰ τοῦ δράματος πρόσωπα: κράτος καὶ βία. ἥφαιστος. χορὸς ὠκεανίδων. προμηθεύς: ὠκεανός: γῆ. ἡρακλῆς: ἑρμῆς: ἰὼ ἰνάχου:

ἐκλῦσαι τοῦ δέσμου Προμηθέα. Καὶ Προμηθεὺς οὐκ ἐᾷ, τὸ τοῦ Διὸς εἰδὼς ἄκαμπτον καὶ θρασύ. Καὶ ἀναχωρήσαντος τοῦ Ὠκεανοῦ, παραγίνεται Ἰὼ πλανωμένη, ἡ τοῦ Ἰνάχου, καὶ μανθάνει παῤ αὐτοῦ ἅ τε πέπονθε καὶ ἃ πείσεται, καὶ ὅτι τίς τῶν αὐτῆς ἀπογόνων λύσει αὐτόν, ὅς ἦν ὁ Διὸς Ἡρακλῆς, καὶ ὅτι ἐκ τῆς ἐπαφήσεως τοῦ Διὸς τέξει τὸν Ἔπαφον. Θρασυστομοῦντι δὲ Προμηθεῖ κατὰ Διός, ὡς ἐκπεσεῖται τῆς ἀρχῆς ὑφ᾽ οὗ τέξεται παιδός, καὶ ἄλλα βλάσφημα λέγοντι, παραγίνεται Ἑρμῆς Διὸς πέμψαντος, ἀπειλῶν αὐτῷ κεραυνόν, εἰ μὴ τὰ μέλλοντα συμβήσεσθαι τῷ Διῒ εἴπῃ, καὶ μὴ βουλόμενον βροντὴ καταῤῥαγεῖσα αὐτὸν ἀφανίζει. Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Σκυθίᾳ ἐπὶ τὸ Καυκάσιον ὄρος. Ἡ δὲ ἐπιγραφὴ τούτου Προμηθεὺς δεσμώτης.

v. 1. Σχολ. Α. τηλουρὸν πέδον] *) τὸν Καύκασον λέγει. Ἰστέον δέ, ὅτι οὐ κατὰ τὸν κοινὸν λόγον ἐν Καυκάσῳ φησὶ δεδέσθαι τὸν Προμηθέα, ἀλλὰ πρὸς τοῖς Εὐρωπαίοις τέρμασι τοῦ Ὠκεανοῦ, ὡς ἀπὸ τῶν πρὸς τὴν Ἰὼ λεγομένων ἐστὶ συμβαλεῖν. Τηλουρὸν δὲ διὰ τὸ πολὺ τοῦ ὄρους ἐνταῦθα ἐκάλεσεν, ἤγουν τὸ ἐπὶ πολὺ διῆκον καὶ ἕλκον τὰ οἰκεῖα ὅρια μακράν. Ἢ διὰ τὸ ὑψηλόν, ἀφ᾽ οὗ πόῤῥω τις ὁρᾷν δύναται.

Β. χθονὸς] γῆς. Τηλουρὸν] ὑψηλόν, μακρόν, ἀφ᾽ οὗ τῆλε καὶ μακρὰν ὁρᾷν τις δύναται. Λέγει δὲ τὸν Καύκασον, ἢ τὸ ἀκρόθεν ὁρώμενον τὰ οἰκεῖα ὅρια, ἤγουν τὸ μακρὸν καὶ εἰς πολὺ τεταμένον. Ἢ διὰ τὸ πολὺ τοῦ ὄρους ἐκάλεσεν αὐτὸ τηλουρὸν τὸ ἐπὶ πολὺ ἕλκον, ἢ διὰ τὸ ὕψος. Ἰστέον ὅτι ἐν τῷ Καυκάσῳ οὐ φησὶ δεδέσθαι τὸν Προμηθέα, ἀλλὰ πρὸς τοῖς Εὐρωπαίοις τέρμασι τοῦ Ὠκεανοῦ, ὡς ἀπὸ τῶν πρὸς τὴν Ἰὼ λεγομένων ἐστὶ συμβαλεῖν.

Γ. χθονὸς] Περάσαντες τὸ πολὺ διάστημα τῆς χθονός. Τουτέστι πόῤῥω ἀφοριωμένοι. Τηλουρὸν] τὸ ὄρος τοῦ Καυκάσου. Ἀπὸ τοῦ τῆλε καὶ ὁρῶ. Ἢ τὸ τῆλε

---

*) τήλουρον] πόῤῥω ἀφωρισμένην. Τινὲς μὲν ὡς Πανοῦργον, τινὲς δὲ ὡς κηπουρόν, τῷ τόνῳ Hesych.

καὶ μακρὰν τῶν ὁρίων ἡμῶν. Ἄλλως. Τηλουρὸν εἶπεν εἰς τὸ ἀπαραμύθυτον τοῦ δεθησομένου. Καὶ Σοφοκλῆς τὸ αὐτὸ περὶ Φιλοκτήτου λέγει. Ἤ, εἰς τὸ τηλοῦ τὸν ὅρον ἔχων, ὅ ἐστι πόῤῥω· τουτέστι τὸ μακρὰν ᾠκισμένον.

v. 2. Α. Σκύθην ἐς οἶμον] ἤγουν τὴν Σκυθικὴν ὁδόν. Ἵνα γὰρ ἀπαραμύθητος εἴη ὁ Προμηθεύς, διὰ τοῦτο ἐς ἐκείνους τόπους ἄγουσιν. Ὡς καὶ Σοφοκλῆς τὸ αὐτὸ περὶ Φιλοκτήτου λέγει. Ἢ διὰ τοῦτο Σκυθικὴν ὁδὸν εἶπε, διότι Σκύθαι κατῴκουν τὸν Καύκασον, ἢ διὰ τὸ ἄγριον καὶ ἀπάνθρωπον τοῦ τόπου. Ὅτι δὲ τοιοῦτος ἦν ὁ τόπος ἐκεῖνος, δῆλον ἀπὸ τοῦ εἰπεῖν ἄβατον εἰς ἐρημίαν.

Β. Σκυθῆν οἶμον] Σκυθικὴν ὁδόν, ἢ διὰ τὸ ἀπαραμύθητον τοῦ δεθησομένου, καὶ Σοφοκλῆς τὸ αὐτὸ περὶ Φιλοκτήτου λέγει. Ἢ ὅτι ἐπειδὴ Σκύθαι κατῴκουν τὸν Καύκασον οἱ καὶ ἄγριοι καὶ ἀπάνθρωποι Σκυθικὴν ὁδὸν εἶπε. Ἄβατον] εἰς ἣν οὐδεὶς βαίνει, διὰ τὸ τραχύ.

Γ. Σκυθικόν, τὸ ἀπόλυτον ἀντὶ κτητικοῦ ἁπλοῦν. Ἄβατον] Δύςβατον.

v. 3. Α. Ἐπιστολὰς] Ἐντολάς· γράφεται καὶ ἐπιτολὰς δίχα τοῦ Σ, κατὰ τοὺς Ἀθηναίους.

Β. Χρὴ] πρέπει. Μέλειν] διὰ φροντίδος ἔχειν. Ἐπιστολὰς] ἐντολάς.

Γ. Ἐπιστολὰς] Ἐπιτέλλειν τὸ προστάσσειν, καὶ ἐντέλλεσθαι, ἐξ αὐτοῦ δὲ προςθέσει τοῦ Σ ἐπιστολὴ ἡ ἐντολή. Ἐπιστολὰς ἀντιπτωτικόν, τῶν ἐπιστολῶν τῆς προςτάξεως.

v. 4. Β. πατὴρ] ὁ Ζεύς. Ἐφεῖτο] ἐνετείλατο. τόνδε] τὸν Προμηθέα.

Γ. Ἐφεῖτο] Ἐδίδου, ἐνετείλατο, ἐκέλευσεν.

v. 5. Γ. ὑψηλοκρήμνοις] ταῖς ἐχούσαις ὑψηλοὺς κρήμνους. Α. τὸν λεωργὸν] τὸν Προμηθέα λέγει τὸν ὀφείλοντα ἔργον λάεσιν ἤτοι λίθοις, οἱονεὶ τὸν ἔχοντα ἔργον τοῖς λαοῖς ἀπαγγέλλειν τὰ τῶν θεῶν ἔργα καὶ βουλεύματα. Ἢ τὸν τοὺς λαοὺς ἐργασάμενον, ἤγουν τὸ τῶν ἀνθρώπων πλῆθος. Οὗτος γὰρ μυθεύεται πλάσαι τὸν ἄνθρωπον. Ἄλλως. Λεωργὸν τοῖς λαοῖς ἔργα παρασχόμενον διὰ τοῦ πυρός.

Ἢ τὸν ἄξιον γενέσθαι ἔργον καὶ παρανάλωμα λάων, τουτέστι λίθων. Ἄλλως. Λεωργόν, τὸν λαῶν ἔργον ὀφείλοντα γενέσθαι *).

B. τὸν λεωργὸν] τὸν τοῖς λαοῖς ἔργα παρασχόμενον διὰ τοῦ πυρός. Ἢ τὸν ἄξιον ἔργον καὶ παρανάλωμα λίθων γενέσθαι, ὡς κλέπτην καὶ θεῶν παρήκοον.

Γ. τὸν λεωργὸν] τὸν Προμηθέα, πανοῦργον. Ἄλλως. ὡς ὀφείλονται γενέσθαι ἔργον λαοῦ, οἱονεὶ τὸν ἄξιον λιθασθῆναι ἢ τὸν τοὺς λαοὺς ἐργαζόμενον· μυθεύεται γὰρ καὶ λίθους πλάσαι τοὺς ἀνθρώπους.

ὀχμάσαι] B. δῆσαι, προσπῆξαι. Γ. Συνδῆσαι, κατέχειν.

v. 6. B. ἀδαμαντίνοις] Σιδηρίοις, στεῤῥαῖς. Ἀδάμας λίθος οὕτω στεῤῥός, ὡς μὴ δύνασθαι ὑπὸ τοῦ σιδήρου τμηθῆναι, αἵματι δὲ τράγου ἢ λέοντος μαλάσσεται· διὰ τὸ τὸν μὲν ἀδάμαντα ψυχρὸν καὶ ξηρὸν ἄγαν εἶναι, τὸ δ' αἷμα θερμὸν καὶ ὑγρὸν ἄγαν εἶναι.

B. πέδησιν] δεσμαῖς.

B. ἀῤῥήκτοις] στεῤῥαῖς. Γ. ἀναῤῥαγέσι, ταῖς μὴ ἐχούσαις φύσιν ῥηγνῦσθαι.

Γ. Πέτραις] τοῦτο δηλοῖ τὸ ἐκ δευτέρου πέτραις· οὐ μόνον ταῖς πέτραις οὔσαις ὑψηλοκρήμνοις, ἀλλὰ καὶ πέτραις ἐμπέδοις καὶ στερεαῖς· εἰσὶ γὰρ ἐν ὄρει πέτραι.

v. 7. τὸ σὸν γὰρ ἄνθος] A. ταῦτα πρὸς ἐρεθισμὸν τοῦ Ἡφαίστου φασὶ τὸ Κράτος καὶ ἡ Βία, ἵνα σπουδαῖον αὐτὸν ἀπεργάσωνται πρὸς τὸν τοῦ Προμηθέως ἀνασκολόπισιν, ταῦτα γὰρ ἐρεθίζει τὸν Ἥφαιστον, ὡς εἰ ἔλεγε, τὸν σὸν κόσμον· παρὰ τὸ Ὁμήρου Iliad.

Αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ.

Ἄνθος] B. καλλώπισμα.

Ἄνθος] Γ. Καὶ καλλωπισμὸν ἀφείλετο. Ὁ γὰρ Προμηθεὺς κλέψας τὸ πῦρ ἀπὸ τοῦ Διὸς ἄγνωστον ὂν πρὶν τοῖς ἀνθρώποις παρέσχεν, ὡς ἂν δι' αὐτοῦ πάντα ἐργάζοιντο.

*) Λεωργόν, κακοῦργον, πανοῦργον, ἀνδροφόνον. Hesych.

Ἄνθος δὲ λέγει τὸ πῦρ, διὰ τὸ ἀνάπτεον, οἷον ἀνθεῖν, ἔπειτα δὲ μαραίνεσθαι.

παντέχνου] Β. Δι' οὗ πᾶσαι γίγνονται αἱ τέχναι. Γ. τοῦ αἰτίου πάσης τέχνης *).

v. 8. θνητοῖσι] Β. ἀνθρώποις. ὤπασε] παρέσχε. τοίας] τοιαύτης.

v. 9. Ἁμαρτίας] Γ. ἕνεκα. Σφε] Α. τὸ Χ διὰ τὸ σφέ. σφε] Β. αὐτόν.

Δεῖ] Β. πρέπει. Γ. ἀπόκειται, ἐνδέχεται.

Δοῦναι τιμὴν] Β. Παρασχεῖν τιμωρίαν. δοῦναι δίκην] Γ. Τιμωρηθῆναι, τῆς τοιαύτης οὖν ἁμαρτίας ἐνδέχεται δοῦναι δίκην.

v. 10. ὡς] Β. ἵνα. διδαχθῇ] μάθῃ καὶ νοήσῃ.

τυραννίδα] Β. τὴν ἀρχήν, ἢ τὴν βασιλείαν. Γ. Σημείωσαι, ὅτι τὸ τύραννος ὄνομα βασιλικὸν ἦν τοῖς παλαιοῖς, νῦν δὲ βλασφημεῖται, ὥςπερ καὶ τὸ χυδαῖοι ἀντὶ τοῦ πεπληθυσμένοι πάλαι λεγόμενον· νῦν δὲ ἀντὶ τοῦ οὐδαμινοί. πολλοστὸς οὐχ ὡς πάλαι, ὁ πολύς, ὁ ἔνδοξος, ἀλλ' ὁ μηδὲν ὤν· ὠμὸς οὐχ ὁ στερεός, ἀλλ' ὁ φαυλότατος νῦν· ἐξαίσιον, τὸ ἔξω τοῦ δικαίου, νῦν δέ, ἀντὶ τοῦ μέγα καὶ ξένον.

v. 11. στέργειν] Β. Σέβειν, τιμᾷν. Γ. ὑπομένειν, ἢ φιλεῖν, τιμᾷν.

φιλανθρώπου] Α. οὐ μόνον διὰ τὸ κεκλοφέναι τὸ πῦρ, ἄγνωστον ὂν τοῖς ἀνθρώποις, κεκόλασται Προμηθεύς, ἀλλ' ὅτι καὶ βοῦν ποτε τεθυκότων ἑαυτοῖς τῶν θεῶν, αὐτὸς διανομεὺς καταστὰς τοῖς μὲν ἄλλοις θεοῖς ἔγκατα παρέθηκε μόνα, τῷ δὲ Διὶ κῶλα πιμελῇ κεκαλλυμμένα, τὰ κρέα πάντα αὐτὸς κατεδηδοκώς.

φιλανθρώπου] Γ. τοῦ φιλεῖν τοὺς ἀνθρώπους· δριμεῖα λέξις.

v. 12. Κράτος καὶ Βία] Α. Ἡ μὲν παρὰ τοῦ Διὸς ἐντολὴ δι' ὑμῶν ἀγγελθεῖσά μοι, φησὶν ὁ Ἥφαιστος, ἔχει ἤδη τέλος καὶ οὐδὲν ἐμποδών ἐστι τοῦ γενέσθαι καὶ πληρωθῆ-

ἄκων δὲ ἐπιχειρήσω τῶ δεσμεύειν

---

*) Σέλας, φῶς, αὐγή. Item φῶς πυρός, ἢ λαμπρότης τοῦ πυρὸς περιφραστικῶς Hesych.

καὶ αὐτήν· ἐγὼ δὲ ἀπρόθυμός εἰμι τὸν Προμηθέα δῆσαι καὶ ἀνασκολοπίσαι ἐν τῷ δυσχειμέρῳ τούτῳ ὄρει· τὰ γὰρ ὑψηλόκρημνα ὄρη δυσχείμερα εἰσιν· ὅμως ἀναγκαῖόν ἐστι τοῦτο ποιῆσαι. Τὸ γὰρ ἔξω ὥρας καὶ Φροντίδος τίθεσθαι καὶ ποιεῖσθαι τὰς τοῦ πατρὸς Διὸς προςτάξεις, τοῦτο γάρ ἐστι τὸ ἐξωριάζειν πατρὸς λόγους ἤτοι παραβλέπεσθαι, χαλεπὸν καὶ ἐπικίνδυνον.

σΦῷν] B. ὑμῖν. ἐντολὴ] ὁ ὁρισμός.

v. 13. ἔχει τέλος] Γ. ἔχει πλήρωμα.

v. 14. ἄτολμος] Γ. δειλὸς οὐ τολμῶ.

εἰμι] B. ὑπάρχω.

συγγενῆ θεόν] A. τὸν ἀπὸ μιᾶς ὁρμώμενον τέχνης.

v. 15. Δῆσαι] B. δεσμεῦσαι. δῆσαι βίᾳ] Γ. περιΦραστικῶς. δυσχειμέρῳ] B. κακὴν ἐχούσῃ χειμῶνα, διὰ τὸ χειμῶνι ἀεὶ καλύπτεσθαι.

πρὸς δυσχειμέρῳ] Γ. ἐν δυσχείμῳ.

v. 16. ἀνάγκη] B. ὑπάρχει. Γ. ἀπαραίτητον ὑπάρχει.

τῶνδε] B. ὧν εἴπατε. Γ. τῶνδε] προσταγμάτων.

τόλμαν σχεθεῖν] B. ἐπιχείρησιν ἔχειν. σχεθεῖν] Γ. κρατεῖν, ἔχειν.

v. 17. ἐξωριάζειν] B. ἄθετον καὶ ἔξω ὥρας καὶ Φροντίδος ποιεῖσθαι. Γ. καὶ ἔξω ὥρας τιθέναι καὶ ἀποβάλλειν, ἔξω Φροντίδος ποιεῖν, ἀπορρίπτειν, βαρὺ καὶ χαλεπὸν καὶ ἐπικίνδυνον ὑπάρχει.

v. 18. τῆς ὀρθοβούλου Θέμιδος] A. Πρὸς τὸν Προμηθέα ἀποστρέΦει ὁ Ἥφαιστος τὸν λόγον, Θέμιδός τε παῖδα αὐτὸν εἶπε, τῆς Δικαιοσύνης τῆς ὀρθὰ καὶ δίκαια βουλευομένης. Πῶς δέ Φησι τὸν Προμηθέα υἱὸν τῆς Θέμιδος, δέον ἀντιστρόΦως λέγειν; ἐκ προμηθείας γὰρ καὶ σκέψεως τὸ δίκαιον εὕρηται· καί Φαμεν, ὡς αἴτιον τὸ δίκαιον τοῦ προμηθεῖσθαι, διὰ τοῦτο καὶ τὸν Προμηθέα Δίκης υἱὸν λέγομεν· ἐπεὶ καὶ ὁ κλινοποιὸς πρῶτον ἔννοιαν λαμβάνει τῆς ἀνθρώπων ἀναπαύσεως, εἶτα ἐπιχειρεῖ καὶ κλίνην ποιεῖ, καὶ ἔστι τῷ μὲν ἔργῳ πρῶτον ἡ κλίνη, τῇ δὲ διανοίᾳ ἡ τοῦ ἀνθρώ-

που ἀνάπαυσις. Ἄλλως. Ἐπιστροφὴ πρὸς τὸν Προμηθέα. Θέμιδος δὲ τὸν Προμηθέα φησὶ καὶ οὐ Κλυμένης.

ὀρθοβούλου] B. τῆς ἀληθὲς βουλευομένης. Γ. Ἢ τῆς ὑψηλῆς, ἢ τῆς ὑψηλὰ βουλευομένης καὶ ὀρθὰ, ἢ χαλεπὰ, ἢ καὶ στρεβλά.

αἰπυμῆτα] B. μεγαλόβουλε.

v. 19. δυςλύτοις] Γ. ἀλύτοις, ἀφύκτοις.

χαλκεύμασι] B. σιδηροῖς δεσμοῖς.

v. 20. προςπασσαλεύσω] B. προςηλώσω. πάγῳ] ὄρει.

τῷδ' ἀπανθρώπῳ πάγῳ] Γ. τῷ ἀπὸ καὶ μακρὰν τῶν ἀνθρώπων, ἢ τῷ ἔχοντι ἀνθρώπους ἀπανθρώπους· σκληρῷ, ἀγροίκῳ βουνῷ.

v. 21. B. ἵν'] ὅπου. φώνην] ἀκούσῃ δηλονότι. τοῦ] τινός. βροτῶν] ἀπό.

Γ. ἵν'] Ἀντὶ τοῦ ὡς, καὶ ἀντὶ καθά. Εὑρίσκεται γοῦν ἀντὶ ὅπου καὶ ἢ, λαμβάνεται καὶ ἀντὶ τοῦ αὐτοῦ. Οὔτε φωνὴν] κατὰ ἀναλογίαν λείπει τὸ ἀκούσεις.

v. 22. A. Σταθευτὸς] φλογιζόμενος· σταθεύειν γὰρ τὸ κατ' ὀλίγον ὀπτᾷν, φασὶν οἱ Ἀττικοί.

B. ὄψει] θεάσει. σταθευτὸς] ἱστάμενος καὶ φλογιζόμενος· σταθεύειν φασὶν Ἀττικοὶ τὸ κατὰ μικρὸν καίεσθαι, ἀπὸ τοῦ ἵστημι στήσω, καὶ τοῦ αἴθω τὸ καίω γινόμενον.

Γ. σταθευτὸς] ὀπτώμενος, φλογιζόμενος· σταθεύειν γὰρ τὸ κατ' ὀλίγον ὀπτᾷν. Ἄλλως. Σταθευτὸς, ἀπὸ τοῦ ἵστημι στήσω, καὶ τοῦ εὔω τὸ φλογίζω, ὁ ἐν τῷ ἵστασθαι φλογιζόμενος. Ἀττικὴ ἡ λέξις· ἢ τὰ κατ' ὀλίγον ἐψυγμένα καθὰ παρὰ τοῦ κοινοῖς ἕψηται. Φοίβῃ] ἀντὶ τοῦ καυστικῇ, λαμπρᾷ.

v. 23. B. χροιᾶς ἀμείψεις ἄνθος] εἴδους ἀλλάξεις τὴν λαμπρότητα. Ἀσμένῳ] χαίροντι.

Γ. Ἀσμένῳ] μετὰ περιχαρείας διάγοντι, διὰ τὸ μὴ καίεσθαι τὴν νύκτα παρὰ ἡλίου.

v. 24. A. ποικιλείμων] ἡ ὡς λειμὼν τοῖς ἄστροις ποικιλλομένη· ἢ ποικίλον ἔνδυμα ἔχουσα, διὰ τὸ πεποικίλθαι τοῖς ἄστροις. φάος] τοῦ ἡλίου.

B. ποικιλείμων] ἡ ποικίλον ἔνδυμα ἔχουσα, διὰ τὸ πεποικίλθαι τοῖς ἄστροις. Φάος] τὴν ἡμέραν.

Γ. ποικιλείμων] ποικιλολειμωνῖτις οὖσα. Ἢ καὶ ἔχουσα ποικίλα εἵματα καὶ ἱμάτια διὰ τὰ ἄστρα. Ὁ δὲ Σοφοκλῆς μέλαιναν.

v. 25. πάχνην θ' ἑῴαν ἥλιος σκεδᾷ πάλιν] A. Ἐκ διαδοχῆς μετὰ τὴν νύκτα σκεδάσει. Ἐν νυκτὶ ἴσμεν ὅτι γίνεται ἡ πάχνη· ταύτην οὖν, φησὶν, ὑπὸ τὸν ὄρθρον ἀνατέλλων ὁ ἥλιος ἀποσκεδάσει σοι καὶ διασκορπίσει. Ἑῴαν] τὴν ὑπὸ ἕω γενομένην, ἤτοι τὴν πρωϊνήν· δηλοῖ δὲ, ὅτι οὐδὲ νὺξ οὐδὲ ἡμέρα ἔσται αὐτῷ μετὰ περιχαρείας.

B. πάχνην δ' ἑῴαν] δρόσον πρωϊνήν. σκεδᾷ] σκεδάσει.

Γ. πάχνην] ἐν νυκτὶ γενομένην. Εὔδηλον γὰρ, ὅτι ἡ πάχνη κατὰ τὴν νύκτα γίνεται.

v. 26. B. ἀχθηδὼν] τὸ βάρος.

Γ. ἀχθηδὼν] βαρύτης, βάρος, ἤγουν τῆς ἐνταῦθα δήσεως.

v. 27. A. ὁ λωφήσων] ὁ ποιήσων λωφῆσαι Ἡρακλῆς. Φασὶ γὰρ μετὰ ταῦτα γενόμενον τὸν Ἡρακλέα πρὸς τὸ καθᾶραι τῶν κακούργων καὶ λῃστῶν τὴν γῆν ἀφ' ἑαυτοῦ κεκλημένην, καὶ πρὸς πᾶν μέρος γῆς πορευόμενον παραγενέσθαι καὶ ἐπὶ τὴν χώραν, καθ' ἣν ὁ Προμηθεὺς ἐδέδετο· ἰδόντα δὲ αὐτὸν ταῖς πέτραις προσηλωμένον καὶ ὑπὸ γυπὸς τὸ ἧπαρ κειρόμενον, ὑπεραλγῆσαί τε αὐτοῦ καὶ βέλει γῦπα φονευσάμενον, ἀνελευθερῶσαι τὸν Προμηθέα τοῦ ἀποκείρεσθαι τὸ ἧπαρ αὐτοῦ, καὶ μέντοι καὶ ἀπολῦσαι.

B. τρύσει] δαμάσει. Ἀποροῦσιν ἐνταῦθα, πῶς ἀνωτάτω λέγων, ἀσμένῳ τῷ Προμηθεῖ ἐπέρχεσθαι τὴν νύκτα, νῦν φησι δαμάσειν αὐτὸν τὸ ἀεὶ ἐνιστάμενον βάρος. Καί φαμεν ὅτι ἐν μὲν ἀρχῇ ἥ τε νὺξ καὶ ἡμέρα ἥδισται ἂν δοκοῖεν, αὐτῷ τῆς μὲν νυκτὸς ἀπαλλαγὴν παρεχούσης τοῦ ἐφ' ἡμέραν καύσονος, τῆς δὲ ἡμέρας τοῦ ἀπὸ τῆς νυκτὸς ψύχους, ἐν δὲ τῷ μέσῳ βαρεῖαι καὶ δυσχερεῖς. ὁ λωφήσων] ὁ παύσων σε τούτου. οὐ πέφυκέ πω] οὐκ ἐγεννήθη ἀκμήν· Ἔστι δὲ ὁ Ἡρακλῆς.

Γ. ὁ λωφήσων] ὁ παύσων, ὁ λυτρώσων, ὁ λῆξαι ποιήσων, ἀπὸ τοῦ τραχήλου ἄχθος ἀποθησόμενον. Ἐνταῦθα οὖν τὸν Ἡρακλέα αἰνιττόμενος λέγει, ὅτι οὔπω γεγένηται ὁ παύσων σε τῆς ταλαιπωρίας, ἢ τῆς τιμωρίας.

v. 28. A. τοιαῦτ' ἀπηύρω] τοιούτων, φησίν, ἐπέτυχες, φιλάνθρωπος γενόμενος. Ἐν ἤθει δὲ ὁ λόγος, οἷον τὰ τῆς φιλανθρωπίας ἐπίχειρα τοιαῦτά σοι ἐγένετο, καὶ τοιούτων ἐπέτυχες ἀγαθῶν, ὅτι τοῖς ἀνθρώποις δέδωκας τὴν τοῦ πυρὸς χρῆσιν, τιμῶν αὐτούς, τῶν δὲ μεγίστων θεῶν τὴν ὀργὴν μὴ πτοούμενος.

B. ἀπηύρω] ἀπήλαυσας. Γ. ἀπέλαβες καὶ ἀπήλαυσας, Προμηθεῦ, ἕνεκα τοῦ φιλεῖν τοὺς ἀνθρώπους.

v. 29. B. θεὸς] ὤν. ὑποπτήσσων] φοβούμενος. χολὸν] τὴν ὀργήν.

Γ. θεὸς] ὑπάρχων σὺ πρὸς πλείονα λύπην.

v. 30. B. ὤπασας] παρέσχες. πέραν δίκης] ἐπέκεινα τοῦ δικαίου. Ὃ γὰρ οὐκ ἠβούλετο ὁ Ζεὺς ἄδικον τε ἦν καὶ παράνομον.

Γ. πέρα δίκης] πέραν, ἔξω δικαιοσύνης, τοῦ δικαίου.

v. 31. A. ἀνθ' ὧν ἀτερπῆ] τοῦτό φησιν, ἀνθ' ὧν σὺ ἔπραξας τολμηρῶς, φρουρήσεις ταύτην τὴν ἀτερπῆ πέτραν, ὀρθὸς ἱστάμενος ἄϋπνος, οὐδέποτε καθήμενος· ἣν οὐ δυνήσῃ παρατραπῆναι. Ἀτερπῆ διὰ τὰ ἐπαγόμενα.

B. ἀνθ' ὧν] δι' ὧν. ἀτερπῆ] ἀηδῆ. Δέον ἀτερπὴς εἰπεῖν ἀτερπῆ πρὸς τὴν πέτραν ἐπήνεγκεν. Τὸ δὲ φρουρήσεις ἀντὶ τοῦ φυλάξεις καὶ περὶ αὐτὴν ἐμμενεῖς. Ὃ γάρ τις φρουρεῖ, τοῦτο καὶ οἰκεῖ.

Γ. ἀνθ' ὧν] ἕνεκα τούτων. ἀτερπῆ] ἀχαρῆ. Φρουρήσεις] κατοικήσεις, φυλάξεις, τηρήσεις. Πέτραν] τὸν Καύκασον.

v. 32. B. ὀρθοστάδην] ὀρθὸς ἱστάμενος. οὐ κάμπτων γόνυ] οὐ κλίνων.

v. 33. A. πολλοὺς δ' ὀδυρμοὺς] προαναφωνεῖ τὰς μονῳδίας αὐτοῦ.

B. ποικιλείμων] ἡ ποικίλον ἔνδυμα ἔχουσα, διὰ τὸ πεποικίλθαι τοῖς ἄστροις. Φάος] τὴν ἡμέραν.

Γ. ποικιλείμων] ποικιλολειμωνῖτις οὖσα. Ἢ καὶ ἔχουσα ποικίλα εἵματα καὶ ἱμάτια διὰ τὰ ἄστρα. Ὁ δὲ Σοφοκλῆς μέλαιναν.

v. 25. πάχνην θ' ἑῴαν ἥλιος σκεδᾷ πάλιν] A. Ἐκ διαδοχῆς μετὰ τὴν νύκτα σκεδάσει. Ἐν νυκτὶ ἴσμεν ὅτι γίνεται ἡ πάχνη· ταύτην οὖν, φησίν, ὑπὸ τὸν ὄρθρον ἀνατέλλων ὁ ἥλιος ἀποσκεδάσει σοι καὶ διασκορπίσει. Ἑῴαν] τὴν ὑπὸ εω γενομένην, ἤτοι τὴν πρωϊνήν· δηλοῖ δέ, ὅτι οὐδὲ νὺξ, οὐδὲ ἡμέρα ἔσται αὐτῷ μετὰ περιχαρείας.

B. πάχνην δ' ἑῴαν] δρόσον πρωϊνήν. σκεδᾷ] σκεδάσει.

Γ. πάχνην] ἐν νυκτὶ γενομένην. Εὔδηλον γάρ, ὅτι ἡ πάχνη κατὰ τὴν νύκτα γίνεται.

v. 26. B. ἀχθηδὼν] τὸ βάρος.

Γ. ἀχθηδὼν] βαρύτης, βάρος, ἤγουν τῆς ἐνταῦθα δήσεως.

v. 27. A. ὁ λωφήσων] ὁ ποιήσων λωφῆσαι Ἡρακλῆς. Φασὶ γὰρ μετὰ ταῦτα γενόμενον τὸν Ἡρακλέα πρὸς τὸ καθάραι τῶν κακούργων καὶ λῃστῶν τὴν γῆν ἀφ' ἑαυτοῦ κεκλημένην, καὶ πρὸς πᾶν μέρος γῆς πορευόμενον παραγενέσθαι καὶ ἐπὶ τὴν χώραν, καθ' ἣν ὁ Προμηθεὺς ἐδέδετο· ἰδόντα δὲ αὐτὸν ταῖς πέτραις προσηλωμένον καὶ ὑπὸ γυπὸς τὸ ἧπαρ κειρόμενον, ὑπεραλγῆσαί τε αὐτοῦ καὶ βέλει γῦπα φονευσάμενον, ἀνελευθερῶσαι τὸν Προμηθέα τοῦ ἀποκείρεσθαι τὸ ἧπαρ αὐτοῦ, καὶ μέντοι καὶ ἀπολῦσαι.

B. τρύσει] δαμάσει. Ἀποροῦσιν ἐνταῦθα, πῶς ἀνωτάτω λέγων, ἀσμένῳ τῷ Προμηθεῖ ἐπέρχεσθαι τὴν νύκτα, νῦν φησι δαμάσειν αὐτὸν τὸ ἀεὶ ἐνιστάμενον βάρος. Καί φαμεν ὅτι ἐν μὲν ἀρχῇ ἥ τε νὺξ καὶ ἡμέρα ἥδισται ἂν δοκοῖεν, αὐτῷ τῆς μὲν νυκτὸς ἀπαλλαγὴν παρεχούσης τοῦ ἐφ' ἡμέραν καύσονος, τῆς δὲ ἡμέρας τοῦ ἀπὸ τῆς νυκτὸς ψύχους. ἐν δὲ τῷ μέσῳ βαρεῖαι καὶ δυσχερεῖς. ὁ λωφήσων] ὁ παύσων σε τούτου. οὐ πέφυκέ πω] οὐκ ἐγεννήθη ἀκμήν· Ἔστι δὲ ὁ Ἡρακλῆς.

Γ. ὁ λωφήσων] ὁ παύσων, ὁ λυτρώσων, ὁ λῆξαι ποιήσων, ἀπὸ τοῦ τραχήλου ἄχθος ἀποθησόμενον. Ἐνταῦθα οὖν τὸν Ἡρακλέα αἰνιττόμενος λέγει, ὅτι οὔπω γεγένηται ὁ παύσων σε τῆς ταλαιπωρίας, ἢ τῆς τιμωρίας.

v. 28. A. τοιαῦτ' ἀπηύρω] τοιούτων, φησίν, ἐπέτυχες, φιλάνθρωπος γενόμενος. Ἐν ἤθει δὲ ὁ λόγος, οἷον τὰ τῆς φιλανθρωπίας ἐπέχειρα τοιαῦτά σοι ἐγένετο, καὶ τοιούτων ἐπέτυχες ἀγαθῶν, ὅτι τοῖς ἀνθρώποις δέδωκας τὴν τοῦ πυρὸς χρῆσιν, τιμῶν αὐτοὺς, τῶν δὲ μεγίστων θεῶν τὴν ὀργὴν μὴ πτοούμενος.

B. ἀπηύρω] ἀπήλαυσας. Γ. ἀπέλαβες καὶ ἀπήλαυσας, Προμηθεῦ, ἕνεκα τοῦ φιλεῖν τοὺς ἀνθρώπους.

v. 29. B. θεὸς] ὤν. ὑποπτήσσων] φοβούμενος. χολὸν] τὴν ὀργήν.

Γ. θεὸς] ὑπάρχων σὺ πρὸς πλείονα λύπην.

v. 30. B. ὤπασας] πάρεσχες. πέραν δίκης] ἐπέκεινα τοῦ δικαίου. Ὃ γὰρ οὐκ ἠβούλετο ὁ Ζεὺς ἄδικον τε ἦν καὶ παράνομον.

Γ. πέρα δίκης] πέραν, ἔξω δικαιοσύνης, τοῦ δικαίου.

v. 31. A. ἀνθ' ὧν ἀτερπῆ] τοῦτό φησιν, ἀνθ' ὧν σὺ ἔπραξας τολμηρῶς, φρουρήσεις ταύτην τὴν ἀτερπῆ πέτραν, ὀρθὸς ἱστάμενος ἄϋπνος, οὐδέποτε καθήμενος· ἣν οὐ δυνήσῃ παρατραπῆναι. Ἀτερπῆ διὰ τὰ ἐπαγόμενα.

B. ἀνθ' ὧν] δι' ὧν. ἀτερπῆ] ἀηδῆ. Δέον ἀτερπὴς εἰπεῖν ἀτερπῆ πρὸς τὴν πέτραν ἐπήνεγκεν. Τὸ δὲ φρουρήσεις ἀντὶ τοῦ φυλάξεις καὶ περὶ αὐτὴν ἐμμενεῖς. Ὃ γάρ τις φρουρεῖ, τοῦτο καὶ οἰκεῖ.

Γ. ἀνθ' ὧν] ἕνεκα τούτων. ἀτερπῆ] ἀχαρῆ. Φρουρήσεις] κατοικήσεις, φυλάξεις, τηρήσεις. Πέτραν] τὸν Καύκασον.

v. 32. B. ὀρθοστάδην] ὀρθὸς ἱστάμενος. οὐ κάμπτων γόνυ] οὐ κλίνων.

v. 33. A. πολλοὺς δ' ὀδυρμοὺς] προαναφωνεῖ τὰς μονῳδίας αὐτοῦ.

B. γόους] θρήνους. ἀνωφελεῖς] δέον ἀνωφελεῖ εἰπεῖν, ἀνωφελεῖς εἶπεν, διὰ τοὺς γόους.

v. 34. A. Διὸς γὰρ δυσπαραίτητοι φρένες] χαλεπαί εἰσι καὶ ἀκαταφρόνητοι αἱ τοῦ Διὸς προσταγαί, καὶ εἰ παραιτηθεῖεν, κακοῦ πρόξενοι γίνονται. Ἢ ἀμετακίνητοί εἰσιν οἱ τοῦ Διὸς λογισμοί, καθ' ὧν ὀργισθῇ. Πᾶς δὲ νεωστὶ κρατήσας περισσῶς χρῆται τῇ ἐξουσίᾳ, ἵνα φοβερὸς δόξῃ τοῖς ὑπὸ χεῖρα· καὶ ὁ Ζεὺς νεωστὶ ἐπέβη τῆς βασιλείας.

B. δυσπαραίτητοι] Ἀμετάτρεπτοι καὶ δυσκόλως πρὸς συμπάθειαν καὶ πρὸς συμπλοκὰς ἔχουσαι. Παραίτησις γοῦν ἡ συγγνώμη· ἢ δυσκόλως παραιτούμεναι καὶ ἀφιεῖσαι ἃ ἂν ἐκτήσαντο. Παραίτησις γὰρ καὶ ἡ ἄφεσις, παραιτοῦμαι τὸ ἀπολογοῦμαι, τὸ συγγνωμονῶ, τὸ αἰτῶ, καὶ τὸ ἀφίημι.

Γ. δυσπαραίτητοι] δυσπαράτρεπτοι, δυσπαράκλητοι, ἀσυγγνωμόνητοι. Παραιτοῦμαι τὸ συγγνώμην αἰτῶ, ὡς Ἀριστείδης· παραιτεῖσθαι μὲν οὐκ οἶδα. Δυσπαραίτητος δὲ ὁ κριτὴς ὁ εἰς συγγνώμην δύσκολος. Φρένες] οἱ λογισμοί.

v. 35. A. ἅπας δὲ τραχὺς] χαλεπαὶ δὲ τῶν ἀνάκτων εἰσὶν ἀπειλαὶ τῶν νέων. Ταῦτα δέ φησιν, ὡς νεωστὶ τοῦ Διὸς τὸν πατέρα ἐκβαλόντος.

B. τραχὺς] ἀκαμπής, σκληρός, ἀπηνής. Νέον] νεωστί.

Γ. ἅπας] ὅλος. τραχὺς] ἀπηνής, ἄγριος. νέον κρατῇ] νεωστὶ κρατήσῃ, βασιλεύῃ, βασιλεύσῃ.

v. 36. B. εἶεν] ἔστω ταῦτα. μάτην] ματαίως καὶ ἀκαίρως.

Γ. εἶεν] ὑπαρχέτωσαν, ἀπόθεσις τὸ σχῆμα. Ἄλλως. Τὸ εἶεν Ἀττικόν ἐστιν ὁμοῦ καὶ ῥητορικόν. Χρῶνται γὰρ τούτῳ οἱ ῥήτορες ἐν σχήματι ὑπογραφῆς ὁμοῦ καὶ ἐπιγραφῆς. Ὅταν γὰρ μέλλωσι δύο τινὰς ὑποθέσεις εἰπεῖν ἀλληλενδέτους καὶ συνεχεῖς, πληρώσωσι δὲ τὴν μίαν ὑπόθεσιν, καὶ τῆς ἑτέρας κατάρξασθαι μέλλωσι, τιθέασι τὸ εἶεν, ὡς ἐν σχήματι τῆς ἐπιγραφῆς, τῆς πρώτης καὶ δευτέρας συνεχῶς ὑποθέσεως. Κεῖται δὲ τὸ εἶεν ἀντὶ καὶ ταῦτα μὲν οὕτως ἐχέτωσαν.

v. 37. B. τί] διά. Ἐντεῦθεν ἐπεγείρει τὸν Ἥφαιστον εἰς θυμόν. Ἔχθιστον] ἐχθρότατον. οὐ στυγεῖς] οὐ μισεῖς.

Γ. Ἔχθιστον] ἀπὸ τοῦ ἔχω τοῦ κρατῶ· ἔχος, καὶ πλεονασμῷ Ἔχθος.

v. 38. B. ὅστις] ὁποῖος. τὸ σὸν γέρας] ἤτοι τὸ πῦρ, τοῦτο γὰρ ἀνατέθειται Ἡφαίστῳ.

v. 39. A. τὸ συγγενές τοι δεινὸν] Ὁ Ἥφαιστος φησιν, ὅτι ἰσχυρὸν καὶ βίαιον ἡ συγγένεια, καὶ ἡ ἐκ παλαιοῦ συνήθεια, καὶ ὁμιλία καὶ συναναστροφή. Ταῦτα δέ φησι πρὸς τὸ Κράτος εἰπὸν πρὸς αὐτόν· διὰ τί οἰκτίζει τὸν Προμηθέα; τὸ δέ φησι πρὸς τὸν Ἥφαιστον, ὅτι ἀληθῶς λέγεις ταῦτα. Φησὶ δὲ τὸ συγγενές, ὅτι πυρὸς ταμίας ἐστὶ καὶ αὐτός. Δεινὸν] δυςχερές.

B. τὸ συγγενὲς τοι δεινὸν] μέγα τι πρὸς οἶκτον ἐγεῖραι ἡ πρώην συναναστροφή.

Γ. Δεινὸν] χαλεπόν, ἰσχυρόν· ὑπάρχει συναναστροφὴ δεινή.

v. 40. A. Ἀνηκουστεῖν] τὸ δὲ ἀνηκουστεῖν τῆς τοῦ πατρὸς Διὸς κελεύσεως, δυνατόν ἐστι πῶς; Ἐρώτησις ἔχουσα τὸ ἄλυτον, οἷόν τε πῶς; δύναται δὲ νοηθῆναι καὶ οὕτως, κατ' ἐρώτησιν ἁπλῆν δοκοῦσαν ἔχειν τὸ ἄλυτον, ὡς καὶ ἐν τῷ, πῶς ἂν ἔπειτα Ὀδυσσῆος λαθοίμην; Ὡς γὰρ μὴ δυνατὸν λαθέσθαι ἠρώτα.

B. σύμφημ'] Συνομολογῶ. ἀνηκουστεῖν] παρακούειν.

Γ. σύμφημ'] ὁμολογῶ.

v. 41. B. οἷον] δυνατόν. τοῦτο] τὸ παρακούειν. δειμαίνεις] φοβῇ. πλέον] τῆς συγγενείας.

Γ. οἷόν τε πῶς;] Θαυμάσιον μέγα πῶς. Οἷόν τε πῶς; σημειῶσαι ὅτι τὸ οἷον, τὸ δυνατὸν, χωρὶς τῆς τε συλλαβῆς οὐ γράφεται.

v. 42. A. Αἰεί τε δὴ νηλὴς σὺ] Πρὸς τὸν Δία τοῦτο φησίν, οὐ πρὸς τὸ Κράτος. Τὸ γὰρ κράτος ἤτοι ἡ τοῦ Διὸς ἐξουσία αὐτός ἐστιν ὁ Ζεύς· πρὸς αὐτὸν οὖν τὸν λόγον

ὠφειλε τὰρ
οὐδετέρως
ἀποδοῦναι:

ποιεῖται· εἰ γὰρ πρὸς τὸ Κράτος ἔλεγεν, οὐδετέρως ὤφειλε τὸν λόγον ἀποδοῦναι.

B. αἰεί τε] Διὰ τοῦτο ἀρσενικῶς ταῦτα ἐξήνεγκεν, ἢ πρὸς τὸν Δία ἀποδεδωκὼς ταῦτα. Τὸ γὰρ κράτος, ἤτοι τοῦ Διὸς ἡ ἐξουσία αὐτός ἐστιν ὁ Ζεύς. νηλὴς] ἀπηνής. πλέως] πεπληρωμένος.

v. 43. B. ἄκος] ὠφέλεια.

v. 44. B. μὴ πόνει μάτην] μὴ ἐνέργει, μὴ ποίει ματαίως.

v. 45. ὦ πολλὰ μισηθεῖσα] A. Ἐνταῦθα μὴ δυνάμενος ὁ Ἥφαιστος ἀντειπεῖν, πρὸς τὴν ἑαυτοῦ τέχνην τὴν χαλκευτικὴν ἀνάγει τὴν ἀρὰν, καὶ μισητὴν ἀποκαλεῖ, διότι μέλλει προσηλῶσαι τὸν Προμηθέα. Τὸ δὲ Κράτος βουλόμενον δηλῶσαι, ὅτι οὐχ ἡ αὐτοῦ τέχνη ἦν αἰτία τοῦ δῆσαι τὸν Προμηθέα, ἀλλ' ἡ πρὸς τὸν Δία ὑποταγή, φησί, τὴν τέχνην μισητὴν ἀποκαλεῖς; οὐκ ἔστιν αὕτη ἡ σὴ τέχνη αἰτία τῶν παρόντων πόνων, ἤτοι τῆς δέσεως τοῦ Προμηθέως, ὡς ἁπλῶς διὰ λόγου ἐστὶν εἰπεῖν.

χειρωναξία] A. ἡ διὰ τῶν χειρῶν ἐργασία· καὶ χειρῶναξ, ὁ διὰ χειρῶν ἐργαζόμενος, ἢ ὁ τεχνίτης ὁ χειρῶν μόνον δεσπόζων. Ἠνίξατο δέ, ὅτι τὴν αἰτίαν τοῦ Διὸς εἰς τὴν τέχνην μετήγαγεν.

B. μισηθεῖσα] ὑπ' ἐμοῦ.

χειρωναξία] βάναυσος τέχνη. ὥρισται ἐτυπώθη

v. 49. A. ἅπαντ' ἐπράχθη] τινές φασιν, ὅτι πάντα ἐκ μοιρῶν δέδοται τοῖς θεοῖς πλὴν τοῦ ἄρχειν. Τὸ δὲ ἐπράχθη ἀντὶ τοῦ ὥρισται, τετύπωται.

B. ἅπαντ' ἐπράχθη] ὅλα ἐγεγόνει ἐκ μοίρας. πλὴν κοιρανεῖν] εἰ μὴ ἄρχειν. Εἰπόντος Ἡφαίστου περὶ αὐτοῦ τέχνης ὡς εἶθεν ταύτην λαχεῖν ἕτερον, τὸ Κράτος φησίν, ὡς ἅπαντα ἐπράχθη καὶ ἐγεγόνει τοῖς θεοῖς πλὴν τοῦ κοιρανεῖν καὶ ἄρχειν. Τουτέστι ἅπαντα δέδοται τοῖς θεοῖς, ὅπλα μὲν Ἄρεις Ἀρτέμιδι δὲ τόξα, Ἀπόλλωνι δὲ μουσική, σοῦ δὲ ἣν ἔχεις τέχνην, καὶ ἕτερα ἑτέροις· τὸ δὲ βασιλεύειν μόνον ὁ Ζεὺς ἐκληρώσατο. Ἐπεὶ οὖν οὕτω ταῦτ' ἔχει, ἀνάγκη

καὶ σοὶ ἥνπερ ἔλαχες τέχνην στέργειν, καὶ τὰ παρὰ τοῦ Διὸς ἐπιτεταγμένα σοι ἐκτελεῖν.

Γ. ἅπαντ' ἐπράχθη] ἅπαντα, φησὶν, ἐτυπώθησαν καὶ ὡρίσθησαν, καὶ ἐπράχθησαν ὑπὸ τῶν μοιρῶν πλὴν τοῦ κοιρανεῖν τῶν θεῶν, ἤγουν τοῦ ἄρχειν αὐτῶν. Ἢ τὸ πλὴν ἀντὶ τοῦ ὅμως, ὅ ἐστιν οὕτω· πάντα μὲν ὑπὸ τῶν μοιρῶν ὁρίζονται, ὅμως δὲ οἱ θεοὶ ἄρχουσι καὶ ὁρίζουσι τὴν τούτων ἔχειν πρᾶξιν· ἐλεύθερος δέ, ἤτοι μὴ ἀγόμενος οὔτις ἐστί, χωρὶς τοῦ Διός. Τοῦτο δὲ λέγει, ὅτι οἱ λοιποὶ θεοὶ ἄρχουσι μέν, ἀλλ' ἄνευ τῆς τοῦ Διὸς βουλῆς οὐδεὶς δύναταί τι ποιῆσαι. Οἷς συγκατατιθέμενος καὶ ὁ Ἥφαιστος, φησίν, ἔγνων ὅτι οὕτως ἔχει τὰ τῶν θεῶν καὶ οὐκ ἀντιλέγω. Πρὸς ὃν τὸ Κράτος φησίν, σὺ σπεύδεις λοιπὸν δεσμῆσαι τὸν Προμηθέα, ἵνα μὴ ὁ πατὴρ ἴδῃ σε βραδύνοντα καὶ ἀμελοῦντα τῶν αὐτοῦ πράξεων. Ἄλλως. Ἅπαντα, φησί, τοῖς θεοῖς πέπρακται καὶ τετέλεσται καὶ τέλεια εἰσὶ πλὴν τῆς κοιρανίας, αὕτη γὰρ ἄδηλος τοῖς θεοῖς πλὴν τοῦ Διός. Ἢ οὕτως, ὃ καὶ κρεῖττον· ἅπαντα τοῖς θεοῖς δέδοται τὰ καλά, πλὴν καὶ χωρὶς τοῦ ἄρχειν ἑαυτῶν καὶ μὴ ἔχειν τὸν δεσπόζοντα. Διὸ ἐπάγει, ὡς οὐδεὶς ἐλεύθερος εἰ μὴ Ζεύς.

v. 52. B. ἐπείξῃ] σπουδάσῃ. περιβαλεῖν] περιθεῖναι.

v. 53. ὡς] ἵνα. ἐλιννύοντα] βραδύνοντα. προσδερχθῇ] θεάσηται.

Γ. ἐλιννύοντα] Ἐλιννύω ἀπὸ τοῦ ἑλίσσω καὶ τοῦ ἀνύω. Εἰώθασι γὰρ οἱ μέλλοντες ἀνύσαι τι, ἀνασκοπεῖν πρῶτον καὶ οἷον ἐμβραδύνειν.

v. 54. A. ψάλια] ἐστι κυρίως τὰ περιστόμια τῶν ἵππων.

B. πρόχειρα] ἕτοιμα εἰς χεῖρας. ψάλια] αἱ πέδαι. Ψάλια κυρίως τὰ χαλινὰ τῶν ἵππων, ἐνταῦθα δὲ τὰ σιδηρᾶ δεσμά.

Γ. ψάλια] οὐχὶ ἧλος, ἀλλ' ἕτερά τινα σιδήρια, εἶδος ἔχοντα τοιοῦτον, ὥστε ἁρμόσαι τῇ μασχάλῃ καὶ εἰς ἄλλο μέρος τοῦ σώματος· λέγονται κυρίως τὰ χαλινὰ τῶν ἵππων.

ΜΙΝ ΠΛΗΘΟΥΝΤΙΚ
τὰ ψάλια·

v. 55. B. νιν] αὐτὸν ἀμφὶ] περί. χερσὶν] αὐτοῦ. ἐγκρατεῖ σθένει] ἰσχυροτάτῃ δυνάμει.

v. 56. B. ῥαιστῆρι] ἐν σφυρᾷ. θεῖνε] τύπτε. πασσάλευε] προσήλου.

v. 57. A. κοὐ ματᾷ] οὐ μάτην γίγνεται.

B. περαίνεται] τελεῖται. ματᾷ] μάτην πράττεται.

Γ. κοὐ ματᾷ] ἀρξάμενος δεσμεῖν τὸν Προμηθέα ὁ Ἥφαιστος φησίν, ἰδοὺ πράττεται τὸ προστεταγμένον, καὶ οὐκ ἀναβάλλεταί μοι τόδε τὸ ἔργον, καὶ ἀσφαλῶς καὶ οὐ μάτην ἐργάζεταί μοι ἡ δέσις.

v. 58. B. ἄρασσε] πλῆττε. μηδαμῇ χάλα] ἐν οὐδενὶ μέρει τῶν δεσμῶν ἔφεσιν δίδου. τὸ χάλα ἐκ μεταφορᾶς τῆς νηός.

v. 59. B. δεινὸς] ἐπιτήδειος. εὑρεῖν] εἰς τό. πόρον] μηχανήν.

Γ. δεινὸς] δεινὸς ὢν εἰς τὸ νοῆσαι, καὶ παντοίας εὑρῆσαι μηχανάς. Ἢ μηχανικὸς ὢν ὁ Προμηθεύς, εἰ μὴ στεῤῥῶς προσηλωθῇ, λύσεως μηχανὴν εὑρήσει.

v. 60. B. ἄραρεν] ἥρμοσται. ὠλένη] ἀγκάλη.

Γ. ἄραρεν.] Ὁ Ἥφαιστος ὅτι φησίν, οὗτος ὁ σιδηροῦς ἀσφαλῶς ἡρμόσθη καὶ ἐνεπάγη, τὸ δὲ τοῦ Διὸς Κράτος φησὶ πρὸς αὐτὸν καὶ ταύτην τὴν σιδηρὰν ὠλένην, ἤγουν τὸν κρίκον, περόνησον ἀσφαλῶς, ἵνα, δεινὸς ὢν εἰς τὸ νοῆσαι καὶ ἐφευρεῖν τέχνας, νοήσῃ καὶ μάθῃ ἐλάττων ὢν καὶ ἐπιδεέστερος ὢν τοῦ Διός. Εἶτα ὡσανεὶ βεβαιῶν ὁ Ἥφαιστος ὅτι ἀσφαλῶς αὐτὸν προσέδησε, φησί, πλὴν ἕνεκα τούτου, οὐδεὶς ἂν μέμψαιτό μοι δικαίως, ὡς μὴ καλῶς αὐτὸν προσηλώσαντι.

v. 61. A. πόρπασον] περόνησον. B. προσάρμοσον.

Γ. πόρπαξ οὐχ ὁ ἧλος, ἀλλ' ἄλλο τι σίδηρον κατασκευασμένον.

v. 62. A. σοφιστὴς] ἀπατεών.

B. μάθῃ] νοήσῃ. σοφιστὴς ὢν] ἀπατεὼν ὑπάρχων. νωθέστερος] χαυνούστερος. Τουτέστι, ἵνα γνώῃ, ὡς εἰ καὶ τὸν Δία ἀπειλεῖ καὶ σοφίζεται, ἀλλ' οὐδέν τι τελέσαι δύναται, ἐλάττων τούτου τυγχάνων. Ἢ οὕτως, ὅτι ἵνα

μάθῃ

μάθῃ νωθέστερον καὶ ἀμελέστερον καὶ ῥαθυμότερον πρὸς τὸν Δία σοφίζεσθαι. Τουτέστι, ἵνα παντελῶς ἀφίσταται τοῦ τοιαῦτα ποιεῖν πρὸς αὐτόν. Ἀντὶ δὲ τοῦ εἰπεῖν εἶναι, πρὸς μετοχὴν ἔτρεψεν, ὢν εἰπών, ὅπερ ἐστὶ κρεῖττον.

v. 63. A. πλὴν τοῦδε] πλὴν τοῦ Προμηθέως. B. εἰ μὴ τοῦ Προμηθέως. μέμψαιτο] κατηγορήσῃ.

v. 64. A. ἀδαμαντίνου νῦν σφηνὸς] στεῤῥοῦ ἥλου σιδηροῦ. αὐθάδη γνάθον] ἤτοι ἐξοχὴν πετρίνην διὰ τῶν στέρνων αὐτοῦ βάλε, περόνα, δέσμει ἀσφαλῶς. Ἢ τὸ ἄκρον τοῦ σιδηροῦ ἥλου καὶ τὴν ὀξύτητα. Ἢ τὴν ἀναιδῆ καὶ στωμύλον αὐτοῦ γνάθον καὶ παρειὰν μέχρι τοῦ στήθους διάπειρον· τουτέστιν ἕως καὶ αὐτῶν τῶν στέρνων κατελθέτω ἡ περόνη. Κατὰ τῶν στέρνων δέ, φησί, περόνα αὐτόν, ὅτι ἐνταῦθα αὐτῷ ἡ ἀγχίνοια καὶ ἡ βούλη ἔγκειται, τοῖς περὶ τὴν καρδίαν τόποις.

ἢ ἄκρον τὴν ὀξύτητα: ἢ ὡς ἐμπρῶ τὰ στήθη αὐτοῦ διαπαττάλευε ἐπεὶ ἐνταῦθα αὐτῷ ἡ ἀγχίνοια:

B. ἀδαμαντίνου] σιδηρώδους καὶ στεῤῥοῦ. σφηνὸς] τοῦ ἥλου. αὐθάδη] τραχεῖαν. γνάθον] στόμα.

Γ. σφηνὸς] στερεοῦ ἥλου, σιδηροῦ.

v. 65. B. διάμπαξ] δι' ὅλου. πασσάλευε] διαπείρα. ἐῤῥωμένως] ἰσχυρῶς.

v. 66. B. σῶν] ἕνεκα.

v. 67. A. σὺ δ' αὖ κατοκνεῖς] ὀκνεῖς τέλεον ἀποδεῖν. B. ὀκνηρῶς διάκεισαι πρὸς τὸ ἔργον.

v. 68. A. ὅπως] λείπει ~~τὸ~~ σκόπει, ~~ὅρα~~.

B. στένεις] τὸ λυπεῖσθαι. ὅπως] ὅρα. Ἀττικῶς. οἰκτιεῖς] ἐλεήσεις.

v. 69. ὁρᾷς θέαμα] A. Λίαν ἀσφαλῶς ὁ Ἥφαιστος πεδῶν τὸν Προμηθέα φησίν, ὁρᾷς θέαμα ὀδυνηρόν, καὶ ὀφθαλμοῖς οὐκ ἀνεκτὸν μεθεῖναι. Τὸ δὲ Κράτος φησίν, ὁρῶ τοῦτον τὸν Προμηθέα ἀπολαύοντα, ὧν ἐστιν ἄξιος.

v. 71. A. μασχαλιστῆρας] δεσμά. ἀντὶ τοῦ δέσμευε αὐτὸν καὶ παρὰ τὰς πλευράς. μασχαλιστῆρας] διαζώστρας ἤτοι δεσμούς.

Γ. ἀλλ' ἀμφὶ] ἀλλὰ βάλε τῷ περὶ τὰς πλευρὰς αὐτοῦ μασχαλιστῆρι διαζώστρας, ἤτοι δεσμά. Ἀνάγκη γάρ ἐστι ποιῆσαι τοῦτο ἤτοι τὸ βαλεῖν μασχαλιστῆρας.

v. 72. A. δρᾶν ταῦτ' ἀνάγκη] Ἀναγκαῖόν ἐστι ποιῆσαι τοῦτο, ἤτοι τὸ βαλεῖν μασχαλιστῆρας. Σὺ οὖν μὴ πρόςτασσέ μοι συνεχῶς καὶ λίαν. Τὸ δὲ φησὶ πρὸς αὐτὸν ὄντως δὴ κελεύσω, ἔτι δὲ καὶ κραυγάσω, πεuseρόνησον.

B. ἐγκέλευ' ἄγαν] πρόςτασσε λίαν.

v. 73. B. ἦ μὴν] ὄντως. καπιθωΰξω.] ἐπεμβριμήσομαι. πρὸς] πρὸς τούτοις.

v. 74. A. χώρει κάτω] διὰ τοῦ χώρει κάτω τὸ μέγεθος ἐνέφηνε τοῦ δεσμευομένου θεοῦ. κίρκωσον] ἀντὶ τοῦ κρίκωσον.

B. χώρει κάτω] ἐν τῷ βάθει. Ἐπειδήπερ ἄνω περὶ τὰς πλευρὰς μασχαλιστῆρας ἐνέβαλεν, ἔδει δὲ καὶ πρὸς τοὺς πόδας τοῦτο ποιῆσαι, διὰ τοῦ χώρει κάτω τὸ μέγεθος ἐνέφηνε τοῦ δεσμουμένου θεοῦ. Χωρῶ τὸ δέχομαι, οἷον τοσοῦτον ὕδωρ τόδε τὸ ἄγγος χωρεῖ· καὶ χώρα ἡ ἄδεια, καὶ ἐλευθερίαν ἐγχωρεῖν, τὸ ἐνδέχεσθαι· χωρῶ καὶ τὸ ἔρχομαι, ἀφ' οὗ συγχωρῶ, ὅταν ἑκὼν ἐκλύω, καὶ παραχωρῶ ὅταν ἄκων ἀπολύω, καὶ προχωρεῖ ἀντὶ τοῦ προβαίνει, καὶ ἀναχωρεῖ τὸ αὐτό. χώρει ἀντὶ τοῦ ἀφίστασαι, ὑποχώρει ἀντὶ τοῦ ὑπέρχου.

κρίκωσον βίᾳ] δέσμευσον αὐτὸν βιαίως.

Γ. κάτω] ἐν βάθει τὴν κρίκον περόνησον.

v. 75. B. οὐ μακρῷ πόνῳ] ἀλλὰ συντόμως.

v. 76. ἐῤῥωμένως νῦν θεῖνε] A. τοῦ Ἡφαίστου εἰπόντος, ὅτι καλῶς ἤδη πέπρακται τὸ ἔργον, ὅτε καὶ Προμηθεὺς ἀσφαλῶς διεπερονήθη, φησὶ τὸ τοῦ Διὸς Κράτος πρὸς αὐτόν, ἐπειδὴ ἀρκούντως τῷ βάρει τοὺς κίρκους ἐνέβαλες, νῦν τύπτε ἰσχυρῶς τὰς διατόρους πέδας, τὰς διαπειρούσας, καὶ τιτρωσκούσας, ἤτοι τοὺς δεσμοὺς τοὺς σιδηροῦς. Ἢ διατόρους πέδας, τὰς διατετορνευμένας.

B. ἐῤῥωμένως θεῖνε] ἰσχυρῶς τύπτε. διατόρους πέδας] τοὺς μεγάλους δεσμούς.

v. 77. ὡς οὑπιτιμήτης] A. καλῶς, φησί, καὶ στερεῶς τύπτε τὰς πέδας τοῦ Προμηθέως. Ὁ γὰρ προστάξας τοῦτο τὸ ἔργον, ἤγουν ὁ Ζεύς, δεινός ἐστι καὶ βαρύς, ἢ ὁ τοῦ ἔργου ἐπιστάτης· ἢ ὁ ζημιώτης καὶ ὁ ἐκδικητής. Ταῦ-

τὰ δὲ λέγοντος τοῦ Κράτους φησὶ πρὸς αὐτὸν ὁ Ἥφαιστος· ὦ ἐκτραπέλου μέντοι πάντως πεποιημένου τοῦ προσώπου αὐτοῦ καὶ ἀναιδοῦς· ἁρμόζει τῇ μορφῇ σου καὶ προσήκοντα ταῦτα πάντα τὰ τραχέα ῥήματα. Τὸ δὲ πρὸς αὐτὸν σὺ γίνου μαλθακὸς καὶ εὐγνώμων, ἐμοὶ δὲ ἕνεκα τῆς αὐθαδίας μὴ ἐπονείδιζε τὰ ἐκ φύσεως προσόντα. Ἄλλως. Οὐπιτιμητής, ὁ ἐπιτιμᾶν μέλλων σοι εἴγε ἀμελήσεις, ὁ Ζεύς.

B. ὡς οὐπιτιμητής γε τῶν ἔργων βαρύς.] ὅτι ὁ ἐξεταστὴς καὶ εὐθύνας ἐπάξων, εἰ φαῦλα φωράσεται, χαλεπός, ἀνύποιστος.

v. 78. B. ὅμοια μορφῇ] ἁρμόζοντα τῷ ἀγρίῳ σώματι τὰ τραχέα ῥήματά σου. μορφῇ] τῇ σῇ. γηρύεται] βοᾷ.

v. 79. B. μαλθακίζου] ταπεινοῦ. αὐθαδίαν] ἀλαζωνείαν.

v. 80. B. μὴ 'πίπλησσε μοι] ὀνειδιστικῶς πρόφερε.

v. 81. A. ὡς κώλοισιν] ἐν χερσὶ καὶ ποσὶ τὰ δεσμὰ ἔχει.

B. στείχωμεν] ἀποχωρῶμεν. ὡς] ἐπεί. κώλοισιν] ἐν τοῖς ἄρθροις αὐτοῦ, τοῖς ποσίν. ἀμφίβληστρ'] δεσμά.

Γ. στείχωμεν] βαδίζωμεν, ὑποχωρῶμεν, συμβουλευτικόν. Ἐπεὶ ποσὶ καὶ χερσὶ τὰ δεσμὰ ἔχει, τουτέστιν ἅπαν τὸ σῶμα προσήλωται, ἀναχωρῆσαι χρεία.

v. 82. Ἐνταῦθα νῦν ὕβριζε] A. Ἰδὼν τὸ κράτος ἀσφαλῶς δεσμηθέντα τὸν Προμηθέα φησὶ πρὸς αὐτόν, νῦν ὕβριζε καὶ καταφρόνει τοῦ Διός. Ἐνταῦθα καὶ κλέπτων τὴν τιμὴν τοῦ Διὸς δίδου τοῖς ἀνθρώποις· πῶς δύνανταί σε οἱ ἄνθρωποι ἐλευθερῶσαι τούτων τῶν δεσμῶν; ψευδῶς ὀνομάζουσί σε οἱ θεοὶ Προμηθέα, χρεία γάρ σοι ἑτέρου Προμηθέως δυναμένου σοι σαφηνίσαι ποίῳ τρόπῳ ἐλευθερωθήσῃ τῶνδε τῶν δεσμῶν. Ἀπὸ τοῦ οἰκείου ὀνόματος διαβάλλει αὐτόν, ὅτι προνοητὴς ὢν τῶν μελλόντων (τοῦτο γὰρ δηλοῖ τὸ Προμηθέως ὄνομα) οὐ προενόησε τὰ μέλλοντα αὐτῷ συμβῆναι, οὔτε δύναται ἑαυτὸν ἐλευθερῶσαι ἀπὸ τῶν δεσμῶν.

ἐνταῦθα] Β. τούτοις συνὼν τοῖς δεσμοῖς. ὕβριζε] θρασύνου καὶ μεῖζον θεῶν φρόνει.

v. 83. συλῶν] Β. κλέπτων. ἐφημέροισι προςτίθει] τοῖς θνητοῖς δίδου.

ἐφημέροισι] Γ. Ἐφήμεροι κυρίως λέγονται οἱ κώνωπες, οἵ τινες ὄντες ἔσωθεν τοῦ πίθου ζῶσι, ἀποσκεπάσαντος δὲ τοῦ πίθου, καὶ ἰδόντες αὐτὸ τὸ φῶς οὐκέτι ζῶσιν· ἐξ αὐτῶν δὲ ἐκλήθησαν καὶ οἱ ἄνθρωποι ἐφήμεροι.

v. 84. οἷοι τε] Β. δυνατοί. ἀπαντλῆσαι] ἐλευθερῶσαι.

v. 85. ψευδωνύμως] Α. Εὐφυῶς ἀπὸ τοῦ ὀνόματος ἔλαβε τὸ νόημα. Προμηθεὺς γάρ ἐστιν ὁ προορῶν τὰ μήδεα, τροπῇ τοῦ Δ εἰς Θ. Τέχνης] τῶν δεσμῶν.

ψευδωνύμως] Β. ψευδῶς. δαίμονες] οἱ θεοί.

v. 86. αὐτὸν γάρ σε δεῖ Προμηθέως] Β. χρεία ἐστὶ Προμηθείας. Ἡ δὲ σύνταξις, ὡς τό, χρεὼ βουλῆς ἐμέ τε καὶ σέ, δοτικὴν γὰρ ἔδει εἰπεῖν, νῦν δὲ πρὸς αἰτιατικὴν ἐπήνεγκε λαμβανομένης ἔξωθεν τῆς εἰς.

δεῖ] Γ. χρεία γάρ σοι ἀνθρώπου συμβουλευομένου τίνι τρόπῳ ἐκβληθῇς τοῦ τεχνηέντως κατεσκευασμένου δεσμοῦ.

v. 87. ὅτῳ] Β. τίνι. ἐκκυλισθήσῃ] ἐλευθερωθήσῃ. τέχνης] τῆς τοῦ Ἡφαίστου.

v. 88. ὦ Διὸς αἰθὴρ] Α. Ἁρμοζόντως φησὶν ὁ ποιητὴς μηδ' εὐθὺς ἀντειπεῖν τὸν Προμηθέα, ἵνα μὴ δόξῃ ἄφρων καὶ αὐθάδης· μετὰ δὲ τὸ ἀποχωρῆσαι τοὺς κολαστὰς προςμαρτύρεται τὸν αἰθέρα καὶ τοὺς ἀνέμους, ἤτοι τὰ ἀέρια στοιχεῖα, τοὺς ποταμοὺς καὶ τὰς πηγάς, τὴν ὑγρὰν φύσιν. Καὶ τὴν γῆν, τὴν ξηρὰν φύσιν, καὶ τοῦ ἡλίου τὴν φύσιν. Καὶ λέγει αὐτοῖς· θεάσασθέ με, οἷα πάσχω κακὰ καὶ παρὰ τῶν θεῶν καὶ ἐγὼ θεὸς ὤν. Ἀλλάσσει δὲ εὐθὺς τὴν λέξιν, καί φησι, δέρχθητε, ἀντὶ τοῦ ἴδετε, οἵαις τιμωρίαις διακοπτόμενος κακοπαθήσω ἐς τὸν διηνεκῆ χρόνον. Τοιοῦτον γὰρ δεσμὸν ἐξεῦρεν ἐπί μοι ὁ νέος ἡγεμὼν τῶν θεῶν ἤγουν ὁ Ζεύς. Ἄλλως. Τεχνικὸν τὸ μὴ εὐθὺς εἰςάγειν λαλοῦν τὸ συνεκτικὸν πρόςωπον, πρὸς ἐρεθισμὸν τοῦ ἀκροα-

του· μεγαλοφυῶς δὲ τὰ τέσσαρα στοιχεῖα ἐπικαλεῖται μόνος. Δεῖ δὲ, πάντων ἀποστάντων.

ὦ Διὸς αἰθὴρ] B. νῦν τὰ τέσσαρα ἐπιβοᾶται πρὸς οἶκτον στοιχεῖα, πῦρ, ἀέρα, ὕδωρ, γῆν· ἐπειδὴ καὶ ἥλιος διὰ τούτων διέρχεται καὶ τῶν ἑκάστοτε γιγνομένων ἐστὶ θεατής, προσειλήφει καὶ τοῦτον τῇ ἐπικλήσει. ταχύπτεροι] ταχεῖαι, καὶ τάχος τοῖς πτεροῖς τῶν ὀρνέων παρέχουσαι.

ταχύπτεροι] Γ. Οἱ ἄνεμοι κατὰ μὲν Ἀναξαγόραν ἐκ τῆς γῆς γίνονται, καθ' Ὅμηρον δὲ, πρὸς Διὸς ἐκ νεφελάων. Ἀλλ' ὁ μὲν Ἀναξαγόρας τὸ ὑλικόν φησιν αἴτιον τῶν ἀνέμων, Ὅμηρος δὲ τὸ ποιητικὸν, μᾶλλον δὲ ἀμφότεροι τό τε ὑλικὸν αἴτιον καὶ ποιητικόν· ἐκ μὲν γὰρ τοῦ λέγειν, τοὺς ἀνέμους ἱκμένους ἤτοι ἰκμώδεις, καὶ καθύγρους, τὸ ὑλικὸν αὐτῶν αἴτιον λέγειν τὴν ἰκμάδα καὶ δρόσον. Ἐκ δὲ τοῦ λέγειν αὐτοὺς ὁρμᾶν πατρὸς Διὸς ἐκ νεφελάων τὸ ποιητικόν φησιν αἴτιον. Ἰκμὰς γὰρ λεπτυνθεῖσα ἀὴρ γίνεται· ἀὴρ δὲ ἔτι ἀναχθεὶς καὶ λεπτυνθεὶς πνεῦμα.

v. 89. ποταμῶν τε πηγαὶ] B. ὦ. ποντίων] τῶν θαλασσίων.

v. 90. γέλασμα] A. Καλῶς εἶπε γέλασμα τὸ χῦμα ἐκ μεταφορᾶς τῶν γελώντων καὶ διαχεομένων. Ὥσπερ γὰρ ἐκεῖνοι εὐφραινομένης τῆς καρδίας γελῶσι, γελῶντες δὲ διαχέοντας καὶ εὐρύτατοι ποιοῦνται τῶν στομάτων αὐτῶν· ὥσπερ πάλιν οἱ λυπούμενοι συστέλλονται τοῦ ἐν αὐτοῖς ἐμφύτου θερμοῦ αἵματος συστελλομένου· οὕτω καὶ τὸ κῦμα ὡσανεὶ γελᾷ καὶ διαχέεται συχνὸν ἐρχόμενον καὶ ἐπάλληλον. Ἄλλως. Γέλασμα διάχυμα. διάχυμα.

ἀνήριθμον γέλασμα] ἄπειρον χῦμα, πλάτος. Ἐκ μεταφορᾶς τῶν γελώντων· οἱ γὰρ γελῶντες ἐξήπλωνται. Παμμῆτορ] ἡ πάντων μήτηρ καὶ τροφὸς, ζώων λέγω καὶ σπερμάτων καὶ ἀνθρώπων.

v. 91. καὶ τὸν πανόπτην] A. ἤλλαξε τὴν φράσιν. πανόπτην] B. τὸν πάντ' ἐφορῶντα· τὸν πάντα βλέποντα, ἢ τὸν ὑπὸ πάντων βλεπόμενον.

v. 92. ἴδεσθε] B. θεάσασθε. θεὸς] ὤν.

v. 93. δέρχθηθ'] B. θεάσασθε. αἰκίαισι] τιμωρίαις.

v. 94. τὸν μυριετῆ] A. πολυετῆ. Ἐν γὰρ τῷ Πυρφόρῳ τρεῖς μυριάδας φησὶ δεδέσθαι αὐτόν.

διακναιόμενος] B. διακοπτόμενος καὶ πρὸς ταλαιπωρῶν. μυριετῆ] πολὺν· τρεῖς μυριάδας αὐτὸν φασι δεδέσθαι.

v. 95. ἀεθλεύσω] B. μετ' ἄθλου καὶ κακότητος διάξω.

v. 96. τάγος] B. ἡγεμών. ἔξευρ'] ἐμηχανήσατο.

v. 97. ἀεικῆ] B. ἀπρεπές.

v. 98. τὸ παρὸν] B. τὸ ἐνιστάμενον. ἐπερχόμεναι] μέλλον.

αἶ αἶ] Γ. φεῦ φεῦ, στενάζω καὶ τὸ παρόν, καὶ τὸ ἐπερχόμενον πῆμα. ~~ἀντὶ τοῦ ἐπιτελέσαι etc. alia marg.~~

v. 100. τόνδ' ~~ἐπιτεῖλαι~~] A. ~~ἀντὶ τοῦ ἐπιτελεσθῆναι. Ὡς τόδε·~~

~~Νέστορ~~ ὃν ἐκ Τροίας ἐπετέλλετο Παλλὰς Ἀθήνη.

χρὴ] B. ἀπόκειται. ἐπιτεῖλαι] φανῆναι.

v. 101. καί τοι τί φημι;] A. Ἀποδυρόμενος ὁ Προμηθεύς, ὡσανεὶ ἄγνοιαν προβαλλόμενος τῆς τελευτῆς καὶ τῶν συμβάντων αὐτῷ κακῶν, ἐρωτᾷ πότε ἥξει ἐλευθερία τῶν δεσμῶν· εἶτα γνοὺς ὡς αὐτός ἐστιν ὁ Προμηθεύς, καὶ οὐ μόνον τὰ αὐτῷ συμβησόμενα, ἐπίσταται, ἀλλὰ· καὶ τὰ ἑτέροις φησί, τί φημι ἐγώ; τὰ πάντα ἐπίσταμαι ἀκριβῶς· τὰ μέλλοντα δέ μοι συμβήσεσθαι, οὐδεμίαν βλάβην κομίσουσί μοι.

τί φημι] B. τοῦτο.

v. 102. Σκεθρῶς] A. ἀκριβῶς. ποταίνιον] νέον, πρόσφατον, ~~οὐ~~ ἀπροόρατόν μοι.

σκεθρῶς] B. ἀκριβῶς. ποταίνιον] ἀπροσδόκητον, ἄγνωστον.

ποταίνιον] Γ. τὸ ἀπροόρατον, ἀπὸ τῆς πρὸ προθέσεως, καὶ τοῦ αἶνος, ὁ λόγος, ἤγουν τὸ μὴ γενόμενον εἰς ἐμὲ καὶ δεύτερον καὶ ἄλλο. Διότι ἐγὼ προγινώσκω τὰ πάντα.

v. 103. Πῆμ'] B. βλάβη. ἥξει] ἐπέλθῃ.

χρὴ] Γ. χρὴ δὲ ἑκάστῳ ὑπομένειν τὴν λαχοῦσαν αὐτῷ τύχην καὶ μοῖραν ὥςπερ κἀμοί. Ὑπομένειν δὲ ὡς λίαν γιγνώσκων τὸ τῆς ἀνάγκης σθένος, ἤγουν τὴν δύναμιν τῆς εἱμαρμένης ἀκαταμάχητον οὖσαν καὶ ἀήττητον.

v. 104. αἶσαν φέρειν ὡς ῥᾷστα] B. μοῖραν ὑπομένειν εὐκόλως.

v. 105. ἀνάγκης] B. τῆς βίας. ἀδήριτον] ἀμάχητον. σθένος] δύναμις.

v. 106. οὔτε σιγᾷν] A. οὔτε σιγᾷν δύναμαι, ἀλγῶ γάρ· οὔτε μὴ ἐλέγχειν, εὐλαβοῦμαι γὰρ Δία.

ἀλλ' οὔτε] B. ἔξεστί μοι τάςδε τὰς τύχας λέγειν τε καὶ σιγᾷν. Σιγᾷν μέν, ὅτι μὴ βουλομένου τοῦ Διὸς τὸ πῦρ ἔκλεψα, λέγειν δὲ ὅτι τοῖς βροτοῖς γέρα παρέσχον, καὶ πρὸς αὐτοὺς ἐφιλανθρωπευσάμην δούς τε τὸ πῦρ καὶ πάνθ' ὅσα προςῆκε σφᾶς εἰδέναι διδάξας.

σιγᾷν] σιωπᾷν. τύχας] τὰς ἐμὰς δυςτυχίας.

ἀλλ' οὔτε σιγᾷν] Γ. ὅμως οὔτε σιγᾷν δύναμαι τὰς τύχας· ἀλγῶ γάρ· οὔτε μὴ σιγᾷν, ἤτοι λαλεῖν, εὐλαβοῦμαι γὰρ τὸν Δία. Ἄλλως. Ἀλλ' οὐ δύναμαι ταύτας τὰς τύχας σιγῆσαι· ἐὰν γὰρ ταύτας σιγήσω λύπην τῇ ψυχῇ μου φέρω. Τὸ τοσοῦτον γάρ τις λυπεῖται ἐκ τῆς ἐκθλίψεως, ὃ συγχαίρει ὅταν ἔκδηλα ποιῇ καὶ πρὸς ἕτερον λέγῃ τὰ λυποῦντα αὐτόν. Εἰ δὲ μὴ σιγήσω, ἤτοι ἐὰν λαλήσω καὶ εἴπω τὰ λυποῦντά με, τὸν Δία παροτρύνω εἰς ὀργὴν ἐμήν.

v. 107. οἷον] B. δυνατόν. τὰς] ταύτας. γέρα] τιμάς.

v. 108. πορῶν] B. παρασχών, δοὺς ἐγώ. ὑπέζευγμαι] συνεζευγμένος εἰμί.

v. 109. ναρθηκοπλήρωτον] B. νάρθηκα μέσον *). θηρῶμαι] μετὰ μηχανῆς λαμβάνω. πυρὸς] τοῦ τοῖς ἀνθρώποις ἀεὶ ἐσομένου.

---

*) Hesych. Ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς πηγὴν] τὴν ἐν νάρθηκι θησαυρισθῆσαν· πάροσον τῷ νάρθηκι ἐχρῶντο πρὸς τὰς

ὁ ὁρῶν ἃ ζῶν οὐκ ἀπαλλάσσεται τῆς εἰς ἐμὲ ὀργῆς·

v. 110. πηγὴν κλοπαίαν] A. πᾶσα οὐσία μείωσιν πάσχει· τὸ δὲ πῦρ ἐν ὅσῳ κἂν τὸ τυχὸν ἔχῃ, πάλιν αὔξεται. Ὁ εἰδὼς πρῶτος ὁ ποιητὴς εἶπε Σπέρμα πυρός· καὶ τὸ σπέρμα γὰρ ἐξ ἐλαχίστου αὔξεται. Πρὸς τοῦτο οὖν ἀντεμηχανήσατο Αἰσχύλος, πηγὴν εἰπών· καὶ αὐτὴ γὰρ ἐκ τοῦ τυχόντος αὔξεται.

πηγὴν κλοπαίαν] B. Ῥίζαν καὶ ἀρχήν· πηγὴν κλοπαίαν εἶπεν ὅτι πᾶσα οὐσία μέτρον δέχεται, τὸ δὲ πῦρ ἂν τὸ τυχὸν εὑρεθῇ, ἤτοι σμικρότατος σπινθὴρ, ὕλῃ τῇ βίᾳ αὔξεται. Πάλιν πηγὴν οὖν εἶπε πυρὸς, ὅτι πολὺ αὔξεται ἐκ μικροῦ. Δέον εἰπεῖν κλοπαίου κλοπαίαν εἶπε πρὸς τὸ πηγήν. Τοιοῦτον δέ ἐστι καὶ τὸ ναρθηκοπλήρωτον, ὤφειλε γὰρ εἰπεῖν ἐντὸς νάρθηκος. Ἔστι δὲ τὰ τοιαῦτα ὀνόματα, τό τε κλοπαιαν τό τε ναρθηκοπλήρωτον, οἱονεὶ ἐπεξήγησις τοῦ θηρῶμαι, εἰπὼν γάρ, θηρῶμαι δὲ πηγὴν πυρός, ὤφειλεν εἰπεῖν καὶ τίνα τρόπον ἐθηράσατο.

πηγὴν] Γ. Θηρῶμαι δὲ καὶ σφετερίζομαι καὶ παρέχω τοῖς ἀνθρώποις πηγὴν πυρὸς κλοπαίαν τῷ νάρθηκι, ἤγουν ἔσω νάρθηκος, ἀντὶ τοῦ βαλών. Πηγὴν δὲ πυρὸς εἶπεν, ὅτι πᾶσα οὐσία μείωσιν δέχεται, τὸ δὲ πῦρ κἂν τὸ τυχὸν εὑρέθῃ, ἤτοι σμικρότατος σπινθὴρ, ὑποτεθῇ δὲ ὕλῃ τινι, πάλιν αὔξεται. Διὰ τοῦτο δὲ εἶπε πηγὴν πυρός, ὅτι ἐκ τοῦ μικροῦ αὔξεται.

v. 111. πόρος] B. πορισμὸς τοῦ ζῆν.

v. 112. τοιάς δε ποινὰς] B. τοιῶνδε ἁμαρτημάτων ποινὰς ἔδει εἰπεῖν, νῦν δὲ πρὸς τὸ ποινὰς τὴν σύνταξιν ἀπέδωκεν. ποινὰς] βλαβάς. ἀμπλακημάτων] ἕνεκα. τίνω] δίδωμι.

τοιάσδε] Γ. ἐγὼ γὰρ παρασχὼν τοῖς ἀνθρώποις τιμήν, τὴν διὰ τοῦ πυρὸς λέγω, ἐνεπάγην ταύταις ταῖς συμφοραῖς.

ἐκζωπυρήσεις τοῦ πυρός, ὅθεν καὶ τῷ Διονύσῳ ἀμείωσαν αὐτόν, διά τε τὰς ἐν ταῖς θοίναις τῶν δένδρων ἀφάς, καὶ διότι θερμός ἐστι φύσει ὁ οἶνος ἢ πυρώδης οἶνος τῷ πυρὶ ἴσον ἔχει μένος. — Ἐρατοσθένης.

v. 113. ὑπαίθριος] B. ὑπὸ τὴν αἰθρίαν ὑποκάτω τοῦ αἰθέρος, ἐκτὸς στέγης τινός. πασσάλευτος] πασσαλευόμενος, κεκαρφομένος.

v. 114. ἃ ἅ] A. ἐκπλήξεως ἐπιῤῥήματα.

ἃ ἅ] B. ἐκπληκτικόν.

v. 115. τίς ἀχώ, τίς ὀδμά] A. ἴσως αἱ ὠκεανίδες εὐωδίας ἔπνεον. Αἰσθητὴ δὲ ἡ ὀσμή, οὐχ ὁρατή· διὸ καὶ ἀφεγγῆ ταύτην φησίν· ὡς ἀθεώρητον οὖσαν διὰ τῆς ὀσμῆς προνοεῖν τὴν τῶν Ὠκεανίδων ἄφιξιν.

ἀχώ] B. φωνή. ὀδμά] ὀσμή. Ἴσως αἱ Ὠκεανίδες εὐωδίαν ἔπνεον, αἰσθητὸν δὲ ἡ ὀσμή, οὐχ ὁρατή, διὸ καὶ ἀφεγγῆ ταύτην εἶπεν, ὡς ἀθεώρητον, διὰ τῆς ὀσμῆς οὖν προνοεῖται τὴν τῶν Ὠκεανίδων ἄφιξιν. προσέπτα] προσῆλθε. ἀφεγγής] ἀόρατος.

v. 116. κεκραμένη] A. ἡμιθεῶν.

θεόσυτος] B. ἐκ θεῶν ὁρμηθεῖσα. βρότειος] ἀνθρωπίνη. κεκραμένη] ἡρωϊκή.

v. 117. τερμόνιον ἐπὶ πάγον] A. ἐπὶ τελευταῖον μέρος τῆς γῆς· ἐπειδὴ τέλος τῆς οἰκουμένης ὁ Καύκασος. Ἡ, οὖν ἐγὼ πρὸς τὸ πέρας εἰμὶ δεδεμένος· ἐπὶ γὰρ ἄκρου προςδέδεται.

ἵκετο] B. ἦλθε. τερμόνιον] τὸν τελευταῖον. πάγον] τὸν τραχὺν καὶ κρημνώδη τόπον.

v. 118. πόνων] B. τῶν κακοπαθειῶν θεωρός] θεατής.

ἐπί] Γ. ἡ ἐπί, ὅταν στάσεως μετὰ γενικῆς, ὅταν δὲ κινήσεως μετὰ αἰτιατικῆς. πάγον] ἐπὶ τέλει τοῦ Ὠκεανοῦ ὁ Καύκασος. Πάγος δέ παρὰ τὸ πήσσεσθαι ἐν αὐτῷ τὰ ὕδατα· ἢ διὰ τὸ τὰς πηγὰς ἐξ αὐτῶν τῶν ὀρῶν κατέρχεσθαι.

v. 119. ὁρᾶτε δεσμώτην] A. διὰ τοῦτο Δεσμώτης ἐπιγέγραπται.

ὁρᾶτε] B. πρὸς τὴν ὑπολειφθῆσαν αὐτῷ φαντασίαν τοῦτο λέγει.

δύςποτμον] δυςτυχῆ. Τὸ δύςποτμον οὐ πρὸς τὸν δεσμώτην, πρὸς τὸν θεὸν συντακτέον.

Καὶ αὐτοὶ γὰρ

v. 120. πᾶσι θεοῖς δι' ἀπεχθείας] A. Πάντες οἱ θεοὶ ὀργίζονται τῷ Προμηθεῖ διὰ τὸ πῦρ. Ἐκ γὰρ τούτου πάντα ῥᾷστα] εἶχον οἱ ἄνθρωποι, καὶ οὐκέτι ἔθυον συνεχῶς.

τὸ λοιπὸν

Φασὶ γὰρ τὸν Προμηθέα κεκλοφέναι ἀπὸ τοῦ Διὸς τὸ πῦρ, βαλεῖν τε νάρθηκι, καὶ τοῖς ἀνθρώποις καταγαγεῖν. Τοῦτο δὲ μυθῶδες. Τὰ δ' ἀληθὲς οὕτως ἔχει· πῦρ καλεῖται ἡ γνῶσις, διὰ τὸ δραστήριον. Προμηθεὺς δὲ καλεῖται ἡ προμήθεια, καὶ ἡ πρωτόπλασις ἣν δέδωκεν ὁ θεὸς τῷ ἀνθρώπῳ ἔχειν καὶ φυλάττειν, καὶ μή τινος φροντίζειν. Ὁ δὲ ταύτην λαβὼν οὐκ ἐφύλαξεν, ἀλλ' ἤρξατο φροντίζειν, καὶ λέγειν τὰ μὴ δέοντα, καὶ προβουλεύειν. Οὕτως οὖν κλέπτης λέγεται τῆς προμηθείας τῶν θεῶν. Ὅτι δὲ νάρθηκι ἔβαλε τὸ πῦρ, καὶ αὐτὸ προσφόρως· ἀπὸ γὰρ τῆς οἰκείας σοφότητος τοῦ νοὸς ἤρξατο φροντίζειν, καὶ προλέγειν τὰ μὴ δέοντα.

πᾶσι θεοῖς] B. πάντες γὰρ οἱ θεοὶ ὠργίζοντο πρὸς τὸν Προμηθέα διὰ τὸ πῦρ; ἐκ τούτου γὰρ πάντα ῥᾷστα εἶχον οἱ ἄνθρωποι, καὶ οὐκέτι ἔθυον αὐτοῖς.

v. 121. δι' ἀπεχθείας] B. ἐν ἔχθρᾳ.

v. 122. εἰσιχνεῦσι] B. διάγουσι. Καλῶς δὲ εἶπε τὸ ὁπόσοι τὴν Διὸς αὐλὴν εἰσιχνεῦσιν, ὥσπερ εἰ ἔλεγεν ὁπόσοι Διὸς φίλοι, ἦσαν γὰρ καὶ ἕτεροι οἱ οὐ προσεῖχον Διΐ, τοιοῦτοι δὲ οἱ Τιτᾶνες.

εἰσοιχνεῦσι] Γ. ἀπὸ τοῦ οἴχω, οἰχνῶ, ὥσπερ καὶ ἵκω ἱκνῶ. Σχῆμα τὸ λεγόμενον καινοπρεπές. Ἔστι δὲ τῶν Ἀττικῶν, τοῦτο γὰρ πρὸς τὸν νοῦν καὶ τὸ σημαινόμενον τῆς λέξεως ἀφορῶσιν.

v. 123. φιλότητα βροτῶν] B. ἀγάπην ἣν εἶχον εἰς τοὺς βροτούς.

v. 124. φεῦ, φεῦ] A. πλησιέστερον γενομένης τῆς τῶν Ὠκεανίδων πληθύος, ἤδη καὶ τῆς τῶν πτερύγων ἠχοῦς αἰσθάνεται, καί φησι, τί δή ἐστι τὸ κίνημα τῶν ὀρνέων, ὅπερ ἀκούω πλησίον; ὑποσυρίζει γὰρ ὁ αἰθὴρ ἐλαφραῖς πνοαῖς πτερύγων. Φησὶν οὖν ὁ χορὸς τῶν Ὠκεανίδων πρὸς αὐτόν. Μηδαμῶς φοβηθῇς Προμηθεῦ· προσέβη γὰρ ἐν-

ταῦθα πληθὺς φίλων ἐν ταχυτάτῃ κινήσει τῶν πτερύγων, μόλις πείσασα τὴν τοῦ πατρὸς Ὠκεανοῦ διάνοιαν.

κινάθισμα] κίνημα πλήθους. Παραγώγως. Ἐξ οὗ πλῆθος παραγίνεσθαι ὑπακούεται.

κινάθισμα] B. κίνημα, ὁρμήν.

v. 125. πέλας] B. τοῦ Καυκάσου. οἰωνῶν] ὀρνέων. αἰθὴρ] ὁ ἀήρ. ἐλαφραῖς] ἐλαφρῶν.

v. 126. ῥιπαῖς] A. ὁρμαῖς.

πτερύγων] B. ἐκ τῶν πτερύγων γινομέναις.

v. 127. φοβερὸν] B. φόβου ἄξιον. τὸ προσέρπον] τὸ εἰσερχόμενον.

v. 128. μηδὲν φοβηθῇς] A. ὁ ῥυθμὸς Ἀνακρεόντειός ἐστι κεκλασμένος πρὸς τὸ θρηνητικόν. Ἐπεδήμησε γὰρ τῇ Ἀττικῇ Κριτίου ἐρῶν, καὶ ἠράσθη λίαν τοῖς μέλεσι τοῦ τραγικοῦ. Ἐχρῶντο δὲ αὐτοῖς οὐκ ἐν παντὶ τόπῳ, ἀλλ' ἐν τοῖς θρηνητικοῖς, ὡς καὶ Σοφοκλῆς Τηρεῖ β. Ἐστὶ δὲ ταῦτα ὅμοια τῷ· οὐδ' αὖ ἐάσεις με μεθύοντ' οἴκαδ' ἀπελθεῖν.

φιλία γὰρ ἥδε] αὕτη ἡ φάλαγξ ἡ συστοιχία, ἀντὶ τοῦ ἡμεῖς. Ταῦτα δέ φασιν ἀεροδρομοῦσαι διά τινος μηχανῆς. Ἄτοπον γὰρ κάτωθεν διαλέγεσθαι τῷ Προμηθεῖ τῷ ἐφ' ὕψους ὄντι. Ἐν ὅσῳ δὲ Ὠκεανῷ προσλαλεῖ κατίασιν ἐπὶ γῆν.

μηδὲν φοβηθῇς] B. ὅρα ἵνα μή. φιλία] φιλική. ἥδε τάξις] ἤτοι τὸ ἡμέτερον τάγμα.

v. 130. προσέβα τόνδε πάγον] B. προσῆλθε τὸν κρημνώδη τόπον.

v. 131. παρειποῦσα] B. καταπείσασα.

v. 132. κραιπνοφόροι δέ μ' ἔπεμψαν αὖραι] A. ἐκόμισαν δὲ ἐμὲ ἐνταῦθα αἱ ταχύταται πνοαὶ τῶν ἀνέμων. Ἡνίκα γὰρ ἐπασσαλεύου τῇ πέτρᾳ προσηλούμενος, ὁ κτύπος τοῦ σιδήρου διῆλθεν εἰς τὸν ἐσώτατον τόπον τῶν ἡμετέρων οἰκημάτων. Τοῦτο δὲ δηλοῖ ὅτι καὶ μέχρι τοῦ Ὠκεανοῦ ὁ κτύπος ἀφίκετο.

κραιπνοφόροι] B. ταχεῖαι. αὖραι] τοῦ ἀέρος πνοαί.

κραιπνοφόροι] Γ. Κραιπνὸν τὸ ταχύ, ἀπὸ τοῦ κάρτα πνεῖν.

v. 133. Ἀχὼ] B. ἡ βοή. χάλυβος] τοῦ σιδήρου. Ἰστέον ὅτι πρῶτον ὁ σίδηρος ἐν Χάλυψι, ἔθνος ἔνθα ὁ σίδηρος ἐγένετο. Ὅταν δὲ προσεκαρφοῦτο ὁ κτύπος τοῦ σιδήρου ἠκούετο ἐκεῖ *). διῇξεν] διῆλθεν. ἄντρων μυχὸν] τῶν ἐντὸς τῶν πηγῶν κοιλωμάτων, ἔνθα φασὶ κατοικεῖν τὰς Νύμφας.

χάλυβος] Ἐκ τοῦ πρωτοτύπου τὸ παράγωγον. Χάλυβές γὰρ ἔθνος, καὶ ἐκ τούτων εὑρέθη ὁ σίδηρος. Χάλυβες ἔθνος, ἐν ᾧ γίνεται ὁ σίδηρος, ἤγουν πρῶτον εὑρέθη.

v. 134. θεμερῶπιν] A. γράφεται θερμερῶπιν. Τὴν ἐπικειμένην θερμότητα τῷ προσώπῳ ἤτοι τὴν ἐρυθρότητα, ἣν οὐκ ἔνεστιν ἐν ἀνδρὶ βλέπειν· καὶ γὰρ ἡ παρθένος ἐρύθημα ἔχει ἐν τῷ ἑαυτῆς προσώπῳ, οὔπω γὰρ συνεζεύχθη ἀνδρί, ὥστε τρέφειν διὰ τοῦ αἵματος ἑαυτῆς τὸ παιδίον, οὔτε καταμήνια βλέπει, δι' ὧν τρέφεται τὸ ἔμβρυον, καὶ διὰ τοῦτο τὸ αἷμα διὰ τοῦ προσώπου αὐτῆς ἐξέρχεται· ἡ δὲ γαμηθεῖσα, χλωριάσασα τὴν ὄψιν ἐστίν, ὡς ἀπολείποντος τοῦ αἵματος αὐτῆς καὶ τρέφοντος τὸ ἔμβρυον. Ἐκεῖ γὰρ κατέρχεται ἅπαν τὸ αἷμα αὐτῆς, καὶ αὐτὴ μένει χλωρὰ βλέπουσα διὰ καταμήνια, δι' ὧν τρέφεται τὸ παιδίον. Ἔχει γάρ τι ἐρύθημα ἡ παρθένος ἐν τῷ ἑαυτῆς προσώπῳ, ὃ οὐκ ἔστιν ἐν ἀνδρὶ βλέπειν. Ἀποσεῖσαι δέ με καὶ ἀποῤῥίψαι πεποίηκε τὴν πολλὴν θερμὴν αἰδῶ, ἤγουν τὴν καλλίστην, τὴν ἐξ ἀναδόσεως αἵματος γενομένην, καὶ τολμηρότερον ἐνταῦθα παρεῖναι.

ἐκ δ' ἔπληξέ μου τὴν θερμερῶπιν αἰδῶ] B. εἰς ἔκπληξιν καὶ φόβον ἐκίνησε παρθενικὴν ἐμέ· περιφραστικῶς. Ἀπεσείσατό μου τὴν παρθένοις πρέπουσαν αἰδῶ, τὴν ἐπικειμένην θερμότητα τῷ προσώπῳ, ἤτοι τὴν ἐρυθρότητα ἣν οὐκ

---

*) Haec e compluribus gloſſis male conſarcinata ſunt; fortaſſe ſic conſtituenda: χάλυβος] τοῦ σιδήρου. ὅταν δὲ προσεκαρφοῦτο, ὁ κτύπος τοῦ σιδήρου ἠκούετο ἐκεῖ. Ἰστέον δὲ ὅτι πρῶτον ὁ σίδηρος ἐν Χάλυψι ἐγένετο. Ἄλλως. χάλυβος] τοῦ σιδήρου. Καὶ Χάλυβες ἔθνος ἔνθα ὁ σίδηρος ἐγένετο.

ἔξεστιν ἀνδρὶ βλέπειν· καὶ γὰρ ἡ παρθένος ἐρύθημα ἔχει ἐν τῷ ἑαυτῆς προσώπῳ.

v. 135. σύθην δ' ἀπέδιλος] A. ἦλθον δὲ καὶ ὥρμησα, ἀπέδιλος ὄχῳ πτερωτῷ ἤγουν τῇ δι' ἀέρος πτήσει. Διὰ τοῦτο δὲ δηλοῖ ὅτι σπουδαίως παρεγένοντο· ὥστε οὐδὲ τὰ οἰκεῖα πέδιλα δυνηθῆναι βαλεῖν. Ἄλλως. ὄχῳ πτερωτῷ, ταῖς πτέρυξιν, αἷς ἐποχοῦνται οἱ ἱπτάμενοι. Σύθην δ' ἀπέδιλος ὡς τό· γείτονες ἄζωστοι ἔκιον *).

σύθην] B. ὥρμησα. ἀπέδιλος] ἀσάνδαλος. Διὰ τοῦτο δῆλον, ὅτι σπουδαίως παρεγένοντο, οὐδὲ τὰ οἰκεῖα πέδιλα δυνηθεῖσαι βαλεῖν. ὄχῳ] ἅρματι. πτερωτῷ] τοῖς πτεροῖς. ὄχημα γὰρ ἦν αὐτοῖς τὰ πτερά, ὥσπερ τοῖς ἱππεῦσιν οἱ ἵπποι.

v. 136. αἶ αἶ] A. Φεῦ, φεῦ, τέκνα τῆς πολυτέκνου Τηθύος, ἤγουν τῆς γῆς, καὶ τοῦ Ὠκεανοῦ περικυκλοῦντος πᾶσαν τὴν γῆν.

αἶ αἶ] B. τὰ εἰς αι λήγοντα δίφθογγα ἐπιῤῥήματα ἐπὶ τέλους ἔχοντα τὸν τόνον περισπῶνται· ἰατταταῖ, παπαῖ, αἶ, καὶ τὰ ὅμοια, πλὴν τοῦ βαβαί, ναί, ἐπίῤῥημα καταθετικόν, καὶ οὐαί.

v. 136. τῆς πολυτέκνου Τηθύος] B. τῆς παμμήτορος γῆς.

v. 138. ἑλισσομένου] B. συστρεφομένου.

v. 139. ἀκοιμήτῳ] A. γαληνώδει, πολυκοιμήτῳ, ἠρεμαίῳ ῥεύματι ἤτοι πολυησύχῳ· ἵνα τὸν ἀκαλαῤῥείτην δηλώσῃ. Τὸ γὰρ α κατ' ἐπίτασιν κεῖται. Εἰ γὰρ ἦν ταραχῶδες τὸ τοῦ Ὠκεανοῦ ῥεῦμα κυκλοῦντος πᾶσαν τὴν γῆν· ἀνάγκη ἦν καὶ τὴν γῆν κυμαίνεσθαι, ὡς ἐν αὐτῷ ἀναπεπταμένην· ὑδάτων δὲ ἀρεταὶ τέσσαρες, τὸ ψυχρόν, τὸ λευκόν, τὸ ἡδύ, καὶ τὸ ἠρεμαῖον τῆς ῥεύσεως.

χθόν'] B. γῆν. ἀκοιμήτῳ] ἀπαύστῳ.

---

*) Recepi emendationem Abreſchii, qui primus vidit hic a Schol. laudari hemiſtichium Heſiodi Ἐργ. v. 345. Vulgo legebatur ὥστε γείτονες ἄζωτοι ἔκιον.

v. 140. Πατρὸς Ὠκεανοῦ] Γ. Ὠκεανὸς τοῦ Οὐρανοῦ καὶ Γῆς υἱὸς ὁ πρῶτος γῆμας Τηθὺν τὴν ἀδελφὴν τάδε γεννᾷ τὰ τέκνα· τοὺς ποταμοὺς, τὰς πηγὰς τὰς οὔσας ἐν τῷ κόσμῳ. Ὧν καὶ Πλουτώ, καὶ Περσηΐς, καὶ Μῆτες, καὶ Ἀσία καὶ Στύξ, ὁμοῦ καὶ Καλυψώ· τὰς δ' ἄλλας ἐατέον. δέρχθητ'] Ἴδετέ με, οἵῳ προσηλωμένος δεσμῷ τῆς ἐξοχῆς ταύτης τοῦ ὄρους κακὴν τήρησιν βαστάζω.

v. 141. οἵῳ] Β. καὶ ὁποίῳ. προσπόρπατος] κεκαρφόμενος.

v. 143. ἄζηλον] Α. χαλεπὴν, κακόζηλον φυλακὴν βαστάζω, ὅ ἐστι φρουρήσω τὴν πέτραν.

φρουρὰν ἄζηλον ὀχήσω] Β. οἴκησιν κακὴν, ἣν οὐδεὶς ζηλώσει, φυλάξω.

v. 144. λεύσσω Προμηθεῦ] Α. βλέπω, ὦ Προμηθεῦ ἃ πάσχεις φοβερά· ἤγουν φόβου ἄξια· εἰσῆλθε δὲ τοῖς ἐμοῖς ὀφθαλμοῖς νεφέλη πλήρης δακρύων, εἰσιδούσῃ τὸ σὸν σῶμα πρὸς τῇ πέτρᾳ ξηραινόμενον καὶ κατατηκόμενον, ταῖς τοῦ σιδηροῦ βλάβαις. Νέοι γὰρ βασιλεῖς κρατοῦσι τοῦ Ὀλύμπου. Λέγει δὲ τοῦτο διὰ τὸν Δία· ἤδη γὰρ ἔρριψε τὸν ἑαυτοῦ πατέρα Κρόνον τῆς βασιλείας, καὶ νέοις νόμοις καὶ ἀσυνήθεσι τὰ πάντα διεξάγει ἀδίκως. Οἰακόνομοι δὲ λέγονται οἱ κυβερνῆται τῶν νηῶν· ὥσπερ γὰρ ἐκεῖνοι τρέπουσι τὴν ναῦν ἔνθα βούλονται, οὕτω καὶ ὁ βασιλεὺς ποιεῖ ἃ βούλεται.

λεύσσω] Β. βλέπω. ὄσσοις] ὀφθαλμοῖς.

ὄσσοις] Γ. Ἢ στικτέον εἰς τὸ φοβερά, ἵνα ᾖ ἡ σύνταξις οὕτως. Ὦ Προμηθεῦ, λεύσσω καὶ βλέπω ἃ πάσχεις, δηλονότι φοβερὰ καὶ ἄξια φόβου. Τὸ δὲ ΔΕ ἀντὶ τοῦ γάρ, ἵν' ᾖ τὸ ἑξῆς οὕτως· εἰσῆλθε γὰρ τοῖς ἐμοῖς ὀφθαλμοῖς νεφέλη πλήρης δακρύων.

v. 145. ὁμίχλη] Α. ταύτην τροπικὴν ἀπὸ τοῦ νέφους καὶ τῆς ὁμίχλης· ἐκ τούτων γὰρ τὸ ὕδωρ καταρρήγνυται· οὕτω δὴ καὶ ἐνταῦθα νέφους ἐπιγεγονότος δάκρυα καταχέουσιν οἱ ἄνθρωποι.

ὁμίχλη] Β. νέφος λύπης. προσῇξε] προσῆλθε.

v. 146. εἰςιδούσῃ] B. καὶ εἰςιδούσῃ τὸ ση η, καὶ εἰςιδοῦσι το σι ι, καὶ τὸ εἰςιδοῦσι μὲν πρὸς τὸ ὀφθαλμοῖς, τὸ δὲ εἰςιδούσῃ πρὸς τὸ σημαινόμενον. Τὸ γὰρ προςῆλθε τοῖς ἐμοῖς ὄσσοις οὐκ ἔστιν ἕτερόν ἢ ἐμοί.

v. 147. προςαυαινόμενον] B. ξηραινόμενον, καὶ προσταλαιπωροῦν.

v. 148. ἀδαμαντοδέτοισι] A. ἰσχυροδέτοις.

λύμαις] B. βλάβαις, κολάσεσι.

v. 149. οἰακονόμοι] B. ἄρχοντες, ἤτοι ὁ Ζεύς. ὀλύμπου] τοῦ οὐρανοῦ.

v. 150. νεοχμοῖς] B. νέοις. ἀθέσμως] ἀνόμως, καὶ ἔξω τοῦ νόμου καθ' ὃν ἦρχον ὅ τε Οὐρανός, καὶ ὁ Κρόνος.

v. 151. Πελώρια] A. ἐτυμολογεῖται ἀπὸ τοῦ πέλω τὸ πλησιάζω, καὶ ὥρα ἡ φροντίς. Ἄλλως. Πελώρια λέγει τοὺς Τιτᾶνας· πρὶν γάρ, ὡν λέγουσί τινες, οἱ Τιτᾶνες ἐβασίλευον· ἐλθὼν δὲ ὁ Ζεύς, καὶ καταβαλὼν τούτους ἐβασίλευσε. Πελώρια οὖν λέγει καὶ Τιτᾶνας καὶ νόμους αὐτῶν. τοὺς τιτᾶνας καὶ τοὺς τῶν νόμους

πελώρια] B. τὰ κεφάλαια τόν τε Κρόνον, τούς τε Τιτᾶνας.

πελώρια] Γ. Πελώριον δὲ λέγει τὸν Γίγαντα, πρὶν γάρ, ὡς λέγουσί τινες, οἱ Τιτᾶνες ἐβασίλευον· ἐλθὼν δὲ ὁ Ζεύς, καὶ καταβαλὼν τούτους ἐβασίλευσε. Ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ πέλω, τὸ πλησιάζω, καὶ ὥρα ἡ φροντίς. Τῶν γὰρ μεγάλων πάντες φροντίζουσιν. Ἢ ἀπὸ τοῦ πέλας ἤγουν ἐγγὺς εἶναι τοῦ Ὠρίωνος.

v. 152. εἰ γάρ μ' ὑπὸ γῆν] A. Εἴθε, φησίν, οὕτως ἀπηνῶς ὑπολαβών με ὁ Ζεὺς τοιούτοις ἀλύτοις δεσμοῖς ἔπεμψεν ἂν ὑπὸ τὴν γῆν κάτωθεν τοῦ τοὺς νεκροὺς δεχομένου ᾅδου. Λέγει δὲ εἰς τὸν ἀκατανόητον καὶ ἀμέτρητον τάρταρον· ἐπεὶ καὶ ἐν τῷ ᾅδῃ θεοί εἰσιν, ὁ Πλούτων, ἡ Περσεφόνη καὶ ἄλλοι. ὡς μήτε θεὸς] καλῶς οὐκ ἐπήνεγκεν μήτε τις ἄνθρωπος· οὐ γὰρ ἐπέχαιρον οὗτοι αὐτῷ ἀλλὰ καὶ συνέπασχον.

εἰ γὰρ] B. εἴθε. νέρθεν] ὑποκάτω.

v. 153. ἀπέραντον] B. ἀτελῆ διὰ τὸ βάθος.

v. 154. τάρταρον] B. λέγω. ἧκεν] ἔπεμψεν ὁ Ζεύς.

v. 155. ἀγρίως] B. ἀπηνῶς. πελάσας] ἐκεῖσε. ὡς] ἵνα.

v. 156. ἐπεγήθει] B. ἐπέχαιρε.

v. 157. αἰθέριον κίνυγμα] A. ὥσπερ εἴδωλον κρέμαμαι ὑπὸ τὸν ἀέρα, ἐπίχαρτα πεπονθὼς τοῖς ἐχθροῖς.

αἰθέριον κίνυγμ'] B. ἐναέριον κρέμασμα ὑπάρχων.

νῦν δ' αἰθέριον κίνυγμ'] Γ. Νῦν δὲ πέπονθα ὁ τάλας κίνυγμα ὡσανεὶ κρέμασμα αἰθέριον, ἤγουν εἴδωλον τοῖς ἄλλοις θεοῖς τοῖς ἐμοῖς ἐχθροῖς. Κίνυγμα, τὸ κίνημα καί ἐστι πρωτότυπον τὸ κινῶ, ἐξ οὗ κινύω, καὶ κίνυμι· τὸ δὲ κίνυμα ποιὰ φωνὴ ἐν τῷ ἀέρι μετὰ ῥάβδου γινομένη. Οὗ χρῆσις ἐν τῷ· κεκίνυντο φάλαγγες, ὅ ἐστι κατὰ νοῦν. Ἐκ δὲ τοῦ κινύω παράγεται τὸ κινύσσω, ἀφ' οὗ καὶ κίνυγμα τὸ αἰθέριον εἴδωλον. Κατὰ τὸ αἰθύσσω αἴθυγμα, πτύσσω πτύγμα, πτυγμὴ καὶ ἀποβολῇ τοῦ τ, πυγμή, καὶ ξύσμα ξυσμή.

v. 158. ἐπίχαρτα] B. εὐφρόσυνα.

v. 159. ὧδε τλησικάρδιος] B. οὕτως σκληρογνώμων καὶ ἀπηνόφρων.

τίς ὧδε τλησικάρδιος] Γ. ὁ χορὸς φησὶ πρὸς τὸν Προμηθέα, τίς ἀπὸ τῶν θεῶν οὕτως ὑπάρχει λιθοκάρδιος ὥς τινι ἐπιχαρῆ, ἤγουν πρόξενα χαρᾶς ὑπάρχουσι ταῦτα ἃ πάσχεις; τίς ὁ μὴ συμπάσχει καὶ συναλγεῖ τοῖς σοῖς κακοῖς χωρὶς μόνου τοῦ Διός; Οὗτος γὰρ θέμενος καὶ οἱονεὶ σχὼν ἀκαμπῆ ψυχήν, ἐπικότως καὶ ὀργίλως δάμναται καὶ δαμάζει τὴν οὐρανίαν γένναν, ἤγουν τὸ γένος θεῶν. Οὐδὲ παυθήσεται τοῦ τυραννεῖν ἕως οὗ λάβῃ κόρον τῆς τυραννίδος καὶ ἐπιθέσεως, ἢ ἐν δυνάμει ἰσχυρᾷ ἀφέληταί τις τὴν ἀρχήν, καὶ τὴν βασίλειαν αὐτοῦ τὴν δυσάλωτον καὶ δυσκόλως ἀφαιρεθησομένην διὰ τὸ ἀνδρεῖον αὐτοῦ.

v. 160. ἐπιχαρῆ] B. ἄξια χαρᾶς.

v. 161. ξυνασχαλᾷ] B. συλλυπεῖται.

v. 162. δίχα γε Διός] A. πλὴν Διός.

τεοῖσι] B. ἰδίοις. ἐπικότως] ὀργίλως.

v. 163.

v. 163. ἄγναμπτον] B. ἀκαμπῆ, σκληρόν.

v. 164. οὐρανίαν γένναν] A. τὴν Τιτανικὴν τὴν ἐξ οὐρανοῦ.

δάμναται] B. δαμάζει. οὐρανίαν γένναν] τοὺς οὐρανοῦ ἀπογόνους θεούς.

v. 165. οὐδὲ λήξει] B. τοῦ δαμάζειν. κορέσῃ κέαρ] ἐμπλήσῃ τὴν ψυχὴν αὐτοῦ.

v. 166. παλάμᾳ] A. μηχανῇ. ἢ αὐτὸν καθέλῃ τις τῆς βασιλείας.

παλάμᾳ] B. μηχανῇ· παλαμᾶσθαι γὰρ τὸ μηχανᾶσθαι. δυςάλωτον ἕλῃ] δυςπόρθητον πορθήσῃ. ἀρχὴν] αὐτοῦ.

v. 167. Ἦ μὴν ἔτ' ἐμοῦ] A. ἐμοῦ χρείαν ἕξει ὁ πρύτανις, ὁ διοικητὴς καὶ ἡγεμὼν τῶν θεῶν ὁ Ζεύς, καί τοι αἰκιζόμενός με, ἤγουν δεσμῶν, ἰσχυραῖς γυοπέδαις καὶ δεσμοῖς τῶν μελῶν· ἤ, αἰκιζομένου ἐμοῦ παρ' ἐκείνου ἕξει δὲ χρείαν ἐμοῦ, δεῖξαι αὐτῷ τὸν νεωστὶ ἀποσυλήσοντα τὴν ἐξουσίαν αὐτοῦ, καὶ εἰπεῖν αὐτῷ βούλευμα, ὑφ' οὗ τὴν ἀρχὴν μέλλει ἀφαιρεθῆναι. Λέγει δὲ τὸν ἔρωτα τῆς Θέτιδος ὃν ἔσχεν ὁ Ζεύς. Οὗτος γὰρ ἐρασθεὶς αὐτῆς, ἐδίωκεν αὐτὴν ἐν τῷ Καυκάσῳ ὄρει, ὅπως συγγένηται αὐτῇ· ἐκωλύθη δὲ ὑπὸ Προμηθέως, εἰπόντος αὐτῷ, ὁ μέλλων γεννηθῆναι ἐξ αὐτῆς, ἔσται κρείττων κατὰ πολὺ τοῦ ἰδίου πατέρος. Φοβηθεὶς οὖν ὁ Ζεὺς περὶ τῆς βασιλείας, ἀπέσχετο τῆς πρὸς Θέτιδα συνουσίας. Φησὶν οὖν ὁ Προμηθεύς, ὅτι ἕξει ποτὲ χρείαν ἐμοῦ ὁ πρῶτος τῶν θεῶν, δεῖξαι αὐτῷ τὸν ἀφ' οὗ ἀφαιρεθήσεται τὴν βουλευτικὴν πρόνοιαν, τὴν ἐξουσίαν, τὰς τιμάς. Οὐδαμῶς δέ με τοῖς μειλιχίοις καὶ γλυκέσι ῥήμασι τῆς οἰκείας πειθοῦς θέλξει, ἤγουν ἀπατήσει· οὔτε μὴν δι' ἀπειλῶν πτήξει ἐμὲ εἰπεῖν αὐτῷ, πρὶν ἂν λύσῃ με τούτων τῶν ἀγρίων δεσμῶν, βουληθῇ δὲ δοῦναι ἐμοὶ ἀντίκτησιν καὶ ἀνταπόδοσιν ταύτης τῆς τιμωρίας ἣν ἐτιμωρήσατό με.

ἦ μὲν ἔτ'] B. ὄντως εἰς τὸ ἑξῆς. κρατεραῖς] ἰσχυραῖς, μεγάλαις.

v. 168. ἐν γυοπέδαις] B. δέσμαις. αἰκιζομένου] κολαζομένου καὶ καταβαλλομένου.

v. 169. μακάρων πρύτανις] B. ὁ θεῶν διοικητὴς καὶ ἄρχων Ζεύς.

v. 170. νέον βούλευμα] A. περὶ τοῦ ἔρωτος τῆς Θέτιδος φησί. Ἄλλως. τὸ νεωστὶ μηχανώμενον κατ' αὐτοῦ.

δεῖξαι] B. αὐτῷ. ὅτου] τίνος.

v. 171. ἀποσυλᾶται] A. ἀποσυληθήσεται. Πειθοῖ γὰρ ἡ βία πείθομεν. Ὡς ὁ ποιητής, Πολλὰ δὲ μειλιχίοισι προςηύδα πολλὰ δ' ἀρεῖῃ *). θέλξει] οὐ θέλξει ἐμὲ ταῖς ἐπαοιδαῖς, ὥςτε μηνύσαι τοῦτον, πρὶν ἂν χαλάσῃ, καὶ τὰ ἑξῆς.

ἀποσυλᾶται] B. ἀφαιρεθήσεται. Τὸ ἀποσυλᾶται οὐχὶ ἀντὶ τοῦ ἀποσυληθήσεται εἴπομεν, ἀλλὰ κατὰ τὴν κοινὴν συνήθειαν. Οὐ γάρ ἐστιν ἀντιχρονισμός, ὥς τινές φασιν, ἀλλὰ διὰ τοῦτο ἀποσυλᾶται εἶπε, καὶ οὐκ ἀποσυληθήσεται, ἐπειδὴ ὃ ἀπόκειται γενήσεσθαι, κἂν οὔπω πάρεστι, κατ' αὐτὸ τοῦτο, ὅτι ἀπόκειται, τοῦ ἐνεστῶτος χῶραν ἐπέχει.

v. 172. μελιγλώσσοις] B. θελκτικαῖς.

v. 173. ἐπαοιδαῖσι] B. λόγοις. θέλξει] ἀπατήσει καὶ ὑπάξεται.

v. 174. ἀπειλὰς] B. αὐτοῦ. πτήξας] φοβηθείς. τόδ'] τὸ βούλευμα.

v. 175. πρὶν ἂν] A. τοῦτο τῆς μεγαλοφυΐας Αἰσχύλου καὶ Προμηθέως ἄξιον, τὸ μετὰ τὴν λύσιν ποινὰς αἰτεῖν τὸν Δία.

καταμηνύσω] B. ἐξειπῶ αὐτῷ.

v. 176. χαλάσῃ] B. λύσῃ. ποινάς τε τίνειν] χάριτας ἀντιδιδόναι.

v. 177. τῆςδ' αἰκίας] B. ἧς πάσχω.

v. 178. σὺ μὲν θρασύς τε] A. σὺ μὲν εὔτολμος καὶ ἀναιδὴς γίνῃ, καὶ οὐδαμῶς ἐπικάμπτῃ, ταῖς πικραῖς ταύταις αἰκίαις καταπονούμενος καὶ πιεζόμενος. Ἐγὼ δὲ λίαν φοβοῦ-

*) Iliad. P. 431.

μαι περὶ ταῖς σαῖς τύχαις, καὶ λογίζομαι ποῖ ποτε παύσονται καὶ ἐλλιμενισθήσονται· ἀπὸ μεταφορᾶς τῶν προσορμιζομένων νηῶν. Ἤγουν, τί δεῖ σε τέρμα καὶ τέλος ἰδεῖν τῶνδε τῶν πόνων· ἀκαμπῆ γὰρ καὶ σκληρὰν ψυχὴν ἔχει ὁ Ζεύς. Ἄλλως. ἐγὼ ἀπορῶ, φησὶν, εἰ ὅλως σε ὁ Ζεὺς ἀπολύσει τῶν δεσμῶν· σὺ δὲ καὶ ἀντίποινα λαβεῖν ἀξιοῖς, ὥσπερ ἀγνοῶν τὸν τοῦ Διὸς τρόπον. Τὸ δὲ κέλσαντα, ἀντὶ τοῦ παυσάμενον. ἐλευθεροστομεῖς] παῤῥησιάζῃ.

θρασὺς] B. εἶ.

v. 179. δύαισιν] B. κακοπαθείαις αἷς σύνει. ἐπιχαλᾷς] ἐνδιδῶς.

v. 180. ἐλευθεροστομεῖς] B. σοβαρῶς καὶ ὑπεροπτικῶς φθέγγεις. Ἐκ μεταφορᾶς τῶν ἐλευθέρων τοιούτων ὄντων· τοῖς γὰρ δούλοις πεπτηχέναι καὶ τρέμειν πάρεστι διὰ τὴν δουλίαν.

v. 181. διάτορος φόβος] A. ὁ διατορεῖν δυνάμενος καὶ τιτρώσκειν.

διάτορος] B. μέγας.

v. 182. δέδια] B. φοβοῦμαι.

v. 183. πᾶ] B. ὅπου. τῶνδε πόνων] οὓς πάσχεις. χρὴ] ἀπόκειται.

v. 184. τέρμα] B. τέλος. κέλσαντ'] καταντήσαντα. ἀκίχητα] ἀκατανόητα.

v. 185. κέαρ ἀπαράμυθον] A. οὐ μύθῳ παραγόμενον, καὶ πειθόμενον, παρὰ τὸ, Ὅ τοι σθένος οὐκ ἐπιεικτόν *).

ἀπαράμυθον] B. ἀπαράκλητον λόγοις.

v. 186. οἶδ' ὅτι τραχύς τε] A. οἶδα, φησὶν ὁ Προμηθεὺς, ὅτι ἀμετάβλητός ἐστιν ὁ Ζεὺς, καὶ τὸ δόξαν αὐτῷ δίκαιον νομίζει εἶναι, ἀλλ' ὅμως ἔσται πραῢς, ὅταν τοῦτον τὸν τρόπον ῥαισθῇ καὶ κρατηθῇ, τὴν δὲ σκληρὰν καὶ ἀκατάπαυστον αὐτοῦ ὀργὴν καταπραΰνῃ· καὶ ἥξει ἐμοὶ εἰς φιλίαν καὶ συντυχίαν ἀναγκαζόμενος ἀναγκαζομένῳ. Ἤ,

*) Hom. Il. Θ. 463.

ποθῶν μαθεῖν τὰ περὶ ἑαυτοῦ, συνέλθῃ ἐμοὶ ποθοῦντι λυθῆναι τῶν δεσμῶν. Καὶ παρ' ἑαυτῷ τὸ δίκαιον ἔχων] πάντα δικαίως οἰόμενος ποιεῖν, αὐτὸς ἑαυτῷ ἀρέσκων, καὶ δίκαιον νομίζων εἶναι ὅπερ ἂν βούληται πράττειν.

οἶδ'] B. γινώσκω. τραχὺς] σκληρός ἐστι. καὶ παρ' ἑαυτῷ τὸ δίκαιον ἔχων] τὸ γὰρ αὐτῷ δόξαν δίκαιον ἡγεῖται, κἂν ἀδικώτατον ῇ.

v. 187. ἔμπας] B. ὅμως. οἴω] ὑπολαμβάνω.

v. 188. ὅταν ταύτῃ ῥαισθῇ] A. οὕτω τυφθῇ ἀπὸ τοῦ ἀναγκαίου ὥςπερ ἀπὸ ῥαιστῆρος, ἐκ μεταφορᾶς τῶν σιδηρῶν.

μαλακογνώμων] B. ταπεινός.

v. 189. ῥαισθῇ] B. οὕτως ὡς ἔφην δαμασθῇ.

v. 190. ἀτέραμνον] B. σκληρὰν καὶ ἄκαμπτον. στορέσας] μαλακίσας καὶ καταβαλών.

v. 191. ἀρθμὸν] B. ἕνωσιν.

v. 192. ἥξει] B. ἐλεύσεται ἵνα αὐτῷ ἀπαλλαγὴν φράσω.

v. 193. πάντ' ἐκκάλυψον] A. ἐκκάλυψον καὶ φανέρωσον καὶ εἰπὲ ἡμῖν πᾶσαν αἰτίαν, καὶ τὸν τρόπον, ἐν ποίῳ πταίσματι λαβών σε ὁ Ζεὺς αἰκίζεται καὶ τιμωρεῖ οὕτως ἀτίμως καὶ ὀδυνηρῶς· δίδαξον ἡμᾶς τόδε, εἰ μὴ βλάπτῃ καὶ ὡςανεὶ αἰσχύνῃ τῷ λόγῳ καὶ τῷ φανερῶσαι. Βουλόμενος τοίνυν ὁ ποιητὴς διδάξαι τὴν ὑπόθεσιν, προςεποιήσατο ἐρωτῆσαι αὐτὸν τὸν Προμηθέα τὰς Ὠκεανίδας. Ἄλλως. Τὴν ὑπόθεσιν βουλόμενος διδάξαι, τὸ πάρεργον *) τοῦ γυναικώδους ἤθους προςέλαβεν. Οὐκ ἂν γὰρ ὁ Ὠκεανὸς ἠξίωσεν ἐρωτῆσαι, εἰδώς.

ἐκκάλυψον] B. φανέρωσον. γέγων'] εἰπέ.

v. 194. αἰτιάματι] B. μέμψει.

v. 195. αἰκίζεται] B. κολάζει.

v. 196. δίδαξον] B. τοῦτο. λόγῳ] τῇ περὶ τούτων διηγήσει.

---

*) L. περίεργον. Pauw.

v. 197. ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε] A. ἄλγους μὲν αἴτια *) ὑπάρχουσί μοι ἐν τῷ λέγειν ταῦτα, λύπη δὲ πάλιν ἐστὶ σιγᾷν τινα τὰς οἰκείας λύπας; καὶ τοὺς ἑαυτοῦ πόνους. Εἰ γάρ τις ἐκκαλύπτει πρός τινα τὴν ἑαυτοῦ θλίψιν, δέχεται παρηγορίαν τινά, παραμυθούμενος παρ' ἐκείνου, πανταχόθεν δέ μοι δυστυχῆσαι ἐπῆλθε· καὶ λεγόμενα ταῦτα, λυπηρά εἰσι. καὶ σιωπώμενα, ἀλγεινά.

ἀλγεινὰ] B. λυπηρά.

v. 198. ἄλγος] B. λύπη. πανταχῆ δύσποτμα] ἐν τῷ λέγειν καὶ ἐν τῷ μὴ λέγειν δυσχερῆ καὶ βαρύτατα.

v. 199. ἐπεὶ τάχιστ' ἤρξαντο] A. ἐπεί, φησίν, ἔρις καὶ στάσις τοῖς θεοῖς ἐγίνετο, τοῖς μὲν ἐθέλουσιν ἐκβαλεῖν τῆς βασιλείας τὸν Κρόνον, τοῖς δὲ μή, ἐγὼ συνεβούλευον τούτοις τὰ ἀγαθά, ἀλλὰ πείθειν οὐκ εἶχον. Ἀπὸ τούτων δὲ προλέγει τινὰς εὐεργεσίας γενομένας τῷ Διῒ παρ' αὐτοῦ, ἵνα ἀχάριστον καὶ ἀγνώμονα αὐτὸν δείξῃ. αἱμύλας] συνετάς, τὰς ἐμὰς δηλοῖ.

χόλον] B. τὴν πρὸς ἀλλήλους ὀργήν.

v. 200. στάσις] B. μάχη. ἐν ἀλλήλοισι] τοῦτο διὰ μέσου. ὠροθύνετο] διηγείρετο.

v. 201. ἕδρας] B. τοῦ τῆς ἀρχῆς θρόνου.

v. 202. ὡς Ζεὺς ἀνάσσοι] B. ἵνα ὁ Ζεὺς βασιλεύοι. τοὔμπαλιν] τὸ ἐναντίον.

ὡς] B. ἵνα.

v. 204. ἐνταῦθ'] B. εἰς τοῦτο, ἢ τότε. τὰ λῷστα] τὰ ὠφέλιμα. πιθεῖν] καταπεῖσαι.

v. 206. αἱμύλας] B. ποταπὰς ἀπατηλάς. μηχανὰς] ἃς αὐτοῖς ἐμηχανώμην βουλάς.

v. 207. ἀτιμάσαντες] B. φαυλίσαντες. καρτεροῖς] σοβαροῖς.

v. 208. ᾤοντ'] ὑπελάμβανος. ἀμοχθεὶ] ἀπονητεί.

v. 209. ἐμοὶ δὲ μήτηρ] A. ἐμοί, φησὶν ὁ Προμηθεύς, ἡ μήτηρ προεῖπε τὰ μέλλοντα γενέσθαι. Τὸ δέ, οὐχ ἅπαξ μόνον Θέμις, ἀλλὰ καὶ Γαῖα, οὕτω νοητέον, εἰ καὶ ἡ

---

*) αἴτιαι conj. *Heath.*

ἐμὴ μήτηρ, καὶ Θέμις καὶ Γαῖα λέγεται, οὐ καινόν. Καὶ γὰρ ἁπλῆν *) μορφὴν ἔχουσιν οἱ θεοί, πολλοῖς δὲ ἐν ὀνόμασι καταμερίζονται. Ἄλλως. Ἐμοὶ δὲ προεῖπε τὸ μέλλον, ὥσπερ γενήσεται, ἡ μήτηρ, οὐ μόνον Θέμις λεγομένη, ἐλλειπτικῶς κατὰ Ἀττικὴν συνήθειαν, ἀλλὰ καὶ Γῆ, καὶ τοῦτο ἐλλειπτικῶς. Ἡ Γαῖα προσέτι· μορφὴν γὰρ πολλῶν ὀνομάτων κατέχει **). Λέγεται δὲ καὶ ζείδωρος, καὶ βωτιάνειρα. Ἄλλως. Τὸ θεῖον φύσει μὲν ἐστὶν ἕν, ὀνόμασι δὲ πολυμερές· ἢ οὕτως, ἐμοὶ δὲ ἡ Θέμις, ὡς μήτηρ, μέλλον τὶ προεῖπε· καὶ τελεσθήσεται. Τὸ δέ, πολλῶν ὀνομάτων μορφή, λέγει, ὅτι τὴν μητέρα αὐτοῦ καὶ Γῆν καὶ Θέμιν ὠνόμασε.

οὐχ ἅπαξ μόνον] B. οὐ μόνον καλουμένη.

v. 210. μορφὴ μία] B. ἓν πρόσωπον.

v. 211. ἡ κραίνοιτο] B. ὅπου τελεσθείη. προὐτεθεσπίκει] προὐμαντεύσατο.

v. 212. ὡς] B. ὅτι. ὡς οὐ κατ' ἰσχὺν] τοῦτο πρὸς τὸ ἄνω, καὶ οὐ πρὸς τὸ σύναγκες ***) συνάπτεται τῇ ἐννοίᾳ, εἰπὼν γὰρ ἀνωτάτω τὸ ἐνταῦθ' ἐγὼ τὰ λῷστα βουλεύων, τὴν μὲν σύνταξιν ἀπέδωκε, τὴν δὲ ἔννοιαν οὐκ ἀπέδωκεν, οὐ γὰρ εἶπε τίνες ἦσαν αἱ συμβουλαὶ ἃς πρὸς αὐτοὺς ἐποιήσατο, ἀλλ' ἁπλῶς λῷστα εἶπε· νῦν δὲ πολλὰ διὰ μέσου θεὶς ἀποκαλύπτει ἃ συνεβούλευε, λέγων πρὸς αὐτοὺς ὡς οὐ χρὴ τὸν περιποιούμενον ἑαυτῷ ἀρχὴν, οὐκ ἐν θρασύτητι καὶ γνώμης ὑπερκοτίᾳ καὶ μετὰ δόλου περιποιεῖσθαι, ἀλλὰ μεταχειρίσεσι καὶ ἐπιτηδειότητι.

v. 213. ὑπερέχοντας] B. τοὺς μεγάλους. κρατεῖν] ἄρχειν.

v. 214. ἐξηγουμένου] B. παραινοῦντος καὶ λέγοντος.

v. 216. παρεστώτων] τῶν ἐνισταμένων πραγμάτων.

v. 218. συμπαραστατεῖν] B. συμμαχεῖν.

---

*) Hoc recte vidit *Pauw*. legendum esse pro vulg. ἄλλην.

**) Legendum μορφὴ γὰρ μία πολλῶν ὀνομάτων κατέχει. *Heath*.

***) σύναγκες nihili est. Legendum forte σύνεγγυς. *Heath*.

v. 219. ἐμαῖς δὲ βουλαῖς] A. διὰ τὰς ἐμὰς βουλὰς, φησὶ, καλύπτει καὶ κατέχει ὁ κατώτατος τόπος τοῦ ᾅδου ὁ σκοτεινότατος τὸν παλαιγενῆ Κρόνον, σὺν τοῖς συμμάχοις τοῖς Τιτᾶσιν.

μελαμβαθὴς] B. ὁ σκοτεινὸς διὰ τὸ βάθος.

v. 220. κευθμὼν] B. ὁ κατώτατος τόπος. παλαιγενῆ] τὸν παλαιὸν κατὰ τὴν γένναν.

v. 221. αὐτοῖσι] B. σύν. συμμάχοισι] αὐτοῦ.

v. 222. ὁ τῶν θεῶν τύραννος] B. Ζεύς.

v. 223. ποιναῖς ταῖςδε] B. αἷς σύνειμι. ἀντημείψατο] ἀντεδεξιώσατο.

v. 224. ἔνεστι γάρ πως] A. τοῦτο φυσικῶς πρόςεστι τοῖς τυραννοῦσι, τὸ ἐπιλανθάνεσθαι τῶν οἰκείων φίλων, καὶ τιμωρεῖν ἐκείνους ὡς ὑπόπτους. Τὸ δὲ τῆς τυραννίδος ὄνομα, τοῖς μὲν παλαιοτάτοις ἄγνωστον ἦν, οὗτος δὲ ὁ ποιητὴς οἶδεν αὐτὸ, πρὸ αὐτοῦ δὲ καὶ ὁ Ἀρχίλοχος, λέγων, Μεγάλης δ' οὐκ ἐρῶ τυραννίδος. μὴ πεποιθέναι] ἀμνημονεῖν τῶν φίλων.

v. 226. ὁ δ' οὖν ἐρωτᾶτ';] A. ὅπερ δὲ ἐρωτᾶτέ με, ἤγουν δι' ἣν αἰτίαν κολάζει με ὁ Ζεὺς, λέξω. Ἄλλως. Κατ' ἐρώτησιν ἑρμηνευτέον, ἐρωτᾶτέ με (πρὸς τὰς Ὠκεανίδας φησὶ) καθ' ἣν αἰτίαν, δι' ὃν τρόπον οὕτως ὁ Ζεὺς τιμωρεῖ με; τοῦτο ἐρῶ ὑμῖν.

ὁ δ' οὖν] B. ὅπερ. αἰτίαν] μέμψιν.

v. 228. ὅπως τάχιστα] A. τὸ ὅπως ἀντὶ τοῦ παρῳχηκότος, ἡνίκα ἐνιδρύνθη τῷ τοῦ πατρὸς αὐτοῦ θρόνῳ, ἤγουν ἐδράξατο ὁ Ζεὺς τῆς τοῦ πατρὸς αὐτοῦ Κρόνου ἐξουσίας, τηνικαῦτα μερίζει καὶ διανέμει γέρα τοῖς θεοῖς, ἤγουν ἐξουσίας, τιμὰς, δυνάμεις, ἄλλῳ ἄλλας. Καὶ διεστοιχίζετο, ἤγουν ἠσφαλίζετο, ἡδραίου τὴν ἑαυτοῦ βασιλείαν, καὶ τὰς τάξεις ἔνεμε τῆς ἀρχῆς. Τὸ ὅπως οὖν ἀντὶ τοῦ ἐπειδή.

ὅπως] B. ἐπεί. τὸν πατρῷον θρόνον] τὸν τοῦ πατρὸς αὐτοῦ Κρόνου.

v. 229. νέμει] B. μεμερισμένως παρέχει.

v. 230. διεστοιχίζετο] B. διεμέριζε κατὰ τάξιν.

v. 231. βροτῶν δὲ τῶν ταλαιπώρων] A. μισοπονήρως καὶ φιλανθρώπως ταλαιπώρων προσέθηκε. τῶν δὲ τληπαθῶν ἀνθρώπων οὐδένα ἔσχε λόγον, ἀλλ' ἔθελε τὸ πᾶν γένος αὐτῶν, τὸ τότε ὂν, ἀφανίσαι, καὶ ἄλλο γεννῆσαι καὶ πλάσαι νέον. Καὶ τούτοις τοῖς βουλεύμασι καὶ λόγοις τοῦ Διὸς οὐκ ἄλλος οὐδεὶς ἀνθίστατο καὶ ἠναντιοῦτο. Ἐγὼ δὲ καὶ τολμῆς ἤγουν τολμηρὸς, ἐλυτρωσάμην καὶ ἔσωσα τοὺς ἀνθρώπους τοῦ μὴ φθαρέντας αὐτοὺς εἰς τὸν ᾅδην παραγενέσθαι. Διὰ τοῦτο καταπονοῦμαι καὶ δαμάζομαι τοιαύταις βλάβαις, ἀλγειναῖς μὲν οὔσαις τοῖς πάσχουσι ταύτας, ἐλέους δὲ ἀξίαις τοῖς βλέπουσι. Καὶ τοὺς βροτοὺς οἰκτισάμενος, αὐτὸς οἴκτου οὐκ ἠξιώθην, ἀλλ' ἀπηνῶς ἐῤῥύθμισμαι, ἤγουν ἐσταύρωμαι καὶ ἐκτέταμαι. Τῶν δὲ μέσων τὸ ῥυθμίζειν ἐστίν. Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν χορδῶν.

λόγον] B. φροντίδα.

v. 232. ἀϊστώσας] B. ἀφανίσας. γένος] τούτων.

v. 233. ἄλλο] B. γένος. φιτῦσαι] ποιῆσαι, γεννῆσαι, ἐξ οὗ καὶ φύτωρ ὁ πατήρ.

v. 234. τοῖσιν] B. ἤγουν τῇ τοιαύτῃ βουλῇ. ἀντέβαινε] ἐναντιοῦτο.

v. 235. ἐγὼ δὲ] A. τινὲς ἀντὶ τοῦ, ἐγὼ δ' ἐτόλμησα, καὶ τὸ ἑξῆς μετὰ ἤθους. δύναται καὶ τολμῆς εἶναι, ὡς τιμήεις τιμῆς.

τολμῆς] B. ὁ τολμητίας. ἐξελυσάμην] ἐλευθέρωσα.

v. 236. διαῤῥαισθέντας] B. φθαρέντας ὑπὸ Διός.

v. 237. τῷ τοι] A. δύναται ἀντωνυμία εἶναι ἐν συμπαθείᾳ κειμένη ἢ τοι. ἐῤῥύθμισμαι] ἐσταύρωμαι. Ἡ μεταφορὰ ἀπὸ τῶν χορδῶν.

ὥς μή μοι μιμνέφι ἐκτέταμαι γὰρ μέσ(ον) τὸ ῥυθμίζειν:

τῷ] B. οὗ ἕνεκα. κάμπτομαι] ταλαιπωρῶ, καταβάλλομαι, δαμάζομαι.

v. 238. πάσχειν] B. αὐτάς.

v. 239. οἴκτῳ] B. ἐλέῳ.

v. 241. ὧδ' ἐῤῥύθμισμαι] B. οὕτως ἢ ἐνταῦθα ἐτάχθην. Ζηνὸς] ὑπὸ τοῦ Διός. δυςκλεὴς] ἄδοξος.

v. 242. σιδηρόφρων τε] A. ὁ τῶν Ὠκεανίδων γυναικῶν χορὸς ἰδὼν τὸν Προμηθέα, κακῶς καὶ ἀθλίως πάσχοντα, φησὶ πρὸς αὐτόν, ἐστὶν ἄγαν σκληρόψυχος καὶ ἀμείλικτος ὅστις οὐ συναλγεῖ τοῖς σοῖς κακοῖς· ἐγὼ γὰρ οὔτε εἰςιδεῖν ἤθελον ταῦτα, εἰςιδοῦσά τε ἠνιάθην τὴν ψυχήν.

σιδηρόφρων] B. σκληρός, ἄκαμπτος τὰ φρονήματα, καὶ ὥςπερ ἀπὸ πετρῶν συμπαγεὶς τὸν νοῦν.

v. 243. συνασχαλᾷ] B. συμπάσχει.

v. 244. μόχθοις] B. δυστυχίαις.

v. 245. ἀλγύνθην] B. ἐλυπήθην, ἔπαθον. κέαρ] ψυχή.

v. 246. ἐλεεινὸς εἰςορᾷν] B. βλέπειν αὐτοὺς ἐμέ. εἶτα οὐδὲν θαυμαστόν, εἰ καὶ ὑμεῖς συνηλγήσατε ἐν πρώτοις οὖσαι τῶν φίλων.

v. 247. μή που τι προὔβης] A. ἐπεὶ προηγήσατο ὁ Προμηθεύς, καὶ εἶπεν ὅτι ἀντέλεγον τῷ Διΐ, καὶ οὐκ εἴασα τοὺς ἀνθρώπους πάλιν διαφθαρῆναι, διὰ τοῦτό με ἐτιμώρησεν ὁ Ζεύς οὕτως· ἐρωτᾷ πάλιν αὐτὸν ὁ χορός, μὴ γὰρ ἕτερόν τι ἥμαρτες ἁμάρτημα; ὁ δὲ φησιν, ἐποίησα τοὺς ἀνθρώπους μὴ πρὸ ὀφθαλμῶν ἔχειν τὸν θάνατον, κατοικίσας ἐν αὐτοῖς ἐλπίδας τυφλάς· ἤγουν ἐν αὐτοῖς ἐποίησα τὸ νομίζειν καὶ ἐλπίζειν μὴ σήμερον ἢ αὔριον θανεῖν, ἢ τόνδε τὸν καιρόν, καὶ οὕτω δι' ὅλου βίου κοπιᾷν.

τῶν] B. ὧν φῄς. περαιτέρω] ἐπέκεινα.

v. 248. θνητούς τ' ἔπαυσα] A. πρότερον, φησίν, οἱ ἄνθρωποι πρὸ ὀφθαλμῶν ἔχοντες τὸν θάνατον, οὐκ ἐξήρχοντο εἰς τὸ ἐργάζεσθαι, ἢ ναυτίλλεσθαι ἢ ἄλλο τι ποιεῖν, φοβούμενοι τὸν θάνατον, μὴ ἐπέλθῃ αὐτοῖς, ἐγὼ δὲ αὐτὸν ποιήσας ἀπρόοπτον, καὶ ἐλπίδας αὐτοῖς ἐνθεὶς τοῦ ζῆν, καὶ μὴ γινώσκειν πότε μέλλει αὐτοῖς ἐπελθεῖν ὁ θάνατος, αὐτοὺς παρώτρυνα.

προδέρκεσθαι] B. προβλέπειν.

v. 249. φάρμακον] B. θεραπείαν.

v. 250. τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα] B. εἰ γὰρ εἶχον οἱ ἄνθρωποι πρὸ ὀφθαλμῶν τὸν θάνατον, καὶ μὴ

ἐλπίσι ἐβουκολοῦντο, ὁ μὲν προσδοκῶν εὐδαίμων *) γενήσεσθαι, καὶ περιεῖναι, καὶ ζῆν ἀεί, ὁ δὲ αὐτὸ τοῦτο καὶ ὅτι πλούσιος ἔσται, λύπαις ἂν καὶ ὀδυρμοῖς τὸν πάντα αἰῶνα διέφερον. κατῴκισα] ἐνέβαλον.

v. 252. πρὸς τοῖςδε] A. καὶ ἔτι ἐγώ, φησίν, ἀνθρώποις παρέσχον καὶ ἔδωκα τὸ πῦρ. Εἶτα ἔφη ὁ χορὸς ὅτι καὶ νῦν ἔχουσιν οἱ ἄνθρωποι τὸ φλογῶδες ἐκπέμπον πῦρ. Ὁ δέ φησιν, ἀφ' οὗ πολλὰς ἐκμαθήσονται τέχνας.

τοῖς] B. οἷς ἔφην. σφιν] αὐτοῖς. ὤπασα] παρέσχον.

v. 253. φλογωπὸν] A. δύο εἰσὶν ὀνόματα τῷ πυρί, τὸ στοιχειακόν, καὶ τὸ διακονικόν. Καὶ στοιχειακὸν μὲν πῦρ, αὐτὸ τὸ στοιχεῖον ὁ αἰθήρ, διακονικὸν δέ, αὐτὸ τὸ πρὸς ὑπηρεσίαν ἡμετέραν χρησιμεῦον· ὅπερ φλογωπὸν ὁ Αἰσχύλος φησί, τουτέστι λαμπρόν, παρὰ τὸ ὑποκεῖσθαι τῇ ὀπωπῇ, καὶ λάμπειν. Τὸ γὰρ αἰθέριον οὐχ ὑποπίπτει τῇ ὁράσει.

φλογωπὸν] B. λαμπρόν, φωτεινόν. ἐφήμεροι] ἄνθρωποι.

v. 256. χαλᾷ κακῶν] A. συνήθης αὐτῷ ἡ χαλᾷ φωνή.

αἰκίζεται] B. κολάζει. χαλᾷ] ἐνδίδωσι.

v. 257. ἄθλου τέρμα] B. τοῦ καμάτου τέλος.

v. 258. οὐκ ἄλλον οὐδὲν] B. τέλος.

v. 259. τίς ἐλπίς] B. ἐστί σοι.

v. 260. ὡς] B. ὅτι. οὔτ' ἐμοὶ λέγειν καθ' ἡδονὴν] οὐ γὰρ τοῖς σοῖς κακοῖς ἥδομαι.

v. 261. ἀλλὰ ταῦτα μὲν] A. Ὅμηρος, ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν **).

ταῦτα] B. τὸ περὶ τούτων λέγει.

v. 262. μεθῶμεν] B. ἀφῶμεν. ἄθλου] τοῦ καμάτου.

---

*) f. εὐαιων Pauw.

**) Iliad. A. 400.

v. 263. ἐλαφρὸν] B. ῥᾴδιον. ὅστις] ὁποῖος. πημάτων] συμφορῶν. πόδα] τὸν αὐτοῦ.

v. 264. παραινεῖν] B. συμβουλεύειν. νουθετεῖν] διδάσκειν.

v. 265. ταῦθ' ἅπαντα] A. τιμωρησόμενος *).

ταῦθ' ἅπαντα] B. ἃ νῦν πάσχω.

v. 266. ἑκὼν] B. ἑκούσιος, ἢ θέλων.

v. 267. ἀρήγων] B. βοηθῶν. πόνους] λύπας καὶ συμφοράς.

v. 268. οὐ μήν τι ποιναῖς] A. ὅτι μέν, φησίν, ἥμαρτον, οἶδα καὶ αὐτός, οὐ μὴν δὲ ὑπελάμβανον τοιαύταις τιμωρηθήσεσθαί με, καὶ κατισχανεῖσθαι; ἤγουν κρατεῖσθαι καὶ δεσμεῖσθαι, ἐν πέτραις πεδαρσίοις, καὶ ὑπαιρομέναις τῆς γῆς, ἤτοι ὑψηλαῖς, ἐπιτυχόντα τοῦ πάγου καὶ τοῦ τόπου τούτου μὴ κατοίκους ἔχοντος.

ποιναῖς] B. τιμωρίαις. ᾠόμην] ἐνόμιζον.

v. 269. κατισχανεῖσθαι] B. κρατεῖσθαι καὶ προςπαλαίειν. πεδαρσίοις] ταῖς ὑψηλαῖς, ταῖς ἄνω αἰρομέναις.

v. 270. τυχόντ'] B. ἐπιτυχόντα. ἐρήμου] μεμονωμένου. πάγου] τοῦ κρημνώδους ὄρους.

v. 271. μὴ 'δύρεσθ' ἄχη] A. μὴ ὀδύρεσθε ἃ νῦν πάσχω κακά. Πρὸς τὴν γῆν δὲ βᾶσαι καὶ πορευθεῖσαι (ἀέριαι γὰρ ἐφέροντο) ἀκούσατε ἅπαν τὸ ἐμόν. Φησὶ δέ, πρὸς τὴν γῆν βᾶσαι, ὅτι βούλεται στῆσαι τὸν χορόν, ὅπως τὸ στάσιμον ᾄσῃ. Γέγραπται δὲ καὶ βλάβας, ἀντὶ τοῦ τύχας.

παρόντα] B. τὰ νῦν ἐνεστῶτα. 'δύρεσθε] θρηνεῖτε. ἄχη] θλίψεις.

v. 272. πεδοῖ βᾶσαι] B. ἐν τῷ πεδίῳ ἐλθοῦσαι. τὰς προςερπούσας τύχας] τὰς προςερχομένας δυστυχίας.

v. 273. ὡς] B. ἵνα. τὸ πᾶν] τὸ κατ' ἐμὲ πάθος.

---

*) Scribendum vel τιμωρηθησόμενος, vel τιμωρούμενος.

v. 274. πείθεσθε] B. μάθετε. συμπονήσατε] συγκοπιάσατε ἐμοί.

v. 275. ταῦτά τοι πλανωμένη] A. ἡ περὶ τὰ αὐτὰ πλανωμένη πημονή, ἄλλοτ' ἐπ' ἄλλοις προσιζάνει. Ἄλλως. Οὐκέτι ἐπιμένει μοι ἡ θλῖψις περὶ ἓν ἱσταμένη. Ἤτοι, οὐκ ἐφ' ἑνὶ κακῷ ἀνιῶμαι, ἀλλ' ἐπὶ διαφόροις ἀσχάλλω, καὶ ἅπαντα ὑμῖν ἀφηγήσασθαι βούλομαι. Ἄλλως. Τὸ ταῦτα ἀντὶ τοῦ αὕτη ἡ βλάβη, οὐκ ἐπ' ἐμοὶ μόνη ἐγένετο, ἀλλὰ περιερχομένη, τοῦτο γάρ ἐστι τὸ πλανωμένη, ἄλλοτε πρὸς ἄλλον καὶ ἄλλον ἀπέρχεται.

μογοῦντι] B. κακοπαθοῦντι. ταυτὰ] ὅμοια. πλανωμένη] προσερχομένη μετὰ πλάνης.

v. 276. πρὸς ἄλλοτ'] B. ἐν ἄλλῳ καιρῷ. ἄλλον] πρὸς ἄλλον ἄνθρωπον. πημονὴ] ἡ δυστυχία. προσιζάνει] προσέρχεται, προσκάθηται. Ἡ πημονὴ καὶ ἡ δυστυχία ἄλλοτε πρὸς ἄλλον προσιζάνει πλανωμένη καὶ φερομένη, ἤγουν ἄστατός ἐστι, καὶ οὐκ ἂν τοῦ αὐτοῦ καταφέρεται. Ἐπεὶ οὖν ταῦθ' οὕτως ἔχει, δεῖ καὶ ὑμᾶς ἐμοὶ συμπονεῖν δυστυχοῦντι, ἵνα καὶ ὑμῖν εἴποτε ἂν συμβαίη, τὸ γὰρ τῆς τύχης ἄδηλον, τὸ *) ὑμᾶς παραμυθησόμενον ἔχοιτε.

v. 277 sq. οὐκ ἀκούσαις ἐπεθώϋξας τοῦτο Προμηθεῦ] A. οὐκ ἀκούσαις καὶ μὴ βουλομέναις ἡμῖν τοῦτο εἶπας, ὦ Προμηθεῦ, δηλονότι τό, ἔλθετε καὶ ἀκούσατε, ἵνα μάθητε ἅπαν τὸ κατ' ἐμέ· ἀλλὰ θέλομεν τοῦτο καὶ ἡμεῖς.

v. 279. καὶ νῦν ἐλαφρῷ ποδὶ] A. ἡ μεταφορὰ ἀπὸ τῶν κυνηγῶν. Νῦν, φησὶν ὁ χορός, ἐπεὶ καλεῖς πρὸς σαυτὸν ἡμᾶς, ἐν ταχύτητι ποδός, τῇ ἀερίᾳ πτήσει, τὸν κραιπνόσσυτον, τὸν ταχινῶς κινούμενον θρόνον, τὸν ἁγνὸν πόρον τῶν οἰωνῶν (ἤγουν τὸν ἀέρα, ἐν ᾧ τὴν πορείαν ποιοῦνται τὰ ὄρνεα) λιποῦσα, προσπελάζω ταύτῃ τῇ τραχείᾳ γῇ (λέγει δὲ τοῦτο διὰ τὸν Καύκασον. Οὐ γὰρ πᾶσα γῆ τραχεῖα) τοὺς σοὺς δὲ πόνους θέλω ἀκοῦσαι.

---

*) forte τὸν *Heath.*

ἐλαφρῷ ποδὶ] B. ἐν τοῖς πτεροῖς. κραιπνόσσυτον] ταχύ, δέον κραιπνοσσύτως προλιποῦσαι εἰπεῖν, κραιπνόσσυτον εἶπε πρὸς θῶκον.

v. 180. θῶκον προλιποῦσ'] B. τὴν ἐν τῷ ἀέρι στάσιν ἀφεῖσαι. αἰθέρα ἁγνὸν] τὸν ἀέρα καθαρόν.

v. 281. πόρον οἰωνῶν] B. τὴν πορείαν τῶν ὀρνέων. ὀκρυοέσσῃ χθονὶ] τῇ χαλεπῇ καὶ πετρώδει, λέγω δὲ τῷ Καυκάσῳ.

v. 282. πελῶ] B. πλησιάζω.

v. 283. χρῄζω διαπαντὸς ἀκοῦσαι] B. θέλω δι' ὅλου μαθεῖν.

v. 284. ἥκω δολιχῆς] A. ὁ Ὠκεανός φησι πρὸς τὸν Προμηθέα, ἥκω πρός σε, διαμειψάμενος καὶ διελθὼν τὸ τέλος τῆς δολιχῆς καὶ μακρᾶς ὁδοῦ. Καιρὸν δὲ δίδωσι τῷ χορῷ καθήκασθαι τῆς μηχανῆς Ὠκεανὸς ἐλθών. Ὑπερβολῇ δὲ ἐχρήσατο ὁ ποιητής, ὅπουγε Ὅμηρος οὐκ εἰςήγαγεν Ὠκεανὸν εἰς τὸν σύλλογον τῶν θεῶν. ἐπὶ γρυπὸς δὲ τετρασκελοῦς ὀχεῖται.

ἥκω] B. ἦλθον. δολιχῆς τέρμα κελεύθου] μακρᾶς τέλος ὁδοῦ.

v. 285. διαμειψάμενος] B. διελθών.

v. 286. τὸν πτερυγωκῆ οἰωνὸν τόνδε] A. ἤτοι τοῦτον τὸν ἐν τοῖς πτεροῖς ταχύτατον οἰωνὸν τὸν γρύπα, διευθύνων καὶ ἄγων γνώμῃ καὶ θελήσει οἰκείᾳ χωρὶς χαλινῶν. Ἤτοι αὐθαίρετον, οὐ βίᾳ, χωρὶς χαλινοῦ. Ἐπὶ γρυπὸς γὰρ τετρασκελοῦς ὀχεῖται ὁ Ὠκεανός.

τὸν πτερυγωκῆ τόνδ' οἰωνὸν] B. τὸν ταχὺν ταῖς πτέρυξι γρύπα *) ᾧ ἐπωχεῖτο.

v. 287. γνάμῃ] B. θελήματι ἐμῷ. στομίων ἄτερ] χαλινῶν χωρίς. εὐθύνων] διεξάγων.

v. 288. ταῖς σαῖς δὲ τύχαις] A. ταῖς σαῖς, φησί, κακοπαθείαις, γίνωσκε, ἀνιῶμαι. Ἡ γὰρ συγγένειά με ἀναγκάζει λυπεῖσθαι καὶ χωρὶς τοῦ εἶναί σε συγγενῆ μοι, οὐκ ἔστιν εὑρεθῆναι, ᾧ ἂν πλείονα παρέχοιμι φιλίαν ἢ σοί. Ὑπερ-

---

*) Sic recte *Pauw.* pro vulg. γύπα.

βολῇ δὲ ἐχρήσατο, ὡς εἶπον, ὁ ποιητής· ὁ γὰρ Ὅμηρος οὐκ εἰσήγαγεν Ὠκεανὸν εἰς σύλλογον τῶν θεῶν.

τύχαις] B. δυστυχίαις. - ἴσθι] γίνωσκε. ξυναλγῶ] λυποῦμαι.

v. 289. δοκῶ] B. νομίζω. ξυγγενὲς] ἡ συγγένεια, Οὐρανοῦ γὰρ ἀμφότερα ἔκγονα.

v. 290. ἐξαναγκάζει] B. συμπάσχειν σοι.

v. 291. μείζονα μοῖραν] A. λείπει, φιλίας.

οὐκ ἔστιν] B. ἄλλος τίς. ὅτῳ] ᾧτινι. μοῖραν] μερίδα.

v. 292. νείμαιμ'] B. δώσαιμι. ἢ] παρό.

v. 293. γνώσῃ δὲ] A. γνώσῃ δέ, φησί, τὴν πρὸς ἐμοῦ διάθεσιν ἀληθῆ, καὶ ὡς οὐ μάτην σοι διὰ λόγου χαρίζομαι· φέρε γὰρ εἰπὲ τί σοι πρέπει συμπράττειν. Οὐ γὰρ πρός με λέξεις ὡς ἄλλος τὶς φίλος ἐστὶ βεβαιότερος παρὰ τὸν Ὠκεανόν.

γνώσῃ] B. μαθήσῃ. ὡς ἔτυμ'] ὅτι ἀληθῆ. μάτην] ἤτοι ψευδῶς.

v. 294. χαρίτογλωσσεῖν] A. μέχρι γλώσσης χαρίζεσθαί σοι καὶ οὐκ ἔργοις.

χαριτογλωσσεῖν] B. χαρίζεσθαι διὰ γλώττης.

v. 295. σήμαιν'] B. δηλοῦ. συμπράττειν] συναγωνίζεσθαι.

v. 296. ἐρεῖς] B. λέξεις. ὡς] ὅτι. Ὠκεανοῦ] ἐμοῦ.

v. 297. βεβαιότερος] B. μονιμώτερος.

v. 298. ἔα, τί χρῆμα] A. δυσχεραίνει ὁ Προμηθεὺς εἴ πως τὸ ἴδιον ἀξίωμα οὐκ ἐτήρησεν ὁ Ὠκεανός. Φησὶ δέ, τί τοῦτο πρᾶγμα; καὶ σὺ ἥκεις ἰδεῖν τοὺς ἐμοὺς πόνους; πῶς ἐκαρτέρησας, καταλείψας τὸ ἐπώνυμόν τε ῥεῦμα τὸ ὀνομαζόμενον ὠκεάνιον, καὶ πετρηρεφῆ, τὰ πέτραις ἐστεγασμένα, ἐλθεῖν εἰς τὴν γῆν τὴν σιδηρομήτορα, τὴν γεννῶσαν τὸν σίδηρον. Λέγει δὲ τὴν Σκυθίαν· οἱ γὰρ Χάλυβες, Σκυθικὸν ἔθνος, καὶ πολὺς ἐν Σκυθίᾳ σίδηρος. Ἦ παρεγένου, φησί, θεωρήσων τὰς ἐμὰς δυστυχίας, καὶ συλλυπούμενος τοῖς ἐμοῖς κακοῖς; ἴδε οὖν θέαμα, ἤτοι παράδοξον τέρας, καὶ

ἐμὲ τὸν Φίλον τοῦ Διός, τὸν τὴν τυραννίδα καὶ τὴν βασιλείαν οἰκονομήσαντα, καὶ συνεργήσαντα εἰς ταύτην, ποίαις βλάβαις ὑπ᾽ αὐτοῦ τοῦ Διὸς δαμάζομαι.

τί χρῆμα] B. ὁρῶ.

v. 299. ἥκεις] B. ἦλθες. ἐπόπτης] θεατής. λιπὼν] ἀφείς.

v. 300. ἐπώνυμον ῥεῦμα] B. τὸ ὠκεάνειον ἀπό σου καλούμενον. πετρηρεφῆ] πετρώδη.

v. 301. αὐτόκτιτ᾽] B. αὐτοκατασκεύαστα. σιδηρομήτορα] τὴν ἐργαζομένην τὸν σίδηρον. τὴν τῆς Σκυθίας χαλυβικὴν γῆν, ἐν ᾗ πρῶτον ὁ σίδηρος εὕρηται. Λέγει δὲ τὸν Καύκασον, περὶ αὐτὸν γὰρ οἱ Χάλυβες.

v. 302. αἶαν] B. τὴν γῆν. ἢ θεωρὰς τύχας ἐμὰς ἀφῖξαι, καὶ ξυνασχαλῶν κακοῖς] ὄντος ἰδὼν τὰς τύχας ἐμὰς ἦλθες καὶ λυπούμενος τοῖς ἐμοῖς κακοῖς.

v. 304. δέρκου] B. βλέπε. τόνδε τὸν Διὸς φίλον] ἐμὲ ὄντα τοῦ Διὸς φίλον.

v. 305. συγκαταστήσαντα τὴν τυραννίδα] B. συγκατεργασάμενον αὐτῷ τὴν ἀρχήν.

v. 306. οἵαις πημοναῖσι] B. δι᾽ ὁποίων βλαβῶν. κάμπτομαι] δαμάζομαι.

v. 307. ὁρῶ Προμηθεῦ] A. σκόπησον τὰ τῶν ῥητόρων καλὰ παρὰ πρώτοις εὑρεθέντα τοῖς τραγικοῖς. Εἰπόντος τοῦ Προμηθέως πρὸς τὸν Ὠκεανὸν ἴδε οἷα πάσχω, καὶ οἵαις βλάβαις ὑπὸ τοῦ Διὸς δαμάζομαι. Φησὶν ὁ Ὠκεανὸς πρὸς αὐτόν, ὁρῶ οἷα πάσχεις, καὶ παραινέσαι ἐθέλω τὰ ἀγαθά, καίπερ φρονίμῳ ὄντι, γνῶθι σαυτὸν καὶ νόησον ὅτι ἥττων εἶ τοῦ Διός, καὶ ἄλλαξον τοὺς τρόπους, καὶ κτῆσαι ἄλλους νέους· ἐπεὶ καὶ τύραννος ἐν θεοῖς νέος. Εἰ δὲ οὕτω τραχεῖς καὶ σκληροὺς καὶ ἀναιδεῖς λόγους, τεθηγμένους, ἤγουν δυναμένους λυπῆσαι, ῥίψεις, ἀντὶ τοῦ, ἐκπέμψεις τοῦ στόματός σου· τάχα ἂν καὶ μακράν σου καθήμενος ὁ Ζεὺς ἀκούῃ· ὥστε τὴν νῦν προσοῦσαν ὀργὴν αὐτῷ, παίγνιον εἶναι δοκεῖν σοι, ἀλλὰ δὴ χαλεπώτερα πάθῃς.

παραινέσαι] B. συμβουλεῦσαι.

v. 308. ποικίλῳ] A. συνετῷ.

τὰ λῷστα] B. τὰ κάλλιστα. ὄντι] τοί. ποικίλῳ] συνετῷ.

v. 309. γίνωσκε σαυτὸν] A. γνῶθι σεαυτόν. ὡς ὁ ποιητὴς, Φράζεο Τυδείδη καὶ χάζεο *). Γνῶθι σεαυτόν, ὅτι ἥττων εἶ τοῦ Διός.

γίνωσκε σαυτὸν] B. ὡς ἐλάττων Διός εἶ. μεθάρμοσαι] μετάβαλε.

v. 310. τρόπους νέους] B. ποταπούς. Νέον φρόνημα κτῆσαι, τὸ πρῶτον ἀφείς.

v. 311. τεθηγμένους] B. ἀκήρους **) καὶ ὑβριστικούς, ἐκ μεταφορᾶς τοῦ τεθηγμένου σιδήρου καὶ ἐστομωμένου.

v. 312. ῥίψεις] B. λέξῃς πρὸς τὸν Δία.

v. 313. θακῶν] B. καθήμενος. χόλον παρόντα μόχθων] τὴν λύπην τῶν νῦν δυστυχιῶν.

v. 314. παιδιὰν εἶναι] B. παίγνιον πρὸς τὰ μέλλοντα καταλήψεσθαί σε κακὰ παρ᾽ αὐτοῦ.

v. 315. ὀργὰς] B. κατὰ Διός.

v. 316. πημάτων] B. ὧν πάσχεις. ἀπαλλαγὰς] ἐλευθερίαν.

v. 317. ἀρχαῖ᾽ ἴσως] A. ἀρχαῖα λέγονται τὰ μωρὰ, διότι οἱ ἀρχαῖοι τοιοῦτοι ἦσαν, ἁπλούστατοι καὶ εὐήθεις. ἢ ὅτι οἱ γέροντες οἱ ἔξωροι τοιοῦτοί εἰσι.

ἀρχαῖ᾽] B. μωρά. Ἀρχαῖα τὰ μωρά, παρ᾽ ὅσον οἱ μὲν ἀρχαῖοι ἁπλῶς καὶ ἀποικίλτως ἔζων, οἱ δ᾽ ὕστερον φρονήσει καὶ περιττότητι νοῦ. λέγων τάδε] ἃ λέγω.

v. 318. τοιαῦτα μέντοι τῆς ἄγαν] A. γνωμικῶς φησι, τῆς μεγαλοῤῥημονούσης γλώσσης ὦ Προμηθεῦ, τὰ ἐπιτίμιά ἐστιν οἷα πάσχεις νῦν, αὐτὸς ἀντιλέγων πρὶν τῷ Διΐ. Σὺ δὲ καὶ τοιαῦτα πάσχων, οὐκέτι ταπεινὸς εἶ, οὐδ᾽ ὑποτάσσῃ, σὺν οἷς δὲ πάσχεις κακοῖς, θέλεις λαβεῖν καὶ ἕτερα. Ἀλλ᾽ ἐάν μοι πεισθῇς, οὐ βλάψεις σεαυτὸν, καὶ οὐ πρὸς

*) Hom. Il. E. 440.

**) Pro ἀκήρους f. leg. πίκρους, vel σκλήρους. *Pauw.*

πρὸς κέντρα τὸν πόδα ἐκτενεῖς· ὁρῶν ὅτι κυριεύων πάντων, χαλεπὸς καὶ ὀργίλος θεὸς ὁ Ζεὺς, ὅτι μόνος ἄρχει τῶν ἄλλων πάντων, οὐδ' ἔστιν ὑπεύθυνος, ἤτοι ἐξουσιαζόμενος παρά τινος, ἢ ὃν οὐ δύναταί τις τιμωρήσασθαι. Καὶ νῦν μὲν ἐγὼ ἀπέρχομαι πρὸς αὐτόν, καὶ πειράσομαι ἐὰν ἰσχύσω, τούτων ἀπολῦσαί σε τῶν δεσμῶν. Σὺ δὲ μὴ μεγαλορρημόνει, μηδ' ὑπέρογκα καὶ αὐθάδη λάλει. Ἢ, φρόνιμος ὢν, οὐκ οἶδας ὅτι βλάπτεταί τις ἐκ γλώσσης ἀκολάστου καὶ φλυάρου.

ὑψηγόρου] B. μεγαλαύχου καὶ σαβαροῦ.

v. 319. τἀπίχειρα] B. τὰ ἆθλα καὶ ἐπιτίμια.

v. 320. σὺ δ' οὐδέπω] A. λείπει, θέλεις εἶναι.

οὐδέπω ταπεινὸς] B. ἐγένου. εἴκεις] ὑποτάσσῃ καὶ ἐπιχαλᾷς.

v. 321. ἄλλα] B. κακά.

v. 322. οὔκουν] B. οὐδαμῶς.

v. 323. πρὸς κέντρα κῶλον] A. πρὸς κέντρα κῶλον ἐκτείνει ὁ βοῦς· λακτίζει γὰρ κεντούμενος ὑπὸ κέντρου· ὥστε λακτίζει πρὸς κέντρον, καὶ τὸ κῶλον αἱμάσσει· ὁ γὰρ πρὸς κέντρα λακτίζων, τοὺς ἰδίους πόδας αἱμάσσει. Φησὶν οὖν, ἐάν μοι μὴ πεισθῇς, βλάψεις σεαυτόν.

πρὸς κέντρα κῶλον ἐκτενεῖς] B. πρὸς ἀκάνθας πόδα ἐξάξεις. Ἔστι δὲ παροιμία εἰρημένη ἐκ τῶν βοῶν τῶν κεντουμένων ὄπισθεν, καὶ ἐν τῷ λακτίζειν τοὺς ἰδίους πόδας αἱμασσόντων τῷ κέντρῳ.

v. 324. τραχὺς μόναρχος] B. ἀκαμὴς βασιλεύς. οὐδ' ὑπεύθυνος] δυνατὸς ὑπ' εὐθύνην ἐλθεῖν ἐάν τι παρὰ δίκην ἐργάσηται.

v. 325. εἶμι] B. ἀπέρχομαι πρὸς αὐτόν.

v. 326. τῶν] B. ἐκ τούτων. ἐκλῦσαι] ἐλευθερῶσαι.

v. 327. ἡσύχαζε] B. ἡσύχως ἔχε. λαβροστόμει] θρασυστόμει.

v. 328. οἶσθ'] B. γινώσκεις. περισσόφρων] λίαν συνετός.

v. 329. ματαία] B. τῇ παρὰ καιρὸν κομπαζούσῃ.

v. 330. ζηλῶ σ' ὅθ' οὕνεκα] A. θαυμάζω σε πῶς οὐδὲν πέπονθας ὑπὸ Διός, συναλγῶν μοι. Ἄλλως. Ζηλῶ σε, φησίν, ὅτι καὶ τὰ περὶ σεαυτοῦ ποιήσας, κεκόμισαι χάριν ἐξ ἐμοῦ. Καὶ νῦν δὲ οὐκ ἐάσω σε προσκρούσαι Διὶ ὑπὲρ ἐμοῦ. Προγινώσκων δὲ ὅτι οὐ πείσει τὸν Δία, ἀπείργει αὐτόν. Ἄλλως. Θαυμάζω πῶς ὑπάρχεις ἐκτὸς αἰτίας καὶ μέμψεως παρὰ τῷ Διΐ, καὶ οὐδὲν ὑπ' αὐτοῦ δεινὸν πεπονθὼς ἐμοὶ συναλγεῖς. Ἄλλως. Ἐπαινῶ σε, φησίν, ὅτι ἐκτὸς ὑπάρχεις μέμψεως, ὅπερ ἦν σοι δυνατὸν ἐπ' ἐμοὶ ποιήσας καὶ συναλγήσας ἐφ' οἷς πάσχω κακοῖς· καὶ νῦν ἄφες τὸ προσελθεῖν τῷ Διΐ, δυσωπήσων αὐτὸν ὑπὲρ ἐμοῦ, ἵνα ἀπολύσῃ με τῶν δεσμῶν. Πάντως γὰρ οὐ καταπείσεις αὐτόν· σκληρὸς γάρ ἐστι καὶ οὐκ εὐκαμπής. Σὺ δὲ ἐπιτήρει καὶ περίβλεπε μή τι ἐν τῇ ὁδῷ βλαβήσῃ.

ζηλῶ σ' ὅθ' οὕνεκ' ἐκτὸς αἰτίας κυρεῖς] B. θαυμάζω σε Ὠκεανέ, ὅτι ἐκτὸς αἰτίας καὶ μέμψεως ὑπάρχεις τῷ Διΐ, καὶ οὐδὲν κακὸν ἀπ' αὐτοῦ πέπονθας συναλγῶν ἐμοί.

v. 331. μετασχὼν] B. τῶν κατ' ἐμὲ κοινωνήσας. τετολμηκὼς] ὑπομείνας δι' ὧν συνήλγησας.

v. 332. ἔασον] B. ἐλθεῖν πρὸς αὐτόν. μελησάτω] διὰ φροντίδος ἔστω τοῦτο.

v. 333. νιν] B. αὐτόν.

v. 334. πάπταινε] B. φυλάττου. πημανθῇς] βλαβῇς. ὁδῷ] τῇ ὑπὲρ ἐμοῦ πρὸς αὐτόν.

v. 335. πολλῷ γ' ἀμείνων] A. Εἰπόντος τοῦ Προμηθέως πρὸς τὸν Ὠκεανόν, ἄφες τὸ προσελθεῖν τῷ Διῒ ἱκετεύσων αὐτὸν ὑπὲρ ἐμοῦ, οὐ γὰρ ἄν τι πείσῃς αὐτόν, σὺ δὲ πρόσεχε μή τι βλαβηθῇς ἐν τῇ ὁδῷ, φησὶν ὁ Ὠκεανὸς πρὸς αὐτόν, ὅτι κατὰ πολὺ ἐγεννήθης κρείττων καὶ βελτίων εἰς τὸ φρονίμους ποιεῖν καὶ σωφρονίζειν ἑτέρους παρὰ σεαυτόν· τοῦτο δὲ ἐξ ἔργων αὐτῶν νοῶ ἀληθῶς καὶ οὐκ ἀπὸ λόγου. Ἐμὲ δὲ προθυμούμενον ἀπελθεῖν πρὸς τὸν Δία, μηδαμῶς κωλύσῃς. Θαῤῥῶ γὰρ ταύτην τὴν δωρεάν, ἤτοι τὸ ἀπολῦσαί σε τῶν δεσμῶν, ἐμοὶ δώσειν αὐτόν.

ἀμείνων] B. κρείττων. Φρενοῦν] σωφρονίζειν.

v. 336. τεκμαίρομαι] B. τοῦτο.

v. 337. ὁρμώμενον] B. κινούμενον ἐλθεῖν ὑπὲρ σοῦ πρὸς αὐτόν. ἀντισπάσης] κωλύσῃς καὶ ἀποστήσῃς τούτου.

v. 338. αὐχῶ] B. θαῤῥῶ. Ὁ γὰρ θαῤῥεῖ τις καὶ καυχᾶται.

v. 339. τῶν] B. ἐκ. ἐκλῦσαι] ἐλευθερῶσαι.

v. 340. τὰ μέν σ' ἐπαινῶ] A. Εἰς ταῦτα μέν σε ἐπαινῶ, ὅτι πᾶσαν προθυμίαν καὶ σπουδὴν δεικνύεις ὑπὲρ ἐμοῦ καὶ οὐδὲ παύσομαί ποτε τοῦ ἐπαινεῖν σε. Ἀλλὰ μηδὲν πόνει ὑπὲρ ἐμοῦ· εἴ τι γὰρ ἂν καὶ πράξῃς, πρὸς ὠφέλειαν ἐμὴν σπεύδων, μάτην πονήσεις. Προγινώσκει γὰρ ὅτι οὐ πείσει τὸν Δία.

λήξω] B. παύσω.

v. 341. προθυμίας] B. τῆς ὑπὲρ ἐμοῦ.

v. 342. μάτην] B. οὐ γὰρ εἰσακουσθήσῃ. οὐδὲν ὠφελῶν] ἐμέ.

v. 344. ἐκποδὼν] B. μακρὰν ἐκείνου.

v. 345. ἐγὼ γὰρ οὐκ εἰ δυστυχῶ] A. ἐγώ, φησί, καὶ ἐὰν δυστυχῶ, καὶ τοιαύτας βλάβας πάσχω, ἀλλ' οὐχὶ διὰ τοῦτο, ἵνα καὶ ἄλλοι τὰ ὅμοια ἐμοὶ πάσχωσι θέλω· ἢ καὶ ἄλλους ἐπιτυχεῖν τῆς ὁμοίας βλάβης. Ἄλλως. Προμηθικῶς· οὐ γὰρ κατὰ τὸν ἀνθρώπινον λογισμὸν πολλοὺς αὐτῷ συνατυχεῖν οὐ βούλεται ὁ Προμηθεύς.

εἰ] B. ἐπειδή. τοῦδ' εἵνεκα] τοῦ δυστυχεῖν.

v. 346. ὡς πλείστοισι] B. ἢ τὸ ὡς ἀντὶ τοῦ λίαν, ἢ τοιαύτην ἐνταῦθα σημασίαν ἔχει, ὥσπερ φαμὲν τὸ ὡς ἐν τοῖς παροῦσι· τότε γὰρ τὸ ὡς ὥσπερ ἔμφασιν ἐνέχει, καί ἐστιν ἐκ παραλλήλου. Καὶ τοῦτο μὲν φασί τινες, τὸ δὲ ἀληθὲς τὸ ὡς ἀντὶ τοῦ λίαν ἐστι· σὺ δὲ μὲ ἀκούων *) λίαν πλείστοις νομίζῃς λέγειν τὸν Προμηθέα μὴ ἐθέλειν μὲν λίαν πολλοῖς βλάβας, ἀλλὰ δηλονότι ὀλίγοις. Ἀλλ' οὕτως ἔχει, οὐ θέλοιμι ἂν λέγω πλείστοις ἀνθρώποις πημονάς, ἤγουν οὔτε πλείστοις οὔτ' ὀλίγοις τυχεῖν τούτων δηλονότι. Ἤτοι πημο-

*) Ita recte *Abresch.* pro σὺ δὲ μὴ ἀκούων.

νας πρὸς τὸ τυχεῖν, εὕρηται γὰρ καὶ τὸ τυχεῖν πρὸς αἰτιατικὴν ἅπαξ. πλείστοις] ἀνθρώποις. πημονὰς] ὁ βλάβας.

v. 347. οὐ δῆτ', ἐπεί με καὶ] A. Ἰαπετὸς ὁ τοῦ Κρόνου ἀδελφὸς ἐκ θυγατρὸς τοῦ Ὠκεανοῦ Κλυμένης λεγομένης ἔσχεν Ἄτλαντα, καὶ Μενοίτιον καὶ Προμηθέα· καὶ τὸν μὲν Προμηθέα προσήλωσεν ὁ Ζεὺς εἰς τὸ Καυκάσιον ὄρος, ἐπίβουλον αὐτῷ καὶ ἐχθρὸν φανέντα, ὡς καὶ τοὺς λοιποὺς ἀδελφούς. Τὸν δὲ Ἄτλαντα ἐποίησεν ἐπ' ὤμων βαστάζειν τὸν οὐρανόν· τὸν δὲ Μενοίτιον ἐκεραύνωσε. Φησὶν οὖν ὁ Ὠκεανὸς πρὸς τὸν Προμηθέα, δαμάζουσί με καὶ ἀνιῶσιν αἱ δυστυχίαι τοῦ ἀδελφοῦ τοῦ Ἄτλαντος, ὅστις πρὸς τοὺς δυτικοὺς τόπους ἵσταται ἐν ὤμοις βαστάζων τοῦ οὐρανοῦ καὶ γῆς κίονας, βάρος δυσμεταχείριστον καὶ οὐ ῥᾳδίως βασταζόμενον.

οὐ δῆτ'] B. πεισθήσομαί σοι. κασιγνήτου τύχαι] τοῦ σοῦ ἀδελφοῦ δυστυχίαι.

v. 348. τείρουσ'] B. λυποῦσι. ἑσπέρους] δυτικούς.

v. 349. ἕστηκε] B. ἐστάθη.

v. 350 ἐρείδων] B. βαστάζων. οὐκ εὐάγκαλον] ἀλλὰ δυσβάστακτον, κατεδικάσθη γὰρ ὑπὸ Διὸς ὑπανέχειν τὸν οὐρανὸν δίκην κίονος.

v. 351. τὸν γηγενῆ] A. Μυθεύεται ὅτι Τιτᾶνες, τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς ὄντες, ἀντῆραν πόλεμον τῷ Διΐ, καὶ ἀντέστησαν αὐτῷ· ἐπεὶ δὲ δέκα ἔτη ἐμάχοντο, καὶ λύσις τοῦ πολέμου οὐκ ἦν, ἀλλ' ἴσος ἦν τοῖς θεοῖς καὶ τοῖς Τιτᾶσιν ὁ πόλεμος, ὁ Ζεὺς συνεργοὺς πρὸς τὴν μάχην λαβὼν τοὺς τρεῖς μονοφθάλμους Κύκλωπας, τὸν Βρόντην, τὸν Στερόπην, καὶ τὸν Ἄργον· καὶ τοὺς τρεῖς ἑκατόγχειρας, τὸν Κόττον*), τὸν Βριάρεων, καὶ τὸν Γύγην· οἵτινες καὶ οὗτοι παῖδες τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς ἐχρημάτιζον· καὶ νέκταρ κεράσας, ηὔφρανε, καὶ πρὸς τὴν μάχην προέτρεψε. Καὶ πόλεμον συνα-ράξας μετὰ κρότου τοὺς Τιτᾶνας κατετροπώσατο, καὶ τῇ γῇ προσέδησε, καὶ κατεταρτάρωσε. Μετὰ ταῦτα ἡ Γῆ αὐτὴ

*) Recepi emendationem Stanleji Κόττον, pro vulg. Κοῖον.

μιγεῖσα τῷ Ταρτάρῳ, τὸν ἑκατοντακέφαλον Τυφῶνα ἐγέννησεν, ἁπάντων θηρίων ἀγρίων ἔχοντα κεφαλάς, καὶ τέρας δεινὸν καὶ παμμιγὲς χρηματίζοντα, καὶ ἐξ ὀφθαλμῶν σέλας καταπληκτικὸν ἀστράπτοντα. Οὗτος πάλιν ἑτέραν μάχην τῷ Διὶ συνῆψε· κεραυνωθεὶς δὲ καὶ αὐτὸς ἐν Σικελίᾳ περὶ τὴν Αἴτνην, τῷ ταρτάρῳ ἐκρύβη. Ἐξ οὗ μυθολογεῖται πάντας τοὺς ἀνέμους σφοδροὺς κινεῖσθαι, χωρὶς ζεφύρου καὶ βορρᾶ· θεογενεῖς γὰρ οὗτοι. Ἰστέον δὲ ὅτι ἐν Κιλικίᾳ μὲν ἐγεννήθη ὁ Τυφώς, ἐκολάσθη δὲ ἐν Σικελίᾳ. Καὶ Ἡσίοδος· Τόν ποτε Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον *).

τὸν γηγενῆ] B. τὸν γενναῖον καὶ ἀνδρεῖον.

v. 352. δάϊον] B. πολεμικὸν ἢ καυστικόν.

v. 353. ἑκατοντακάρηνον] A. Φησὶν οὖν ὁ Ὠκεανός, ᾤκτειρησα καὶ τὸν Τυφῶνα τὸν οἰκήτορα τῶν Κιλικίων σπηλαίων, τὸν ἑκατὸν κεφαλὰς ἔχοντα, τὸν ὁρμητικὸν πρὸς πόλεμον· ὃς πᾶσι τοῖς θεοῖς ἀντέστη, καταπληκτικαῖς σιαγόσιν ἠχῶν φόνον (γράφεται καὶ φόβον), ἐξ ὀφθαλμῶν δὲ ἤστραπτε σέλας καταπληκτικόν. Ἀλλ' ἦλθε τὸ τοῦ Διὸς βέλος ὁ κεραυνός, καὶ ἔπαυσεν αὐτὸν τῶν κενοδόξων καὶ μεγάλων κομπασμάτων· εἰς αὐτὰς γὰρ τὰς φρένας πληγεὶς ὑπὸ τοῦ κεραυνοῦ κατεκάη· καὶ νῦν κεῖται πλησίον τοῦ Σικελικοῦ πορθμοῦ τοῦ μεταξὺ Σικελίας καὶ Ἰταλίας, δέμας ἀχρεῖον, καὶ παρήορον, ἤγουν ἔκλυτον, ἢ ἐκλελυμένον καὶ ἡπλωμένον. Γράφεται δὲ καὶ πανάωρον, ἀντὶ τοῦ παντελῶς ἀφρόντιστον καὶ μηδεμιᾶς φροντίδος ἄξιον. Σημειῶσαι δὲ ὅτι τὸ δέμας ἐπὶ τοῦ ἀψύχου λαμβάνει οὗτος ὁ ποιητής.

ἑκατοντακάρηνον] B. ἑκατὸν κεφαλὰς ἔχοντα. πρὸς βίαν χειρούμενον] βιαίως πιεζόμενον ἐν Αἴτνῃ.

v. 354. σμερδναῖσι] A. ἤγουν ἐκπληκτικαῖς, παρὰ τὸ μερίζειν, καὶ δονεῖν τὸ ταράσσειν· τὸ γὰρ καταπληκτικὸν ποιεῖ τὸν δειλὸν μερίζεσθαι εἰς φόβους, καὶ ἄλλας ἐν-

---

*) Hic verfus non eft apud *Hefiodum* fed apud *Pindarum* Pyth. I, 30.

νοίας. Οὐ μὴν ἐλεητὸς ὁ τοιοῦτος, ἀλλ' ὁ ποιητὴς φύσει τοῖς τεραστίοις ἐξαιρούμενος, οὐ λεπτολογεῖται τὰ πράγματα.

τυφῶνα] B. ὁ Τυφὼς ἐν Κιλικίᾳ μὲν ἐγεννήθη, ἐν Σικελίᾳ δὲ κεκεραύνωται ἐν τοῖς ποσὶ τοῦ ὄρους τῆς Αἴτνης, ἔνθα φασὶ καθήμενον τὸν Ἥφαιστον χαλκεύειν. Καλεῖται δὲ ὁ τόπος οὗτος κρατῆρες, διὰ τὸ μεστὸν εἶναι πυρός. θοῦρον] ὁρμητικόν, θρασύν. ἀντέστη] ἠναντιώτο.

v. 355. σμερδναῖσι γαμφηλαῖσι] B. καταπληκτικαῖς γνάθοις. συρίζων] ἐκπνέων. Εἰκότως εἶπε τὸ συρίζων, ἐπειδὴ ὀφέων κεφαλὰς εἶχε, τούτων δέ ἐστι τὸ συρίζειν.

v. 356. ἐξ ὀμμάτων] B. αὐτοῦ. ἤστραπτε] ἀπέλαμπε. γοργωπὸν] καταπληκτικόν.

v. 357. ἐκπέρσων] B. μέλλων καταβαλεῖν.

v. 358. ἄγρυπνον βέλος] A. τὸ πῦρ τὸ ποιοῦν τοὺς ἀνθρώπους ἀγρυπνεῖν, καὶ ἀσχολεῖσθαι περὶ τὸ ἐργάζεσθαι. Λέγουσι γὰρ ὅτι ἐν τῇ Αἴτνῃ ἡμέρας ἐκθρώσκει καπνός, νυκτὸς δὲ φλόξ. Ἄλλως. Ἄγρυπνον βέλος ἄπαυστον, ἄσβεστον.

αὐτῷ] B. τῷ Τυφῶνι. ἄγρυπνον] ἀκάματον, ἄσβεστον.

v. 359. καταιβάτης κεραυνὸς] A. ἔστιν εἶδος κεραυνοῦ, πρηστήρ, ὁ καὶ πυρσὸς καλούμενος, ὃς καταφερομένου τοῦ παντὸς καὶ ἐκπυρωθέντος γίνεται, καὶ λεπτυνθέντος, σκηπτός, ὁ καὶ καταιβάτης· γίνεται καὶ ἀργός, ὃς διὰ τὴν πάνυ λεπτότητα οὐ φλέγει. Μέλαινος δὲ ψολόεις, ὁ ἐν τῇ ψαύσει ὀλλύμενος. Ἑλίκιος, ὅτι στροφεῖται καὶ βιαίως ποιεῖ, διὰ μέσην παχύτητα καὶ ὑγρότητα καὶ πυκνότητα τοῦ ἀερὸς ἀντωθούμενος *).

καταιβάτης] B. τοῦτο ὄνομα κεραυνοῦ, ὥσπερ καὶ τὸ ψολόεις.

v. 360. ἐξέπληξε] B. μετ' ἐκπλήξεως ἔπαυσε.

v. 361. κομπασμάτων] B. οἷς ἐχρῆτο ἀπειλῶν τῷ Διΐ. φρένας εἰς αὐτὰς τυπεὶς] εἰς αὐτὸν τὸν νοῦν πληγείς, παράφορος γενόμενος τῷ ἀπροσδοκήτῳ τῆς πληγῆς.

---

*) In interpunctione horum *Heathium* secutus sum, qui et mox legi jubet κέλαινος δὲ ψ. Post autem βιαίως ποιεῖ.

v. 362. ἐφεψαλώθη] A. κατεκάη. Φεψαλὸς λέγεται ὁ μικρὸς σπινθὴρ, ἀπὸ τοῦ φλέγειν τῷ ἅψασθαι. κἀξεβροντήθη] ἤτοι ἐξησθένησε, καὶ ἀφῆκε τὴν δύναμιν ὃν τρόπον καὶ οἱ ἐμβρόντητοι. Οἱ γὰρ βροντῆς ξηρᾶς ἀκούοντες ἐκπλήττονται.

ἐφεψαλώθη] B. κατεκάη, φεψαλὸς γὰρ ὁ μικρὸς σπινθήρ. ἐξεβροντήθη] παρετράπη, ἐξησθένησε, ὥσπερ οἱ βροντῶν ἤχῳ παταχθέντες.

v. 363. παρήορον] B. ἄτιμον, ἀπόβλητον, μηδεμιᾶς φροντίδος ἀξιούμενον.

v. 364. στενωποῦ] B. τοῦ Σικελικοῦ

v. 365. ἰπνούμενος] B. καιόμενος. Ἰπνὸς γὰρ καὶ ἴπνος ὁ φοῦρνος, ἐκ γὰρ τοῦ ἴπτω τὸ βλάπτω, οὐ μόνον τὸ ἰάπτω γίνεται, ἀλλὰ καὶ ἶπος *) ἡ παγὶς τῶν μυῶν, καὶ ἰποῦν ῥῆμα τὸ βλάπτειν, παρά τε ἄλλοις καὶ τῷδε τῷ Αἰσχύλῳ, καὶ παρὰ τῷ κωμικῷ, ὡς τὸ ἰπτούμενος ταῖς συμφοραῖς. Ἐκ τοῦ ἴπτω δὲ καὶ ἴψ ὁ σκώληξ, ὁ τοῖς κέρασιν ἐμφυόμενος, ὡς τό, μὴ κέρα ἶπες ἔδοιεν **).

v. 366. μυδροκτυπεῖ] A. χαλκεύει. Μύδρος καλεῖται ὁ πεπυρακτωμένος σίδηρος, παρὰ τὸ μή, καὶ τὸ ὕδωρ· ὁ γὰρ πεπυρακτωμένος σίδηρος οὐδ᾽ ὅλως ὑγροῦ τινος μετέχει, ἀλλὰ καὶ μᾶλλον ξηροῦ.

κορυφαῖς] B. αὐτῆς τῆς Αἴτνης. ἥμενος] καθήμενος. μυδροκτυπεῖ] σφυρηλατεῖ.

v. 367. ἔνθεν ἐκραγήσονταί ποτε] A. κατὰ τὴν Σικελίαν ὄρος ἐστὶ τὸ καλούμενον Αἴτνη, ἐξ οὗ πῦρ πολὺ ἀναδίδοται ἐκρέον ποταμηδόν. Ἐκ τούτου οὖν, φησί, ποτὲ ἐκχυθήσονται ποταμοὶ πυρός, κατεσθίοντες πᾶσαν γῆν τῆς καλλικάρπου Σικελίας. Ζάλην δὲ πυρίπνοον λέγει τὴν ἀνάδοσιν καὶ τὴν ἀνακάχλασιν τοῦ Αἰτναίου πυρός. Θερμὴν δὲ αὐτὴν καλεῖ, διὰ τὸ ἐκεῖσε καυθῆναι τὸν Τυφῶνα· ἄπληστον δέ, διότι τὸ πῦρ ὕλης δραξάμενον, οὐ κορέννυται, ἀλλὰ

---

*) Recte Pauw. Ἶπος etc. Ἰποῦν pro vulg. Ἴπτος etc. Ἰπτοῦν.

**) Odyss. Φ. 395.

μᾶλλον ἐπὶ πλεῖον καταφλέγει τὰ προστυχόντα, καὶ οὐχ ἵσταται. Ἄλλως. Ἔνθεν ὁ Καλλίμαχος πυρίδειπνόν *) φησι. Ποταμοὺς δὲ πυρὸς τοὺς κατὰ Σικελίαν ῥύακάς φησι, περὶ ὧν ἠκούομεν πάλαι. Καὶ κατὰ τοὺς Ἱέρωνος χρόνους κατὰ τὸ μέσον ῥυέντες, πολλὰ διέφθειραν χωρία, ὅθεν τό, τε θεῖον καὶ τὰ πυρεῖα. Γῆ γάρ ἐστι παρακείμενος ἔχουσα πῦρ, ὅ ἐστι κατὰ παράθεσιν τῆς γῆς. Ἄλλο δέ ἐστι πῦρ τὸ κατὰ κρᾶσιν τοῦ ὕδατος, ὃ ποταμοὺς τοῦ πυρὸς ὁ Πίνδαρος καὶ ὁ Αἰσχύλος φασί.

ἔνθεν ἐκραγήσονται] B. ἐκ τῆς Αἴτνης ἐκσπασθήσονται. Τοῦτο δὲ γέγονε κατὰ τοὺς Ἱέρωνος χρόνους, ὅτε καὶ Αἰσχύλος ἤκμαζε.

v. 368. ποταμοὶ] B. ἐπιϊστοροῦσι τοὺς ποταμούς **). δάπτοντες] ἐσθίοντες.

v. 369. λευρὰς γύας] B. πλατείας χώρας.

v. 370. ἐξαναζέσει χόλον] B. ἀναδώσει μανίαν, ὀργήν.

v. 371. ζάλης] A. συστροφῆς, ταραχῆς.

θερμῆς] B. καυστικῆς. ἀπλήστου] ἀκορέστου, ἀκρατήτου, τὸ γὰρ πῦρ εὑρὸν ὕλην οὕτω βακχεύει, ὡς μηδένα τῶν πάντων ἐπισχεῖν αὐτὸ δύνασθαι.

v. 372. καίπερ] B. ὅμως. ἠνθρακωμένος] κεκαυμένος.

v. 374. ὅπως ἐπίστασαι] B. ὡς γινώσκεις.

v. 375. παροῦσαν] B. ἐμοί. ἀντλήσω] καρτερήσω, διέλθω.

v. 376. λωφήσῃ] A. ἡσυχάσῃ.

λωφήσῃ] B. παύσῃ. χόλου] τῆς κατ' ἐμοῦ ὀργῆς.

v. 377. οὔκουν Προμηθεῦ] A. εἰπόντος τοῦ Προμηθέως ὅτι ἐγὼ τὴν παροῦσαν ὑπομενῶ τύχην, ἕως ἂν ὁ νοῦς τοῦ Διὸς παυθήσεται τῆς ὀργῆς, φησὶν ὁ Ὠκεανὸς πρὸς αὐ-

---

*) h. e. ab igne esam s. adustam, Toup. ep. crit. p. 158.

**) forsan leg. ἐπεὶ ἴσον ῥέουσι τοῖς ποταμοῖς. Heath.

τὸν, σὺ δὲ τοῦτο γινώσκεις ὦ Προμηθεῦ, ὅτι οἱ λόγοι παράκλητοι θεραπεύουσι τὴν ὀργὴν ἀγρίαν καὶ ἐπαιρομένην....

ῥύκουν] B. οὐδαμῶς.

v. 378. ὀργῆς νοσούσης] A. λόγος γὰρ ἀνθρώποισιν ἶαται νόσους. Ψυχῆς γὰρ οὗτος μόνος ἔχει θελκτήρια. Ὅμηρος, ἧστό τε καὶ τὸν ἔτερπε λόγοις. (Il. O. 393.)

εἰσὶν] B. ὑπάρχουσιν.

v. 379. ἐν καιρῷ] A. τοῦτό φησιν ὁ Προμηθεύς, ἐάν τις οὐκ ἐν αὐτῇ τῇ ἀκμῇ τοῦ θυμοῦ, ἀλλὰ μετὰ τὸ παυθῆναι καὶ οἱονεὶ μικρὸν ἡμερωθῆναι, μειλίσσῃ καὶ λόγοις παρακλητικοῖς χρῆται πρὸς αὐτόν, ἀναγκαίως πείθει αὐτόν. Νῦν δὲ ἔτι ἐν ἀκμῇ ἐστιν ὁ τοῦ Διὸς χόλος, καὶ οὐ πείσεται, εἰ μὴ ὥριμος γένηται ἡ ὀργή, καὶ οἱονεὶ μαλακισθῇ· τοῦτο καὶ Ἱπποκράτης, Πέπανα φαρμακεύειν, μὴ ὠμά. μαλθάσσῃ] ἀγαθύνῃ, καταπραΰνῃ.

Λ νῦν οὖν ἐν ἀκμῇ τοῦ θυμοῦ ἐστι Ζεὺς καὶ οὐ πείσεται:

ἐν καιρῷ] B. δέοντι. μαλθάσσῃ] καταπραΰνοι.

v. 380. σφριγῶντα] A. νεάζοντα καὶ αὐξάνοντα.

σφριγῶντα] B. αὐξόμενον καὶ ζέοντα. ἰσχναίνῃ] ὑποκλίνῃ καὶ παύειν ἐπιχειρῇ.

v. 381. ἐν τῷ προθυμεῖσθαι] A. γράφεται καὶ προμηθεῖσθαι. Ἤγουν ἐν τῷ προνοεῖσθαί σου καὶ πειρᾶσθαι τὸν Δία πείθειν, τίνα βλάβην ἐνυπάρχουσαν νοεῖς; εἰπέ μοι.

v. 382. ἐνοῦσαν] B. ὑπάρχουσαν.

v. 383. μόχθον περισσὸν] B. πόνον μάταιον ὁρῶ. εὐηθίαν] μωρίαν. Ἐπίθετον δὲ ταύτης τὸ κουφόνουν.

v. 384. ἔα με] A. ἄφες, φησίν, ἐμὲ παρακινδυνεύειν ὑπὲρ σοῦ, καὶ δοκεῖν τοῖς πολλοῖς ἄφρονα εἶναι, εὖ φρονοῦντά σοι. Ἐπεὶ ἄμεινόν μοι ἐστί, καλῶς φρονοῦντα καὶ σοὶ ὠφέλιμα δοκεῖν ἄφρονα τοῖς πολλοῖς.

ἔα με παρακινδυνεύειν ὑπὲρ σοῦ· ἄμεινον μοι ἐστιν εὐφρονοῦντα σοι δοκεῖν τοῖς ἔξωθεν ἄφρονα εἶναι:

τὴν νόσον] B. τὴν μωρίαν *).

v. 385. εὖ φρονοῦντα] B. ὅσον τὸ ἐπὶ σοί. δοκεῖν] σοί. φρονεῖν] ἐμέ.

*) hoc dedi pro vulg. μωρίαν, monente Heath.

v. 386. ἐμὸν δοκήσει] B. εἰ γὰρ αὐτὸ τὸ τοῦ Διὸς ἄκαμπτον εἰδὼς, σὲ ὑπὲρ ἐμοῦ πρὸς αὐτὸν σπεύδοντα οὐκ ἐπίσχω, πᾶσιν ἂν δόξω μηδὲν τῶν δεόντων ἐπίστασθαι, καὶ Προμηθεὺς μάτην καλεῖσθαι. δοκήσει] δόξει. ἀμπλάκημ'] ἁμαρτία αὕτη.

v. 387. σαφῶς] B. φανερῶς. στέλλει] πέμπει.

ὁ οἶκτος: v. 388. θρῆνος οὐ 'μὸς] B. τὸ ὑπὲρ ἐμοῦ θρηνεῖν καὶ ἀποκλαίεσθαι.

v. 389. ἦ] B. ἄρα. τῷ νέον κρατοῦντι] βάλῃ εἰς ἔχθραν. παγκρατεῖς ἕδρας] μονάρχους.

v. 390. τούτου] B. τοῦ Διός. μήποτ'] ἵνα. ἀχθεσθῇ] λυπηθῇ.

τοῦ μὴ λυπεῖν τὸν Δία: v. 392. στέλλου, κομίζου] A. πορεύου εἰς τὸν οἶκόν σου, καὶ φύλαττε τὸν παρόντα νοῦν. Ἤγουν τὸ δόξαν νῦν ἀγαθὸν καὶ νοηθὲν ἐν ἡμῖν, τουτέστι τὸ μὴ ἀπελθεῖν εἰς τὸν Δία.

στέλλου] B. ἀπέρχου. τὸν παρόντα νοῦν] ὅ νῦν σοι δοκεῖ. Λέγω δὴ τὸ μὴ πρὸς αὐτὸν ἀπελθεῖν, ἵνα μὴ καὶ αὐτὸς τὰ ὅμοια πάθῃς.

v. 393. ὁρμωμένῳ μοι] A. ἄτοπον ἦν ~~τὸν~~ τὴν πάντων γένεσιν ~~ἔχοντα~~, χρονίζειν ἐπὶ τῆς κινήσεως, εἰ καί τις ἥλιον εἰσαγαγὼν, ἐπὶ πολὺ τὸν κόσμον ἀνήλιον εἴασεν. Δεῖ οὖν μεμετρημένως ~~τὰ τοιαῦτα~~ ποιεῖσθαι. Τοῦτο δὲ φησὶν ὁ Ὠκεανὸς πρὸς τὸν Προμηθέα, ὅτι οὐκ ἀκαίρως μοι εἶπας, ἄπελθε, ἀλλὰ καὶ ἐμοὶ θέλοντι τοῦτο ποιῆσαι. Καὶ γὰρ ὁ τετρασκελὴς οἰωνὸς ὁ γρὺψ ᾧ ἐποχοῦμαι, διακόπτει τὴν ὁμαλὴν ὁδὸν τοῦ αἰθέρος ἐν τοῖς οἰκείοις πτεροῖς. Ἤτοι ἄρχεται πέτεσθαι. Καὶ δὲ ἄσμενος καὶ χαρίεις ἐν τοῖς τοιούτοις τόποις σταθήσεται.

ὁρμωμένῳ] B. πρὸς τὴν ὁδόν. ἐθώϋξας] εἶπας.

v. 394. ψαύει πτεροῖς] A. γράφεται καὶ ψαίρει. καταχρηστικῶς δὲ καὶ ἐνταῦθα ἡ λέξις αὕτη.

λευρὸν] B. λεπτὸν καὶ πλατύν. οἶμον] πορείαν. ψαύει] τὸ ψαύει οὐ μόνον γενικῇ ἀλλὰ καὶ αἰτιατικῇ. Ὥςπερ καὶ αἱ ἄλλαι πᾶσαι αἰσθήσεις, πλὴν τῆς ὁράσεως, ἐκείνη γὰρ μόνη αἰτιατικῇ, ἅτε βασιλικωτέρα τῶν ἄλλων, καὶ ἐφ'

ἑνὸς *) ἵδρυσθαι μόνον προσήκουσα, ἀλλ' οὐκ ἄνω καὶ κάτω φέρεσθαι. πτεροῖς] διὰ τῶν πτερῶν.

v. 395. οἰωνὸς] B. ὄρνεον. ἄσμενος] μετὰ περιχαρίας.

v. 396. σταθμοῖς] B. τῇ φάτνῃ αὐτοῦ. κάμψειεν γόνυ] κλίνειεν τὸ γόνυ αὐτοῦ.

v. 397. στένω σε] A. τὸ στάσιμον ᾄδει ὁ χορὸς τῶν Ὠκεανίδων νυμφῶν ἐπὶ τῆς γῆς κατεληλυθώς, καὶ φησι πρὸς τὸν Προμηθέα, στενάζω, καὶ κλαίω σε ὦ Προμηθεῦ ἕνεκα τῆς ὀλεθρίας τύχης ἣς πάσχεις. Ἀπὸ δὲ τῶν ὀφθαλμῶν δακρυσίστακτον στάζουσα ῥεῦμα, τὴν ἐμὴν παρειὰν ἔβρεξα ὑγραῖς πηγαῖς, ἤτοι δάκρυσιν. Ἀμέγαρτα γὰρ καὶ ἀφθόνητα κακά, ἃ οὐδεὶς ζηλώσει, δείκνυσιν ἡμῖν ὁ Ζεὺς τοῖς πρώην θεοῖς, ἰδίοις νόμοις ἰσχυροποιῶν τὴν ὑπερήφανον ἀρχὴν ἢ τὴν βίαν, ὥσπερ Πίνδαρος αἰχματὰν κεραυνὸν τὸν βίαιον λέγει. Ἅπασα δὲ χώρα ἤδη λέλακε καὶ ἠχεῖ ἤχημα στονόεν στεναγμῶν γέμον τε καὶ οἰκτρόν, καὶ στενάζουσι τὴν μεγάλην τε καὶ περιφανοῦς σχήματος οὖσαν τιμὴν τὴν σὴν καὶ τῶν σῶν ξυνημαιμόνων, ἤτοι τῶν ἀδελφῶν σου, τοῦ Ἄτλαντος καὶ τοῦ Μενοιτίου. Ὧν τὸν μὲν Ἄτλαντα ἐποίησε βαστάζειν τὸν οὐρανόν, τὸν δὲ ἐκεραύνωσε· σὲ δὲ δεσμεῖ ἐνταῦθα εἰς τὸ Καυκάσιον ὄρος. Οὗτοι δὲ παῖδες ἦσαν τοῦ Ἰαπετοῦ, ὃς ἦν ἀδελφὸς τοῦ Κρόνου τοῦ πατρὸς τοῦ Διός.

v. 398. οὐλομένας τύχας] B. καθ' ὅλου καὶ μέρος τῆς ἀξίας φθορᾶς.

v. 399. δακρυσίστακτον] B. ἐν δάκρυσι σταζόμενον. Τὸ δακρυσίστακτον ἢ πρὸς τὸ ῥέος ἢ πρὸς τὸ παρειὰν συντακτέον. ἀπ' ὄσσων] ἀπὸ τῶν ὀφθαλμῶν.

v. 400. ῥαδινῶν] A. εὐκινήτων. ῥέος] ῥεῦμα, παρὰ τὸ ῥέω ῥέος, ὡς κλέπτω κλέπος. Οἴχεται τὸ κλέπος αὐτὸς ἔχων.

ῥαδινῶν] B. ἁπαλῶν, παρθενικῶν. λειβομένα ῥέος] στάζουσα ῥεῦμα.

---

*) Sic recte *Abresch.* pro ὑφ' ἑνός.

v. 401. νοτίοις ἔτεγξα πηγαῖς] B. ὑγροῖς ἔβρεξα ῥεύμασι δακρύων.

v. 402. ἀμέγαρτα] B. ἀφθόνητα, μεγάλα ἅπερ πάσχεις.

v. 403. ἰδίοις νόμοις κρατύνων] B. ἤτοι τῷ οἰκείῳ θελήματι ἄρχων.

v. 404. ὑπερήφανον] B. ὑπεροπτικήν, τραχεῖαν. πάρος] πρώην.

v. 405. αἰχμὰν] A. τὴν βίαν. Καὶ Πίνδαρος αἰχματὰν κεραυνὸν τὸν βίαιον λέγει. (Pyth. I. 8.)

αἰχμὰν] B. ἐξουσίαν.

v. 406. πρόπασα] B. ὅλη. στονόεν λέλακε χώρα] θρηνητικὸν ἤχησε χώρα. Ὁ πρῶτον κατὰ ἄθροισιν εἰπὼν χώραν, εἶτα ἐπὶ μερισμὸν ἐπήνεγκεν ὁπόσοι.

v. 408. μεγαλοσχήμονα] A. μεγάλου σχήματος οὖσαν.

μεγαλοσχήμονα] B. μεγάλην. ἀρχαιοπρεπῆ τιμὰν] τὴν παλαιὰν τιμήν.

v. 410. ξυνομαιμόνων] B. τοῦ Ἄτλαντος καὶ τοῦ Τύφωνος.

ἀναχρονισμός· ὕπω γὰρ ἦν ἐπικισθεῖσα τοῖς ἑλλησιν ἡ ἀσία· v. 411. ὁπόσοι τ' ἔποικον] A. ὅσοι τε ἄνθρωποι κατοικοῦσι τὸ ἔδαφος καὶ τὸν χῶρον τῆς καθαρᾶς Ἀσίας, συγκάμνουσιν ἡμῖν, καὶ συνανιῶνται ταῖς σαῖς βλάβαις ταῖς μετεχούσαις μεγάλων στεναγμάτων. Παρθένοι τε αἱ ἐγκάτοικοι τῆς Κολχίδος, ἤγουν αἱ Ἀμαζόνες, αἱ ἄτρεστοι καὶ ἄφοβοι ἐν ταῖς μάχαις, ἀνιῶνται τοῖς σοῖς κακοῖς, καὶ ὁ Σκυθικὸς ὅμιλος, οἵτινες κατοικοῦσι τὸν ἔσχατον πόρον τῆς γῆς περὶ τὴν Μαιῶτιν λίμνην. Τὸ ἄρειόν τε καὶ πολεμικὸν γένος τῆς Ἀραβίας, λέγει δὲ τοὺς Τρωγλοδύτους, οἵτινές τε πλησίον τοῦ Καυκάσου νέμονται καὶ οἰκοῦσι πόλιν ὑψίκρημνον, στρατὸς πολεμικὸς βρέμει καὶ ἠχεῖ ἐν αἰχμαῖς καὶ κανταρίοις, ἤγουν οἱ Κόλχοι. ἁγνᾶς Ἀσίας] ἁγνὴν λέγει τὴν Ἀσίαν διὰ τὸ προφερεστέραν εἶναι πασῶν, καὶ διὰ τὸ μεγάλας πόλεις καὶ πλουσίας ἔχειν.

ὁπόσοι τ' ἔποικον] B. ἐγκάτοικοι. ἁγνᾶς] καθαρᾶς, διὰ τὴν τοῦ Ἡλίου ἀνατολήν.

v. 412. νέμονται] B. οἰκοῦσι.

v. 413. μεγαλοστόνοισι] B. τῶν μεγάλων δεσμένοις στεναγμάτων. πήμασι] δυστυχήμασι.

v. 414. συγκάμνουσι] B. συμπάσχουσι.

v. 415. Κολχίδος] B. ἥτις ἔνεστι ἐν Σκυθίᾳ. ἔνοικοι] ἐγκάτοικοι.

v. 416. παρθένοι] B. αἱ Ἀμαζόνες συγκάμνουσιν. μάχαις ἄτρεστοι] ἀκαταγώνιστοι. Σκύθης ὅμιλος] συγκάμνει.

v. 418. ἔσχατον] B. ἀκρότατον. ἀμφὶ] περὶ τήν.

v. 419. ἔχουσι] B. οἰκοῦσι.

v. 420. Ἀραβίας] A. πῶς τὴν Ἀραβίαν Καυκάσῳ συνῴκισεν; ὁ Στράβων φησίν, οἱ Τρωγλοδύται μεταξὺ Μαιώτιδος καὶ Καυκάσου. ἄρειον] τὸ ἀρήϊον.

ἄρειον ἄνθος] B. τὸ πολεμικὸν καὶ ἐξαίρετον γένος συγκάμνει.

v. 421. ὑψίκρημνον] B. τὸ τραχὺ καὶ κρημνῶδες. πόλισμα] κατοικίαν τῆς Κολχίδος.

v. 422. νέμονται] B. οἰκοῦσι.

v. 423. δάϊος] B. πολεμικός. στρατὸς] οἱ Κόλχοι συγκάμνουσι.

v. 424. ὀξυπρῴροισι] A. ὀξυκεράτοις.

ὀξυπρῴροισι] B. ὀξέα βέλη ἐχούσαις. βρέμων] ἠχῶν.

v. 425. πρόσθεν ἄλλον] B. πρότερον.

v. 426. δαμέντ'] B. κολασθέντα. ἀκαμαντοδέτοις] μεγάλαις καὶ ἰσχυραῖς.

v. 427. Τιτᾶνα] B. τὸν Τιτᾶναν. λύμαις] βλάβαις.

v. 428. Ἀτλανθ'] B. εἰσιδόμην, ἀπὸ κοινοῦ. οὐ μόνον Ἄτλας Ἄτλαντος, ἀλλὰ καὶ Ἄτλας Ἄτλα, καὶ μαρτυρεῖ τὸ Ἀτλαγενέων· οἱ πολλοὶ δὲ ἀγνοοῦντες ἐνταῦθα Ἄτλαντα λέγουσι, οὐκ εἰδότες ὅτι τὸ θ' τε ἐστιν. Ἢ τὸ Τιτᾶνα μὴ ἐκληπτέον εἰς τὸν Τυφῶνα, ἀλλὰ συναπτέον πρὸς τὸν Ἄτλαντα καὶ οὕτως οὐκ ἂν τὸ θ' ἀντὶ τοῦ τε εἴποις, ἀλλὰ Ἄτλαντα. Ὅτι δὲ μέγα σθένος καὶ τὸ κρα-

πόλος κυρίως τὸ τοῦ ἄξονος ἄκρον·
ἦχον ἢ μετὰ στεναγμοῦ φέρει·

ταιὸν οὐράνιον πόλον ἐκ παραλλήλου. Ἐνόβαλε δὲ διὰ μέσου τὴν τοῦ Ἀτλάντος ἱστορίαν. ὑπείροχον] μέγα.

v. 429. κραταιὸν] B. ἰσχυρόν. οὐράνιον πόλον] τὴν οὐρανίαν σφαῖραν.

v. 430. ὑποστενάζει] B. μετ' ὠδῖνος ὑπανέχει. βοᾷ] διὰ τὸ σὸν πάθος.

εἶναι ἀπ' εὐθείας τὸ στενος·

v. 431. ξυμπιτνῶν] B. συμπίπτων, συγκρούων.

v. 432. κελαινὸς] B. μέλας. ὑποβρέμει] ὑπηχεῖ.

v. 433. ἁγνοῤῥύτων] A. καθαρὸν ῥεῦμα ἐχόντων. γᾶς] B. γῆς. ἁγνοῤῥύτων] τῶν καθαρῶν ῥεόντων.

v. 434. ἄλγος] B. τὸ σόν. οἰκτρὸν] πικρόν.

v. 435. μή τι χλιδῇ] A. σιωπῶσι γὰρ παρὰ τοῖς ποιηταῖς τὰ πρόσωπα, ἢ δι' αὐθαδίαν, ὡς Ἀχιλλεὺς ἐν τοῖς Φρυξὶ Σοφοκλέους *) ἢ διὰ τὴν συμφοράν, ὡς ἡ Νιόβη παρ' Αἰσχύλῳ· ἢ διὰ περίσκεψιν, ὡς ὁ Ζεὺς παρὰ τῷ ποιητῇ, πρὸς τὴν τῆς Θέτιδος αἴτησιν. Τοῦτο δέ φησιν ὁ Προμηθεὺς πρὸς τὸν χορόν, μή με δοκεῖτε σιγᾶν ἢ ἐν ὑπερηφανίᾳ, η ἐν αὐθαδίᾳ, ἤτοι ἐκ κενοδοξίας, μὴ συνομιλοῦντα ὑμῖν, καὶ καταλέγοντα τὰ ἐμά, ἐν συννοίᾳ δὲ κόπτομαι τὴν ψυχήν, βλέπων ἐμαυτὸν οὕτως ὑβριζόμενον· τοῦτο γὰρ δηλοῖ τὸ προσελούμενον. Ὅθεν καὶ οἱ Ἀρκάδες πρόσελοι ἢ προσέληνοι. Ὕβρισται δὲ γὰρ ὁ Προμηθεὺς μέμψιν ἀνθρώπων ἔχων. *)

χλιδῇ] B. αἰκισμῷ, θρύψει, τρυφῇ. αὐθαδίᾳ] ὑπεροψίᾳ ἢ μωρίᾳ.

v. 436. συννοίᾳ] B. κατὰ νοῦν φροντίδι. δάπτομαι] τιτρώσκομαι.

v. 437. ὧδε προσηλούμενον] B. ἐνταῦθα καρφούμενον.

---

*) Spanheim ad Aristoph. Ran. v. 950. pro Σοφοκλέους substituit Αἰσχύλου; quia Sophoclis Phryges nusquam laudantur. Sed bene *Abreschius* observavit subesse in Scholiaste posse memoriae lapsum. Ceterum conferenda haec sunt cum iis quae auctor vitae habet, ex quibus omnino patet de Aeschyli non de Sophoclis dramate hoc loco sermonem esse.

v. 438. καίτοι θεοῖσι] Α. καί τοι, τίς, φησί, διώρισε τιμὰς ἄλλος τοῖς νέοις τούτοις θεοῖς; τοῦτο δὲ λέγει, πρὸς τὸν Δία τὸν λόγον ἀποτεινόμενος, διὰ τὸ συμβαλεῖν αὐτῷ τῷ Διῒ κατὰ τῶν Τιτάνων. Ἢ ὅτι εἰ καὶ ὁ Ζεὺς ἐπένειμεν ἑκάστῳ θεῷ τιμήν, ἀλλὰ σχεδὸν οὐ Διός, ἀλλὰ Προμηθέως τὸ κατόρθωμα· οὗτος γὰρ τὸ προσῆκον ἀξίωμα διετάξατο ἑκάστῳ. Ἀλλὰ ταῦτα μὲν σιωπῶ, φησίν· (ἐν γινωσκούσαις γὰρ ὑμῖν λέγων *) τοιαῦτα περισσὸν λέγω· λέξω δὲ τὰς ἀνθρώπων βλάβας, ἃς εἶχον πρώην, διὰ τὸ μηδὲν τῶν συμφερόντων εἰδέναι, ἀλλὰ μάθετε ὅτι αὐτοὺς μωροὺς ὄντας τὸ πρίν, φρονίμους ἐποίησα καὶ γνώσεως παντοίας μετέχοντας. Λέξω δὲ ταῦτα οὐχὶ μεμφόμενος τοῖς ἀνθρώποις, ἀλλὰ διηγούμενος ὅσα ἀγαθὰ δέδωκα αὐτοῖς, οἵτινες πρῶτα μὲν βλέποντες οὐκ ἔβλεπον, καὶ ἀκούοντες οὐκ ἤκουον· διότι νοῦν καὶ φρόνησιν οὐκ εἶχον· νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει· ἀλλὰ διήρχοντο πάντα τὸν καιρὸν τῆς ζωῆς ὅμοιοι ὀνείροις καὶ φαντάσμασιν, ἤτοι μηδὲν ὄντες, καὶ τὴν διὰ πλίνθων κατεσκευασμένην οἰκίαν οὐκ ἔκτισαν ἢ ἔγνωσαν. Προσήλους] ἤτοι θέρμην ἔχοντας, ἢ προσηλωμένους ἀντὶ τοῦ ἥλοις πεπαρμένους· οὔτε τὴν διὰ ξύλων κατασκευήν, ὑποκάτω τε τῆς γῆς κατῴκουν ἐν ἐνδοτάτοις τόποις σπηλαίων, ὥσπερ οἱ ἀεὶ συρόμενοι, ἢ ἀεὶ ἕρποντες μύρμηκες. Ἦν δὲ αὐτοῖς οὐδὲν σημεῖον καὶ δεῖγμα οὔτε χειμῶνος οὔτε τοῦ ἄνθη ἔχοντος ἔαρος, οὔτε τοῦ θέρους, ἀλλὰ χωρὶς νοὸς καὶ φρονήσεως ἐποίουν πάντα. Ἕως οὗ σφὶν καὶ αὐτὸς ἀνατολὰς τῶν ἄστρων ἔδειξα καὶ τὰς δυσγνώστους δύσεις.

γέρα] Β. τιμάς. Ὁ μὲν Ζεὺς ἀπονέμει τὰς τιμάς. Οὗτος δὲ κατὰ τὸ προσῆκον τοῖς πᾶσι διετάξατο. Ἢ τὸ θεοῖς τοῖς νέοις διὰ τὸν Δία μόνον νοητέον, αὐτῷ γὰρ τὴν βασιλείαν, ὡς καὶ πρόσθεν ἔφην, Προμηθεὺς συγκατεσκεύασεν, ἵν' ᾖ τὸ διώρισεν ἀντὶ τοῦ κεχωρισμένα τῶν ἄλλων αὐτῷ παρέσχεν.

v. 439. ἢ] Β. παρό. παντελῶς] τελείως. διώρισεν] διεμέρισεν κατ' ἀξίαν.

*) Sic recte *Heath.* pro vulg. λέγειν.

v. 440. εἰδυίαισιν] B. γινωσκούσαις.

v. 441. πήματα] B. ἅπερ ἔπασχον πρότερον, ἢ ἅπερ ἔπαθον ἐξ ἐμοῦ πάθη. Λέγει δὲ εἰρωνικῶς.

v. 442. ὡς σφᾶς νηπίους] B. πῶς αὐτοὺς ἄφρονας.

v. 443. ἐννοὺς ἔθηκα] B. συνετοὺς ἐποίησα. ἐπηβόλους] μετόχους.

v. 445. δέδωκ'] B. αὐτοῖς. εὔνοιαν] τὸ φίλτρον.

v. 446. βλέποντες] B. τοῖς ὀφθαλμοῖς.

v. 447. ὀνειράτων ἀλίγκιοι μορφαῖσι] B. ὅμοιοι εἰδώλοις. βίον] ζωήν.

v. 449. ἔφυρον] A. πάνυ εὐφυὲς τὸ ἔφυρον, ἐκ μεταφορᾶς τῆς γυναικός, ὅταν μέλλῃ ζυμῶσαι, μιγνυούσης ἄλευρον, ὕδωρ, ἅλας, καὶ ποιούσης τὸν ἄρτον. Μὴ γινώσκοντες γὰρ ἐκεῖνοι τὸ ποῦ συντελοῦσι τὸ καθ' ἓν *) ἔμισγον τὰ πάντα, διά τοι τοῦτο λέγει τὸ ἔφυρον.

ἔφυρον]. B. ἔμισγον, ἐκύκων. Ἤγουν οὐ χειμῶνα, οὐκ ἔαρ, οὐ θέρος, οὐ φθινόπωρον ἴσασιν ὡς ἑκάστῳ τὰ πρόςφορα τεχνάζεσθαι. εἰκῆ] μάτην.

v. 450. προςήλους] A. πρὸς ἥλιον ὁρῶντας. Καὶ Εὔπολις, Αὐλὴ πρόςηλος.

οὔτε πλινθυφεῖς δόμους προςήλους ἴσαν, οὐ ξυλουργίαν] B. πεπαρμένους, ἢ θέρμης ἐμποιητικούς. Τὸ δὲ ἴσαν ἀντὶ τοῦ ἔκτισαν. Τὸ δὲ ξυλουργίαν ἀντὶ τοῦ ξυλοκατάσκευον οἰκίαν.

v. 451. ὥστ' ἀείσυροι μυρμ.] A. οἱ ἀεὶ συρόμενοι καὶ ἕρποντες. Ἢ ἀήσυροι, ἤγουν οἱ κοῦφοι καὶ οἱονεὶ πτερωτοί.

κατώρυχες ἔναιον] B. ὑπὸ γῆν κατορωρυγμένην κατῴκουν. ὡς] καθά. ἀείσυροι] ἀεὶ συρόμενοι καὶ ἕρποντες.

v. 452. ἐν μυχοῖς ἀνηλίοις] B. εἰσόδοις καὶ ὀπαῖς σκοτειναῖς.

v. 453.

---

*) Τὰ καθ' ἓν conj. *Heath.*

v. 453. οὔτε χείματος τέκμαρ] A. οὐ διεγίνωσκον διὰ τῶν ἄστρων τοὺς καιρούς.

χείματος τέκμαρ] B. χειμῶνος σημεῖον.

v. 455. ἀνθεμώδους ἦρος] B. τέκμαρ ἄνθη ἔχοντος ἔαρος. καρπίμου] τοῦ τοὺς καρποὺς φέροντος.

v. 456. βέβαιον] B. πιστόν. ἄτερ γνώμης] χωρὶς φρονήσεως, σκέψεως.

v. 457. ἔπρασσον] B. ἐποίουν. ἔς τε] ἕως ἄν. σφιν] αὐτοῖς. ἀντολὰς] δι' ὧν τοὺς καιροὺς γινώσκοιεν.

v. 458. δυςκρίτους] A. δυςκαταλήπτους, δυςγνώστους, οἷον ὅτι Ὠρίων ὅταν δύνῃ, χειμῶνα ποιεῖ. Ταύτην τὴν εὕρεσιν καὶ Παλαμήδη προςῆψεν *). Ἴσως δὲ κἀκεῖνος ὑπὸ Προμηθέως ἔμαθε ταῦτα· οἷον καὶ ἐπὶ Πλειάδων, ὅταν γὰρ αὗται ἀνατέλλουσι τὴν ἑωθινὴν ἀνατολὴν τῷ πρωΐ κατὰ Μάϊον μῆνα εἰς τὴν ιβ καὶ εἰς τὴν ιγ, τότε δὲ **) ἄρχεσθαι τοῦ ἀμήτου ἢ τοῦ θέρους, καὶ πάλιν μελλουσῶν δύναι ἢ κρυβῆναι τὴν ἑσπερίαν δύσιν, ἤτοι τὸ Ὀκτώβριος καὶ Νοέμβριος ***), ποιεῖ ἀρχὴν ἀρότου ἢ τοῦ σπείρειν.

δυςκρίτους] B. δυςγνώστους. δύσεις] αὐτῶν.

v. 459. καὶ μὴν ἀριθμὸν ἔξοχος σοφισμάτων] A. καὶ δὴ καὶ μηχανήματα ἐξεῦρον αὐτοῖς, καὶ γραμμάτων συνθέσεις ἐδίδαξα. Γράφεται καὶ νοσφισμάτων· καὶ γάρ τις μέτρον γινώσκων τῶν πραγμάτων αὐτοῦ, οὔποτε τοῦ εἰκότος ἐκπέσοι.

ἔξοχον σοφισμάτων] B. ὑπέρτατον τῶν ἄλλων μηχανημάτων.

v. 460. συνθέσεις] B. συνθήκας.

v. 461. μνήμην θ' ἁπάντων] A. ἐγώ, φησί, καὶ μνήμην ἁπάντων λόγων μητέρα τοὺς ἀνθρώπους ἐδίδαξα, καὶ ἔζευξα πρῶτος τ' ἐν ζυγοῖς κνώδαλα, καὶ βόας δου-

*) f. προςῆψαν *Abresch.*

**) τότε δὴ conj. *Heath.*

***) ἤτοι ὅ τε Ὀκτ. καὶ N. ποιεῖν emend. *Heath.*

λεύοντας καὶ ἐν ζεύγλαις καὶ ἐν σώμασι· οἵπερ *) τοῖς ἀνθρώποις κουφισταὶ τῶν πόνων τυγχάνωσι τῶν πολλῶν· καὶ ὑφ' ἅρματα ἤγαγον ταῖς ἡνίαις ὑποτασσομένους τοὺς ἵππους, ὅπερ ἐστὶ καλλώπισμα τῆς ὑπερπλούτου χλιδῆς. Καὶ τὰ ἐν θαλάσσῃ δὲ πλανώμενα καὶ πορευόμενα ὀχήματα τῶν ναυτίλων (ἤγουν τὰς ναῦς) τὰ λινόπτερα, τὰ ἔχοντα τὰ ἄρμενα ὡς πτερά, οὐδεὶς ἄλλος ἐφεῦρε χωρὶς ἐμοῦ.

ἁπάντων] B. ὧν εἶδον καὶ ἤκουσαν. μουσομήτορ'] καὶ λόγων μητέρα **). Τὴν συνετωτάτην μητέρα, ἢ τὴν τῶν μουσῶν μητέρα· ὁ γὰρ μνημονικώτατος σοφώτατός τ' ἐστι, καὶ πάνθ' ὅσα βούλεται πράττει.

v. 462. κἄζευξα] B. οὐ μόνον τὸ ζεύγνυσθαι ὑπηρετοῦντα ἀνθρώποις πρὸς τὴν τῆς γῆς ἐργασίαν, ἀλλὰ καὶ τὰ ἐπισάττεσθαι καὶ φόρτους ἐπάνω σωμάτων αἴρειν σκευοφοροῦντα. Ἡ πρὸς τὸ δουλεύοντα στικτέον, ἵν' ᾖ τὸ σώμασι διὰ τοὺς ἵππους· οὕτω καὶ ὑφ' ἅρματα ἤγαγον φιληνίους ἵππους, ὅπως ἐν τοῖς σώμασι γένωνται διάδοχοι μεγίστων μοχθημάτων τοῖς θνητοῖς. Κρεῖττον δὲ τοῦτο τοῦ προτέρου, ὥστε τὸ δουλεύοντα ἀντὶ τοῦ ὑπείκοντα. κνώδαλα] βόας.

v. 463. ζεύγλαισι] B. ζεύγμασι. σώμασι] διὰ σωμάτων. ὅπως] ἵνα.

v. 464. διάδοχοι] B. κουφισταί. Ἀπὸ μέρους δεχόμενοι, αἴροντες αὐτοὺς καὶ οὐκ ἐῶντες κοποῦσθαι.

v. 465. φιληνίους] B. τοὺς φιλοῦντας καὶ ἐθίζοντας τοὺς χαλινούς.

v. 466. ὑπερπλούτου χλιδῆς] A. τὸ γὰρ ἐποχεῖσθαι ἵπποις, πλουσίων ἐστί.

ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς] B. καλλώπισμα μεγάλης τρυφῆς.

v. 467. θαλασσόπλαγκτα] B. τὰ ἐν τῇ θαλάσσῃ ἐρχόμενα.

---

*) f. ὅπως *Abresch.* Post pro κουφίσαι reposui κουφισταί.

**) recte *Pauw.* μητέρα pro vulg. μέτρα.

v. 468. λινόπτερ'] B. τὰ δίκην πτερῶν λινᾶ ἱστία ἔχοντα. ναυτίλων ὀχήματα] τὰ σκάμματα οἷς ἐποχοῦνται οἱ ναῦται.

v. 470. σόφισμ'] B. τέχνασμα καὶ πανουργίαν.

v. 471. τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ] B. τοῦ τούτου δεσμοῦ ἐλευθερωθῶ.

v. 472. πέπονθας ἀεικὲς πῆμα] A. ὁ χορὸς ἀκούσας τῶν τοῦ Προμηθέως κατορθωμάτων τῶν ἄνωθεν λεγομένων φησὶ πρὸς αὐτὸν, ἔπαθες βλάβος ἀπρεπές, μὴ καλῶς φρονῶν, ἀλλ' ἀφρόνως ἀντιλέγων τῷ Διῒ, καὶ ἀνθιστάμενος αὐτῷ. Ἢ, ἔπαθες βλάβην ἀπρεπῆ. Τὸ δὲ πλανᾷ, δηλοῖ, ὅτι ἀποσφαλεὶς τῶν φρενῶν οὐχ εὑρίσκεις ἐν φρονήσει μηχάνημα, δι' οὗ ἂν ἀπαλλαγῇς· ὥσπερ δέ τις ἄτεχνος ἰατρὸς, εἰς νόσον πεσὼν ἀθυμεῖς, καὶ οὐκ ἔχεις εὑρεῖν ποίοις μηχανήμασιν σεαυτὸν θεραπεύσεις. Ἄλλως. Τοῦτο διὰ τὸ φιλονεικῆσαι Διΐ. Μεσολαβοῦσι δὲ αἱ τοῦ χοροῦ τὴν ἔκθεσιν τῶν κατορθωμάτων, διαναπαύουσαι τὸν ὑποκριτὴν Αἰσχύλου.

ἀεικὲς] B. ἀπρεπὲς καὶ ἀνάρμοστον. ἀποσφαλεὶς φρενῶν] πεσὼν τοῦ λογισμοῦ.

v. 473. πλανᾷ] B. εὕρηται καὶ πλάνᾳ καὶ πλανᾷ, πρὸς μὲν οὖν τὸ πλάνῃ οὕτω λέγε, ἀποσφαλεὶς φρενῶν ἐν πλάνῃ. Τουτέστιν ἐκπεσὼν καὶ πλανηθεὶς τοῦ φρονεῖν. Εἰ δὲ πλανᾷ γράψεις πρὸς τὸ πῆμα στίξας, ἀσυνδέτως τὸ λοιπὸν ἐρεῖς, οὕτω ἀποσφαλεὶς καὶ ἐκπεσὼν τῶν φρενῶν πλανᾷ καὶ πεπλανημένους δόλους *) φέρῃ.

v. 474. ἀθυμεῖς] B. δυσχεραίνεις καὶ ὀλιγοψυχεῖς.

v. 475. ἰάσιμος] B. τεθεραπευμένος ἔσῃ.

v. 476. τὰ λοιπά μου κλύουσαι] A. τὰ ἄλλα μου σοφίσματα ἀκούσασαι, πλέον θαυμάσετε οἵας τέχνας καὶ μηχανὰς ἐβουλευσάμην. Τὸ μὲν μέγιστον, εἴτις ἀῤῥωστήσειεν, οὐκ ἦν οὐδὲν βοήθημα θεραπείας οὔτε διὰ βρώσεως προσφερόμενον, οὔτε δι' ἐπιχρίσεως ἔξωθεν, οὔτε διὰ πόσεως

*) f. πεπλανημένας ὁδοὺς Heath.

(τοῦτο δὲ δηλοῖ τὸ πιστόν, ἀπὸ τοῦ πίω πίσω ῥήματος) ἀλλὰ πάντες διεφθείροντο τῇ ἐνδείᾳ τῶν φαρμάκων· πρὶν ἂν ἐγὼ ἔδειξα αὐτοῖς κεράσματα καὶ θεραπείας πραΰνούσας τὰς νόσους, αἷς θεραπείαις πᾶσαν ἀποδιώκουσι βλάβην τῶν νόσων. Τρόπους δὲ πολλοὺς τῆς μαντικῆς ἐνόσμησα.

πλέον] B. ἢ νῦν ἐθαύμασας.

v. 477. πόρους] B. μηχανάς. ἐμησάμην] ἐνέβαλον αὐτοῖς κατὰ νοῦν πράττειν.

v. 478. εἴ τις] B. αὐτῶν. πέσοι] ἔπεσε.

v. 479. ἀλέξημ'] B. ἀποσόβησις τῆς νόσου ὃ φαγὼν ῥαίσει τῆς νόσου καὶ παύσεται.

τὸ διὰ πόσε ἀπὸ πίω κ πίσω ῥῆμα:

v. 480. χριστὸν] B. χριόμενον. πιστὸν] πινόμενον.

v. 481. κατεσκέλλοντο] A. κατεσκελετεύοντο, κατεφθίνοντο.

κατεσκέλλοντο] B. ἀπέθνησκον, οἱ γὰρ θανόντες ξηροί εἰσι.

v. 482. κράσεις ἠπίων ἀκεσμάτων] B. κιρνάματα μαλακῶν θεραπευμάτων.

v. 483. αἷς] B. κράσεσι. ἐξαμύνονται] καταγωνίζονται.

v. 484. ἐστοίχισα] A. διεκόσμησα καὶ διεταξάμην καὶ ἔκρινα πρῶτος αὐτὸς τίνας τῶν ὀνείρων δεῖ εἰς πέρας ἐξελθεῖν καὶ φανερῶς γεγενῆσθαι, καὶ τίνας μή· μαντείας τε δυσκόλους εἰς κατάληψιν καὶ γνῶσιν ἐγνώρισ' αὐτοῖς, ἤγουν τοῖς ἀνθρώποις, τὰ κατὰ τὴν ὁδὸν γινόμενα σημεῖα καὶ τεκμήρια. καὶ ἀκριβῶς ἐδίδαξα καὶ ἑρμήνευσα τὴν πτῆσιν τῶν οἰωνῶν τῶν ἐπικαμπεῖς ὄνυχας ἐχόντων· οἵ τινές τε δεξιοὶ καὶ οἵτινες εὐώνυμοι, ἤτοι τὴν δεξιὰν αὐτὴν καὶ ἀριστερὰν πτῆσιν τῶν οἰωνῶν, καὶ τὴν διαγωγὴν ἥντινα ἔχουσιν ἕκαστοι· καὶ τίνες πρὸς ἀλλήλους εἰσὶν ἔχθραι, καὶ φιλίαι, μίση, καὶ συνελεύσεις. Τὸ γὰρ συνδιάγειν ὁμοῦ τοὺς οἰωνούς, καὶ τὸ ἔχθραν ἔχειν πρὸς ἀλλήλους, ἢ καὶ φιλίαν, σημαντικὰ μαντείων, καὶ ἀδήλων τεκμήρια παρὰ τοῖς μάντεσι πέφυκεν. Ἰστέον δὲ ὅτι πολλὰ καὶ διάφορα εἴδη μαντείων καθεστήκασιν, ἐνταῦθα δὲ περὶ τούτων μόνων διαλαμ-

βάσει, περὶ τοῦ ὀνειροκριτικοῦ, τοῦ οἰωνιστικοῦ, τοῦ ἠπατητικοῦ, καὶ τοῦ θυτικοῦ. Ἤγουν τοῦ κρίνειν ἀπὸ τῶν ὀνείρων τὰ μέλλοντα γίνεσθαι, καὶ ἀπὸ τῆς πτήσεως τῶν οἰωνῶν, τῆς τοιᾶσδε ἢ τοιᾶσδε, ὃ μέλλει συμβῆναι τεκμαίρεσθαι. Καὶ ἀπὸ τῆς ἀνατομῆς τῶν ζώων τὰ ὅμοια νοεῖν. Σχίζοντες γὰρ μέσον τὰ ἱερεῖα ἔβλεπον τὴν θέσιν τῶν ἐντοσθίων πάντων· καὶ ἐκ τούτου ἐτεκμαίροντο τὰ μέλλοντα γίνεσθαι. Ὁμοίως δὲ καὶ ἀπὸ τῶν θυμάτων, οἷον τῆς χολῆς ἐμβληθείσης καὶ ἀνατιναγείσης πρὸς τὸ τῶν πολεμίων μέρος, ἧτταν τούτων ἐσήμαινεν. Ἄλλως. Ἐστοίχισα· κατὰ στοῖχον ἔδειξα. Πολλὰ γὰρ εἴδη μαντικῆς· εἰκαστικόν, ἐπιπνευστικόν, ἀστρονομικόν.

ἐστοίχισα] B. ἔταξα.

v. 485. ἔκρινα] B. διωρισμένως εἶπον. χρὴ] ἀπόκειται.

v. 486. δυςκρίτους] A. δυςνοήτους.

ὕπαρ] B. φανερῶς. κληδόνας δυςκρίτους] μαντείας δυςγνώστους.

v. 487. ἐνοδίους] A. τοὺς ἐξ ὑπαντήσεως.

ἐνοδίους συμβόλους] B. τὰ κατὰ τὴν ὁδὸν συναντήματα, δι' ὧν δεῖ συμβάλλειν καὶ μαντεύεσθαι.

v. 488. γαμψωνύχων] B. ἀγκύλους ἐχόντων ὄνυχας. σκεθρῶς] ἀκριβῶς. Γίνεται δὲ ἀπὸ τοῦ σκέπτομαι καὶ τοῦ θεωρῶ, ὁ ἐσκεμμένα καὶ μετὰ τοῦ μάλα προςέχοντος τὰ πράγματα βλέπων.

v. 489. διώρισ'] B. διωρισμένως καὶ κεχωρισμένως ἔταξα πρὸς μαντείαν.

v. 490. εὐώνυμοι] B. κακομάντεις· δέον εἰπεῖν καὶ οἵτινές εἰσιν εὐώνυμοι, εὐωνύμους εἶπε πρὸς τὸ διώρισα. Ὥςπερ καὶ προϊὼν ἐρεῖ τὸ λειότητα καὶ τὸ ποικίλην εὐμορφίαν. δίαιταν] διαγωγήν.

v. 491. ἑκάστοι] B. τούτων.

v. 492. συνεδρίαι] A. ὁμόνοιαι.

στέργηθρα] B. φιλίαι. συνεδρίαι] κοινωνίαι, καὶ συναγελασμοί.

v. 493. σπλάγχνων τε λειότητα] A. τὴν διὰ σπλάγχνων σκέψιν.

λειότητα] B. ὁμαλότητα. χροιάν τινα] μαντείαν ποιάν.

v. 494. δαίμοσι πρὸς ἡδονὴν] A. εὐπρόσδεκτα θεοῖς. εἴη] B. ταῦτα τὰ εὔσπλαγχνα.

v. 495. λόβου] B. τοῦ ἄκρου τοῦ ἥπατος.

v. 496. κνίσσῃ δὲ κῶλα συγκαλυπτὰ] A. τὰ τῶν μηρῶν ὀστᾶ συγκεκαλυμμένα κνίσσῃ, ἤ, τὰ μηρία πῶς δεῖ συγκαλύπτειν κνίσσῃ, τῷ ἄνωθεν ἐπιτεθειμένῳ αὐτῶν λίπει· καὶ τὴν μακρὰν ὀσφὺν, γαστέρα, κοιλίαν, πυρώσας, καὶ εἰς πῦρ ἐμβαλὼν, ὡδήγησα τοὺς ἀνθρώπους εἰς τέχνην δυσκόλως νοουμένην. Ἤτοι τὴν θυματικὴν μαντείαν· εὐκίνητος γὰρ οὖσα καὶ σπέρματα ἔχουσα ἡ γαστὴρ, θύεται θεοῖς, ἀφ' οὗ καὶ κλόνις ὀνομάζεται διὰ τὸ ἀεικίνητον. Καὶ τὰ φλογωπὰ σήματα, ἤτοι τὰς διὰ πυρὸς μαντείας τυφλὰς οὔσας πρίν, καὶ οὐ φαινομένας, διὰ τὸ μὴ γινώσκεσθαι, βλέψαι ἐποίησα, καὶ εἰς τὸ ἐμφανὲς ἤγαγον καὶ πᾶσιν ὑπέδειξα.

κῶλα] B. τὰ τῶν μηρῶν *) ὀστᾶ. συγκαλυπτὰ] περικεκαλυμμένα. μακρὰν] μεγάλαν.

v. 497. ὀσφὺν] B. τὴν κοιλίαν, τὴν κύστιν. πυρώσας] καύσας. δυστέκμαρτον εἰς τέχνην] δυσκατανόητον. τὴν θυτικὴν μαντείαν.

v. 498. ὥδωσα θνητοὺς] A. εἰς γνῶσιν καὶ ὁδὸν ἤγαγον.

ὥδωσα] B. ὡδοποίησα καὶ ὡδήγησα. φλογωπὰ σήματα] τὰ διὰ τῆς φλογὸς γινόμενα σημεῖα πρὸς τὸ μαντεύεσθαι.

v. 499. ἐπάργεμα] A. τυφλά, ἐκ τοῦ ἀργὸν τὸ λευκόν. Λεύκωμα νόσος γίνεται περὶ τὸν ὀφθαλμόν, ὅπερ ἀβλεψίαν ποιεῖ. Διὰ τοῦτο γοῦν τὰ σκοτεινὰ φησὶν ἐπάργεμα, κατὰ ἀντίφρασιν· ἀργὸν γὰρ λέγεται τὸ λευκόν. Ἄλλως. Ἐπάργεμα κυρίως τὰ λευκωματισθέντα, παρὰ τὸ ἀργόν.

ἐξωμμάτωσα] B. ἐφανέρωσα. ἐπάργεμα] σκοτεινά, τυφλά; ἐκ μεταφορᾶς τοῦ τοῖς ὀφθαλμοῖς γινομένου ἐπιχύματος.

---

*) Recte sic *Abresch.* pro vulg. μερῶν.

v. 500. τοιαῦτα μὲν δὴ ταῦτα] A. ταῦτα μέν, φησίν, ὅσα εἶπον, οὕτως ἔχουσιν. Τίς δὲ εἴποι ἄλλον τινὰ πρὸ ἐμοῦ ἐξευρεῖν τὰ τοῖς ἀνθρώποις ὠφέλιμα κεκρυμμένα ὑποκάτω τῆς γῆς, χρυσόν, ἄργυρον, χαλκόν, σίδηρον, καὶ ἄλλα τινά; οὐδεὶς εἴποι, τοῦτο σαφῶς γινώσκω, ἐὰν μὴ μάτην φλυαρῇ. Ἐν ὀλίγῳ λόγῳ συλλήβδην μάθε ὅτι πάσας τέχνας ἐγὼ ἐφεῦρον.

ταῦτ'] B. ἃ ἔφην ἔνερθε] ὑποκάτω.

v. 501. ὠφελήματα] B. ἐγνώρισα, ἀπὸ κοινοῦ.

v. 503. πάροιθεν] B. πρόσθεν.

v. 504. μάτην φλῦσαι] B. ψευδῶς φλυαρῆσαι.

v. 505. βραχεῖ μύθῳ] B. συντόμῳ, συλληπτικῶς καὶ ἡνωμένως.

v. 506. βροτοῖσιν] B. τοῖς ἀνθρώποις.

v. 507. μὴ νῦν βροτοὺς μὲν ὠφέλει] A. μὴ νῦν, φησί, τοὺς ἀνθρώπους ὠφέλει πέρα τοῦ προσήκοντος, καὶ τοῦ δέοντος, σαυτοῦ δὲ ἀφρόντιστει κακῶς πάσχοντος. Ὡς λίαν ἐγὼ ἐλπίζω τοῖς λόγοις οἷς λέγεις (τοῦτο γὰρ δηλοῖ τὸ εὔελπίς εἰμι τῶνδε, ἤγουν τούτων ὧν λέγεις) ὡς καὶ λυθήσῃ τῶν δεσμῶν, καὶ πλέον τοῦ Διὸς ἰσχύσεις.

μὴ νῦν βροτοὺς] B. μὴ τὴν σὴν πρὸς ἀνθρώπους φιλανθρωπίαν περιεξιὼν διάτριβε, ἡ γὰρ τοιαύτη διατριβὴ ἔξω τοῦ πρέποντός ἐστιν, ἀλλὰ δεῖ καὶ σαυτοῦ πεποιῆσθαι φροντίδα. καιροῦ πέρα] ἔξω τοῦ πρέποντος.

v. 508. ἀκήδει] B. ἀμέλει. ὡς] ὅτι.

v. 509. εὔελπίς εἰμι] B. λίαν ἐλπίζω. τῶν] ἀπὸ τούτων.

v. 510. μεῖον] B. ἔλαττον.

v. 511. οὐ ταῦτα ταύτῃ] A. οὐ ταῦτα οὕτως πέπρωται, ἵνα ἡ τελεσφόρος μοῖρα ταχέως τὰ κατ' ἐμὲ κράνῃ καὶ πληρώσῃ. Ὅ ἐστι, οὔπω μοι λυθῆναι μεμοίραται· ἐν γὰρ τῷ ἑξῆς δράματι λύεται. Ὅπερ ἐμφαίνει Αἰσχύλος.

ταῦτα] B. τὸ εὐθῦναί με οὕτως ἤγουν νῦν. τελεσφόρος] ἡ εἰς τέλος φέρουσα πάντα.

v. 512. κρᾶναι] B. τελέσαι. πέπρωται] μεμοίραται.

v. 513. δύαις καμφθεὶς] B. κακοπαθείαις κατεργασθείς, ταλαιπωρήσας. φυγγάνω] φεύξομαι.

v. 514. τέχνη δ' ἀνάγκης ἀσθενεστέρα] B. καὶ ἡ ἐμὴ τέχνη πρὸς τὴν τῶν μοιρῶν ἀνάγκην οὐδέν τι πράξαι δύναται.

v. 515. τίς οὖν ἀνάγκης] A. τίς τῆς ἀνάγκης κρατεῖ καὶ δεσπόζει.

οἰακοστρόφος] B. κύριος καὶ διοικητής.

v. 516. μοῖραι] B. Κλωθώ, Λάχεσις καὶ Ἄτροπος. μνήμονες Ἐριννύες] αἱ μνημονεύουσαι τῶν παρ' ἀνθρώποις κακῶν, καὶ ἀντιδιδοῦσαι, Ἀλεκτώ, Μέγαιρα καὶ Τισιφόνη.

v. 517. τούτων ἄρ' ὁ] A. εἰ θέλει σε πρὸ μοίρας λῦσαι, οὐ δύναται ὁ Ζεὺς τοῦτο ποιῆσαι.

v. 518. οὔκουν ἂν] A. προαναφωνεῖ τὸν ἔρωτα τῆς Θέτιδος.

τὴν πεπρωμένην] B. αὐτῷ μοῖραν.

v. 519. τί γὰρ πέπρωται] A. τί οὖν ὑπόκειται τῷ Διΐ; οὐδὲν ἄλλο, ἢ τὸ ἀεὶ ἄρχειν. Φησὶν οὖν ὁ Προμηθεύς, ὡς εἴτε κρατήσειεν ἀεί, εἴτε μή, οὐδαμῶς μάθῃς ἂν ἐξ ἐμοῦ· μηδὲ παρακάλει με ὑπὲρ τούτου, ἐκφωνεῖν λεληθότα τὸν τῆς Θέτιδος ἔρωτα.

τί γὰρ πέπρωται] B. ποῖον πεπρωμένον. πλὴν] εἰ μή.

v. 520. πύθοιο] B. μάθῃς.

v. 521. ξυναμπέχεις] A. ἐν ἑαυτῷ κρύπτεις.

ἤπου] B. ὄντως. σεμνὸν] μέγα. ξυναμπέχεις] κατέχεις παρὰ σαυτῷ καὶ οὐκ ἐκφαίνεις ἡμῖν.

v. 522. ἄλλου λόγου] A. τῷ ἑξῆς δράματι φυλάττει τοὺς λόγους.

τόνδε] B. τὸν περὶ τῆς τοῦ Διὸς πεπρωμένης.

v. 523. καιρὸς γεγωνεῖν] B. πρέπον λέγειν. συγκαλυπτέος] ἄξιος ὑπάρχει κρύπτεσθαι.

ὅσον δυνατόν ... ὅσον μάλιστα

v. 524. σώζων] B. φυλάττων παρ' ἐμαυτοῦ καὶ μὴ ἐκφαίνων.

v. 525. ἐκφυγγάνω] B. ἐκφεύξομαι, ἵνα γὰρ αὐτὸν εἴπω, ἐκλύσεταί με Ζεὺς τοῦ δεσμοῦ.

v. 526. μηδάμ' ὁ πάντα νέμων] A. ὁ πάντα κρατῶν, φησί, καὶ διοικῶν Ζεὺς μηδέ ποτε ἀντίπαλον κράτος, οἱονεὶ ἐχθρόν, ποιήσειε τῇ ἐμῇ γνώμῃ, ἤγουν μηδέ ποτε ἐναντίος μοι γένηται· μηδὲ βραδύναιμι νισσομένη καὶ πορευομένη πρὸς θεοὺς ἱεραῖς θοίναις, καὶ θυσίαις βουφόνοις, ταῖς μεγάλους ποιούσαις φόνους, καὶ σφαγὰς τῶν ἱερείων. Ἤτοι, μηδέποτε παυσαίμην τοῦ τιμᾷν τοὺς θεούς, καὶ θυσίας τούτοις προςφέρειν, περὶ τὸν τοῦ Ὠκεανοῦ πόρον, μηδὲ διὰ λόγων εἰς αὐτούς ποτε τοὺς θεοὺς ἁμαρτήσαιμι. Ἀλλά μοι τόδε, τοῦτ' ἔστι τὸ τιμᾷν αὐτούς, εἴη διὰ παντός, καὶ μήποτ' ἐκτακείη, τοῦτ' ἔστι, μηδέποτε πληρωθείη *). Ἐκ μεταφορᾶς τοῦ κηροῦ· τὸ γὰρ τήκεσθαι, ἐπὶ τοῦ κηροῦ καὶ τῆς χιόνος κυρίως λέγεται.

μηδάμ'] B. εἰς φόβον ἐλθὼν ὁ χορὸς διὰ τὴν πρὸς τὸν Προμηθέα ὁμιλίαν φησί, μήποτε γένοιτο ὁ Ζεὺς ἐχθρὸς ἔμοιγε, μὴ δὲ παυσαίμην πρὸς τοὺς θεοὺς ἐρχομένη ἐν θυσίαις μεγάλαις ὁσίαις παρὰ τὸν Ὠκεανόν, τουτέστι, μήποτε παυσαίμην τῆς πρὸς θεοὺς τιμῆς. πάντα νέμων] ἐξάγων, ἢ πάντα οἰκῶν **).

v. 528. ἀντίπαλον] B. ἐχθρόν.

v. 529. ἐλιννύσαιμι] B. ἀργήσαιμι καὶ ἀμελήσαιμι. Γ. ἐλιννύσαιμι] ὀκνοῖμι, λήγοιμι, σχολάζοιμι, βραδύνοιμι, ἐγχρονίζοιμι.

ὁσίαις] B. ἐντίμοις, μεγάλαις.

v. 530. θοίναις] B. θυσίαις. ποτινισσομένα] προςερχομένη.

---

*) Sensus videtur requirere μηδέποτε μὴ πληρωθείη. *Stanl.* *Pauw.* conj. πηρωθείη; *Heath.* autem παραλυθείη. Sed recte videtur vulg. se habere. Vestigia enim in cera impressa, delentur, cum implentur. *Abresch.*

**) f. διοίκων *Abresch.*

v. 531. βουφόνοις] B. ἢ μεγάλαις, ἢ ταῖς ἐπὶ βοῶν γινομέναις. πατρὸς] ἡμῶν.

v. 532. ἄσβεστον] B. ἀκατάπαυστον.

v. 533. μηδ' ἀλίτοιμι λόγοις] B. μὴ δὲ προσκρούσαιμι πρὸς αὐτοὺς ἐν τοῖς πρὸς τὸν Προμηθέα λόγοις.

v. 534. τόδε] B. τὸ τιμῶ τοὺς θεούς.

v. 536. ἡδύ τι θαρσαλέαις] A. εὐφραντὸν τὸ ἐλπίσι θαῤῥαλέαις τὸν μακρὸν τείνειν βίον, ἐν εὐφροσύναις φανεραῖς τρέφουσαν τὴν ψυχὴν ἐμήν. Ἄλλως. Καλὸν τὰ ἀπὸ ἀγαθοῦ συνειδότος ἀγαθὸν ἐλπίζειν πείσεσθαι ὑπὸ τῶν θεῶν.

ἡδὺ] B. εὔφραντον. θαρσαλέαις] ποιούσαις θάῤῥος.

v. 537. τὸν μακρὸν] B. τὸν πολύν. τείνειν βίον] διαβιβάζειν.

v. 538. φαναῖς] B. σαφεστάταις.

v. 539. θυμὸν ἀλδαίνουσαν] B. τὴν ψυχὴν αὔξουσαν.

ἐν εὐφροσύναις] B. ἃς ἔχω εἰς τοὺς θεοὺς τιμαῖς.

ὁ δὲ ἂν τ' γάρ· v. 540. φρίσσω δέ σε] A. δειλιῶ καὶ τρέμω, βλέπουσά σε διακοπτόμενον μυρίοις πόνοις. Τὸν Δία γὰρ οὐ φοβούμενος, ἐν ἰδίᾳ γνώμῃ καὶ αὐθαιρέτως ἄγαν ὑπερβολικῶς σέβῃ καὶ τιμᾷς τοὺς ἀνθρώπους, ἄγαν φιλάνθρωπος εἶ.

φρίσσω] B. τρέμω.

v. 541. διακναιόμενον] B. κατεργαζόμενον.

v. 543. ἰδίᾳ γνώμῃ] B. ἰδίῳ θελήματι. σέβῃ] τιμᾷς.

v. 545. φέρ', ὅπως ἄχαρις] A. (ἐγένετο) φέρε, (δὴ καὶ) σκόπησον, ὅτι ἡ χάρις ἣν ἐχαρίσω τοῖς ἀνθρώποις, ἄχαρις ἦν, καὶ ἀμείψασθαί σε μὴ δυναμένη. Πῶς γὰρ θεῷ βοηθήσει ἄνθρωπος;

φέρ'] B. ἴδε, σκόπησον. ἄχαρις χάρις] τῶν βροτῶν, ἐστί.

v. 546. ὦ φίλος] B. φέρε, ὦ φίλος, ἐπειδὴ ἣν εἰς τοὺς βροτοὺς πεποίηκας χάριν, ἄχαρις καὶ οὐκ ἀποδεκτὴ ἔδοξε τῷ Διΐ, εἰπὲ τί δύνανται νῦν οἱ ἄνθρωποι βοηθῆσαί σοι

κακῶς δι' ἐκείνους πάσχοντι. Ἢ οὕτως, ἐπειδὴ ἡ εἰς τοὺς βροτοὺς χάρις ἄχαρις ἔδοξε, καὶ οὐδ' ἡντιναοῦν ἀπ' αὐτῶν ἂν ἔχοις ὠφέλειαν διὰ τούτους παθών, λέξον τίς ἄλλη ἀλκὴ καὶ τῶν παρόντων ἀπαλλαγή ἐστί σοι. ἀλκὰ τίς ἐφαμερίων] βοήθεια *), δύναμις ἀνθρώπων.

v. 547. οὐδ' ἐδέρχθης] A. οὐδὲ προσεσκόπησας ἀσθενέσι χαριζόμενος.

ἄρηξις] B. βοήθεια. ἐδέρχθης] ἐθεάσω.

v. 548. ὀλιγοδρανίην] B. ἀσθενῆ δύναμιν. Γ. ὀλίγην δύναμιν, ἀπὸ δραίνω ἢ δράω. ἀκίκυν] φαύλην ἰσχύν.

v. 549. ἰσόνειρον] A. ὅτι σκιαῖς ὀνείρων οἱ ἄνθρωποι παρεμφερεῖς, κατὰ τὸν Πίνδαρον **). ἀλαὸν γένος] ἀπροόρατον τοῦ μέλλοντος.

ἰσόνειρον] B. ἰσχὺν ἀνυπόστατον. ᾇ] ἤ τινι. φωτῶν] ἀνθρώπων. ἀλαὸν] τυφλὸν καὶ μάταιον.

v. 550. ἐμπεποδισμένον] B. κεκρατημένον ἐστί.

v. 551. οὔποτε τὰν Διὸς] A. ὑψηλῶς καὶ τραγικῶς τὸ τῆς εἱμαρμένης ὄνομα, Διὸς ἁρμονίαν εἶπεν, ἀλλ' οὐ τὴν εἱμαρμένην. Φησὶ δὲ ὅτι οὔποτε αἱ τῶν ἀνθρώπων βουλαὶ διαφεύγουσι τὴν μοῖραν, ἀλλ' ὃ αἱ μοῖραι βούλονται, τοῦτο καὶ ποιοῦσιν. Ἔμαθον ταῦτα οὕτως, καὶ τὰς σὰς ὀλεθρίας ἰδοῦσα τύχας, ὦ Προμηθεῦ.

οὔποτε] B. ὃν ὁ Ζεὺς κολάζει οὐδεὶς ἀνθρώπων ἐξελεῖν δύναται. ἁρμονίαν] τὸν ὅρον, τὸ θέλημα.

v. 552. παρεξίασι] B. ὑπερβαίνουσιν.

v. 553. τάδε] B. ἃ φημί.

v. 554. ὀλοὰς] B. ὀλεθρίας.

v. 555. τὸ διαμφίδιον δέ μοι μέλος] A. τοῦτό φησιν, ὅτι ἐπεγένετο καὶ ἐπῆλθέ μοι τὸ δισσὸν μέλος, τοῦτο ὃ νῦν θρηνῶ ἐπὶ τῷ σῷ πάθει, καὶ ἐκεῖνο ὅπερ ᾖδον περὶ τὸν καιρὸν τοῦ σοῦ γάμου, ὅτε τὴν Ἡσιόνην πρὸς γάμον ἤγαγες· οὐ γὰρ μόνη καθαρά μοι ἡ ἡδονὴ ἐκείνη καθέστηκεν,

*) βοήθεια h. l. delendum videtur *Pauwio*.

**) Pyth. VIII. 136.

ἀλλ᾽ ἔχει ἐν ταυτῷ καὶ τὸ λυπηρόν. Τοῦτ᾽ ἔστιν, ὁμοῦ προςεγένετό μοι καὶ ἡ ἡδονὴ καὶ ἡ θλίψις διά σε. Ἄλλως. Τὸ δισσὸν μέλος ἐπῆλθε, τόδε καὶ τοῦτο ὅπερ νῦν τραγῳδῶ ἐπὶ τῷ σῷ πάθει, ἐκεῖνό τε ὅπερ ἐτραγῴδουν περὶ τὰ λουτρὰ καὶ τὴν κοίτην ἐν ἰότητι γάμων, τουτέστιν ἐν συνόδῳ καὶ συνελύσει *) παρὰ τὸ ἰέναι πρὸς συνουσίαν, ὅτε ἤγαγες δάμαρτα καὶ γυναῖκα ὁμόλεκτρον τὴν ὁμοπάτριον ἡμῖν Ἡσιόνην ἕδνοις καταπείσας. Ἕδνα δὲ εἰσι τὰ ἐπὶ προικὶ διδόμενα πράγματα. Ἄλλως **). Τὸ διαμφίδιον, διὰ παντὸς κεχωρισμένον, ἐναντίον τοῖς νῦν· τότε γὰρ γαμοῦντί σοι τὸν ὑμέναιον ᾔδομεν, νῦν δὲ δυστυχοῦντί σοι θρῆνον.

τὸ διαμφίδιον δέ μοι] B. τὸ διπλοῦν μέλος ἐπῆλθέ μοι, τόδε καὶ ἐκεῖνο, ὅτε περὶ τὰ σὰ λουτρὰ ὑμεναίουν, καὶ ὅτε περὶ τὸ σὸν λέχος, ὅτε τὴν Ἡσιόνην καταπείσας ἐν δώροις ἤγαγες γυναῖκα ὁμόλεκτρον, ἥτις ἦν μία τῶν Ὠκεανίδων ὥςπερ καὶ ἡμεῖς. Τοῦτο γὰρ λέγει τὸ ὁμοπάτριον. Τὸ τόδε καὶ τὸ ἐκεῖνο ἀσύνδετον. προςέπτα] ἐπῆλθε κατὰ νοῦν.

v. 556. ὅτε] B. ὁπότε.

v. 557. καὶ λέχος] καὶ περί.

v. 558. ἰότητι γάμων] A. πορείᾳ, ἤγουν ἐν συνόδῳ γάμων, παρὰ τὸ ἰέναι πρὸς συνουσίαν.

ὑμεναίουν] B. κατὰ τὸν σὸν γάμον ᾖδον. ἰότητι γάμων] συνελεύσει.

ὁμοπάτριον] B. τὴν ταυτοῦ πατρὸς ἡμῖν.

v. 559. ἕδνοις] B. ἕδνα ἀπὸ τοῦ ἑδνεῖν τὴν εὐνήν, ἢ τὸ ἴδιον ἐκνέον τὸν αἰγιαλόν ***).

v. 560. πιθὼν δάμαρτα] A. ἕδνοις πιθὼν τὴν ἐσομένην σοι δάμαρτα κοινόλεκτρον. Ἢ τὴν κοινόλεκτρον τοῦ Ὠκεανοῦ Τηθὺν πείσας.

πιθὼν] B. καταπείσας αὐτήν. κοινόλεκτρον] ὁμόκοιτον.

---

*) leg. συνελεύσει Pauw.

**) διαμφίδιον μέλος, ἀλλοῖον, διὰ παντὸς κεχωρισμένον, ἄμφις γὰρ χώρις. Αἰσχύλος Προμηθεῖ δεσμώτῃ Hesych.

***) fortasse leg. ἀπὸ τοῦ ἑδνεύειν (vel etiam ἕνδειν), τὴν εὔνην, ἢ τὸ δέον ἐκ νέων, τὰ γαμήλιον. Pauw.

v. 561. τίς γῆ, τί γένος] A. τὸ τῆς Ἰοῦς ἐπεισόδιον μονῳδεῖ μέν, ἔχει δὲ πρὸς ὑποκείμενον συνάφειαν, ὅτι μαντεύεται αὐτῇ Προμηθεὺς τὰ μέλλοντα γενέσθαι. Ὥσπερ ὡς ἀπ' αὐτῆς ἔσται τρισκαιδέκατος κατὰ γενεάν, ὃς αὐτῷ ὕστερον τῷ χρόνῳ ποτὲ ἐπαμυνεῖ. Ἄλλως τε αὐτὴ ὑπὸ Διὸς φησὶν ἠδικῆσθαι καὶ διὰ τοῦτο παραμυθεῖται τὸν Προμηθέα. Λέγει δὲ περὶ τοῦ Ἡρακλέους. Οὗτος γὰρ ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν. Φασὶ δὲ ὅτι ἡ τοῦ Ἰνάχου θυγάτηρ ἐρασθεῖσα παρὰ Διός, ἐπεὶ τοῦτο ἔγνω ἡ Ἥρα καὶ ἔμελλε καταλαμβάνεσθαι παρ' αὐτῆς, μετεβλήθη παρὰ τοῦ Διὸς εἰς βοῦν, ἵνα μὴ γνωσθῇ τίς εἴη. Ἡ Ἥρα δὲ προσελθοῦσα τῷ Διΐ, ἐζήτησε ταύτην, καὶ ἔλαβε δῶρον παρ' αὐτοῦ, καὶ ἔδωκεν Ἄργῳ τῷ πανόπτῃ φυλάττειν αὐτήν. Ὁ δὲ Ζεὺς πάλιν ἐρασθεὶς αὐτῆς ἔπεμψε τὸν Ἑρμῆν, ἀφελέσθαι ταύτην τοῦ Ἄργου καὶ διακομίσαι αὐτῷ· καὶ ἐπεὶ ἄλλως λαθεῖν Ἄργον τὸν πανόπτην οὐκ ἦν, διὰ βολῆς λιθείας τοῦτον ἀνῄρηκεν. Οὗ τὸ φάσμα ἡ Ἥρα τῇ Ἰοῖ, καὶ μετὰ τὸν αὐτοῦ θάνατον, παρεδείκνυεν ἐπὶ τῷ μάλιστα ἐκφοβεῖν αὐτήν. Ἡ δὲ πολλὰ πλανηθεῖσα καὶ εἰς διαφόρους τόπους, τὸ τελευταῖον ἀπῆρε καὶ πρὸς τὸν Καύκασον, ὀψομένη τὸν Προμηθέα.

τίς γῆ] B. ἐστὶν ἢ βαίνω. τί γένος] τὸ ἐνταῦθα οἰκοῦν. φῶ] εἴπω. λεύσσειν] βλέπειν.

v. 562. πετρίνοισι] A. τοῖς ὀρείοις.

ἐν πετρίνοισι] B. τοῖς ὀρείοις ἢ στεῤῥοῖς, διὰ τὸ *) τῇ τοῦ Καυκάσου πέτρᾳ προσηλῶσθαι, τοῦτό φησι.

v. 563. χειμαζόμενον] B. πάσχοντα. ἀμπλακίης] τίνος ἀμπλακίας ἤγουν πταίσματος κολάσεως ὀλέκῃ καὶ φθείρῃ; ἤγουν τί πταίσας καὶ κολασθεὶς ἐνταῦθα προσήλωσαι; καὶ εἰ μὲν περισπᾶται τὸ ποινᾶς, οὕτως. Εἰ δὲ βαρύνεται, οὕτως, τίνος πταίσματος ὀλέκῃ καὶ μετὰ φθορᾶς δίδως ποινάς.

v. 564. ὀλέκῃ] B. πάσχεις. σήμηνον ὅπῃ] εἰπὲ ποῦ.

*) Sic *Abreschius* correxit pro vulg. ἢ ἐν τῇ.

v. 565. ἡ μογερὰ] B. ἡ ἀθλία.

v. 566. ἃ ἅ, ἔα ἔα] B. φεῦ φεῦ φεῦ φεῦ.

v. 567. χρίει τὶς] A. κεντρίζει, κεντᾷ με τὶς τὴν ἀθλίαν οἶστρος. Τοῦτο δὲ εἶπε παραδηλῶν καὶ δεικνύων τὸ χρίει τὶς αὖ με. Αὐτὴ δὲ ἐμμανὴς οὖσα ὑπὸ τοῦ οἴστρου, φαντάζεται.

χρίει τίς με τάλαιναν οἶστρος] B. κεντεῖ, διεγείρει, ἤγουν οἰστροῦμαι καὶ ἀναβακχεύομαι, φαντάζομαι τὴν τοῦ Ἄργους εἰκόνα. Ἐπειδὴ ὑπὸ Διὸς ἐρασθεῖσα Ἰὼ εἰς βοῦν ὑπ' αὐτοῦ μετεβλήθη ἵνα λαθῇ τὴν Ἥραν, γνοῦσα αὕτη ταύτῃ ἐπέστησε κύνα Ἄργον καλούμενον, ὃν Ἑρμῆς ἀνελὼν Διὸς προστάγματι Ἀργειφόντης κέκληται. Ἥρα δὲ ἐποίησε τὴν Ἰῶ καὶ ἀποθανόντα αὐτὸν δοκεῖν ὁρᾷν, ἀντ' αὐτοῦ δὲ τὸν ταὼ ἀνθρώποις ἔδειξε, τῶν αὐτοῦ πεποικιλμένων πτερῶν ὥσπέρ τισιν ὀφθαλμοῖς.

v. 568. εἴδωλον Ἄργου], A. τινὲς οὕτως φασίν, ἄλευ' ἀντὶ τοῦ ἀναχώρει, καὶ ἔκκλινε. Τοῦτο γὰρ δηλοῖ τὸ ἄλευε. Τὸ δὲ ἃ δᾶ, ἀντὶ τοῦ ὦ γῆ, Δωρικῶς· οἱ γὰρ Δωριεῖς τὴν γῆν δᾶν φασί, καὶ τὸν γνόφον, δνόφον. Ἄλλοι δὲ γράφουσιν ἀλευάδα, πατρωνυμικὸν ἀπὸ τῆς ἀλεύας εὐθείας. Ἤτοι φοβοῦμαι τὸ εἴδωλον Ἄργου τοῦ Ἀλευάδα καὶ τοῦ υἱοῦ τοῦ Ἀλεύα· ὁ γὰρ Ἀλεύας, πατὴρ ἦν τοῦ πανόπτου. Ἢ, ὃν δεῖ φυλάξασθαι καὶ ἐκκλῖναι. Φαντάζεται γὰρ αὐτὸν καὶ μετὰ θάνατον φοβουμένη.

ἄλευ' ὦ δᾶ] B. φεῦ ὦ γῆ, ἢ τοῦ ἀλευάδα τοῦ υἱοῦ Ἀλεύα.

v. 569. τὸν μυριωπὸν] A. πολυόφθαλμον. Πολλοὺς γὰρ ὀφθαλμοὺς εἶχεν ὁ Ἄργος, ὡς μυθεύεται· ὅθεν καὶ πανόπτης ἐλέγετο. Βούταν δὲ αὐτὸν καλεῖ ἤτοι βουκόλον, διὰ τὸ αὐτῆς τῆς Ἰοῦς ἐπιστατεῖν μεταβληθείσης εἰς βοῦν.

τὸν μυριωπὸν] B. τὸν διὰ παντὸς τοῦ σώματος ὀφθαλμοὺς ἔχοντα. βούταν] βόσκον.

v. 570. ὁ δὲ πορεύεται] B. πρὸ ὀφθαλμῶν. δόλερον] κακόν, εἰς οἶστρον γάρ με φανεὶς ἐπαίρει.

v. 571. ὃν οὐδὲ κατθανόντα] A. οἷα ἐκεῖνα τὸν Ἄργον οὐδὲ θανόντα ᾅδης κατέχει, ἀλλ' ἐκ τῶν νεκρῶν ἀνερχόμενος, ἐμὲ τὴν ἀθλίαν ὀπίσω καταδιώκει, καὶ ποιεῖ πλανᾶσθαι νῆστιν.

οὐδὲ κατθανόντα γαῖα κεύθει] B. κρύπτει, ἀλλ' ὡς ζῶν μοι φαντάζεται.

v. 572. ἐξ ἐνέρων περῶν] B. ἐκ τῶν νεκρῶν ἐρχόμενος.

v. 573. κυνηγετεῖ, πλανᾷ τε νῆστιν] B. ἀνιχνεύει καὶ πανταχῆ φοιτώσῃ παρίσταται καὶ πλανᾶσθαι ποιεῖ νῆστιν καὶ ἐστερημένην σιτίων ἢ στάσεως.

v. 574. ὑπὸ δὲ κηρόπλαστος] A. ἀλλ' οὐκ ἐμοὶ διὰ τὸ νηστεύειν. Ἄλλως. Ὅτι μετὰ κηροῦ ἦν πεπλασμένος ὁ δόναξ. ὀττοβεῖ] ἠχεῖ. δόναξ] ἡ σύριγξ. Σοφοκλῆς ἐν Ἰνάχῳ καὶ ᾄδοντα αὐτὸν εἰσάγει. Εἰπὼν δὲ αὐτὸν βούταν, ἐνέμεινε τῇ τροπῇ. Αὐλοῦσι γὰρ ἑπόμενοι τοῖς ποιμνίοις οἱ βουκόλοι.

ὑπὸ δὲ κηρόπλαστος ὀττοβεῖ δόναξ] B. ὁ ἐν ταῖς ὀπαῖς παρακείμενον ἔχων κηρὸν ὑπηχεῖ αὐλός.

v. 575. ὑπνοδόταν νόμον] A. ἔπειτα, φησί, καὶ ἡ σύριγξ ἠχεῖ. Τοῦτο γὰρ δηλοῖ τὸ δόναξ. Τὸ δὲ ἀχέτας, ἀντὶ τοῦ πολυήχητος. Ὅς πρὸς ἑσπέραν ἐστὶν αὐλικὸς τοῖς ποιμέσι διὰ τὴν τῶν ποιμνίων εἰςαγωγήν. Ἄλλως. ᾠδήν, ὅθεν καὶ τὸ νόμιον μέλος. Τοιαύτην ᾠδὴν ᾄδουσιν οἱ ποιμένες ὅταν τὰ θρέμματα ἐπὶ τὴν μάνδραν κατάγουσι κοιμηθησόμενα. Οὐ μὲν δὲ οἷον ὁπόταν εἰς νομὴν αὐτὰ ἐξάγουσι.

ἀχέτας] B. καὶ ἐμμελής. ὑπνοδόταν νόμον] κατὰ τὴν *) διὰ τοῦτο λέγει τοῦτο, ἐπειδὴ νὺξ ἦν ὅτε ἐκεῖσε

*) *Pauw* reponit κατ' ἄτην hoc ſenſu: *in noxam, ſ. ut mihi noceat.* Probabilius autem *Abreſchius* quaedam verba excidiſſe cenſet, forte ſic ex altero Schol. ſupplenda κατὰ τὴν τῶν ποιμνίων εἰςαγωγήν. Poſſit etiam auctore *Heathio* legi κατὰ τόν, ut iſtae voces ad νόμον ὑπνοδόταν ſubaudiendae a Scholiaſte denotentur.

κατέλαβεν, ἐν δὲ τούτῳ τῷ καιρῷ οἱ ποιμένες αὐλοῦσι παυσάμενοι τῆς νομῆς· ἢ ὅτι πᾶν μέλος ἐπαγωγόν ἐστι πρὸς ὕπνον, σαῖνον καὶ κατακλῶν τοὺς ἀκούοντας. Ἔστι δὲ τὸν νόμον πρὸς τὸ ὑποττοβεῖ. ἰὼ ἰώ, ποῖ ποῖ, ποποῖ ποποῖ] φεῦ φεῦ φεῦ φεῦ φεῦ.

v. 576. τηλέπλαγκτοι πλάνοι] B. μακρὰν πλανῶντες. Εὕρηται δὲ οὐ μόνον πλάνη, ἀλλὰ καὶ πλάνος· Ὥςπερ καὶ εὐθύνη καὶ εὔθυνος. Καὶ μαρτυρεῖ Ἰσοκράτης λέγων τοὺς φυγαδικοὺς πλάνους.

v. 577. Κρόνιε] B. Ζεῦ.

v. 579. εὑρὼν ἁμαρτοῦσαν] A. παρὰ τὸ· ὥς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ *). Οὐ δι' ἀκοῆς τι μαθὼν φαῦλον περὶ ἐμοῦ.

ἐνέζευξας] B. ἐνέβαλες.

ἁμαρτοῦσαν] B. πταίσασαν.

v. 580. οἰστρηλάτῳ δείματι] B. δι' οἴστρου ἐλαύνοντι καὶ ἀναβακχεύοντι φοβήματι, ὃ πάσχω Ἄργον φανταζομένη.

v. 581. παράκοπον] A. παρακεκομμένην μέρος τοῦ νοῦ.

παράκοπον] B. μανικὴν καὶ παρακεκομμένην τὸν νοῦν.

v. 583. ποντίοις δάκεσι] B. θαλασσίοις θηρίοις. βορὰν] τροφήν.

v. 584. εὐγμάτων] B. εὐχῶν.

ἱκανῶς παρήλασαν: v. 585. ἄδδην] B. δαψιλῶς καὶ ἀρκούντως. πολύπλαγκτοι] πολλαχῇ γῆς φέρουσαι.

v. 586. ὅπῃ πημονὰς ἀλύξω] B. τὰς παρεστώσας ἐμοὶ κακοδαιμονίας ἐκφεύξομαι.

v. 588. κλύεις πρόςφθεγμα] B. ἀκούεις τοὺς λόγους. βούκερω] τῆς εἰς βοῦν μεταβληθείσης.

v. 589. οὐ κλύω] B. οὐκ ἀκούω. οἰστροδινήτου] τῆς ἐν μανίᾳ στρεφομένης.

v. 592.

*) Hom. Iliad. E. 374.

v. 590. τῆς Ἰναχείης] A. διὰ τοῦ τὸν πατέρα αὐτῆς ὀνομάσαι, ἐνέφηνεν ἑαυτὸν μάντιν. Ὡς καὶ παρ' Ὁμήρῳ ὁ Τειρεσίας, Νόστον δίζηαι μελιηδέα Φαίδιμ' Ἀχιλλεῦ *).

τῆς Ἰναχείης] B. τῆς θυγατέρος τοῦ Ἰνάχου. ἢ Διὸς θάλπει κέαρ] ἥτις τοῦ Διὸς μαραίνει, ἐκκαίει τὴν ψυχὴν τῷ ἔρωτι αὐτῆς.

v. 591. ὑπερμήκεις δρόμους] B. τὴν μακρὰν πλάνην.

v. 592. στυγητὸς] B. μεμισημένη καὶ ζηλοτυπουμένη. βιάζεται] διέρχεται.

v. 593. ἀπύεις] B φωνεῖς.

v. 594. εἰπέ μοι τᾷ μογερᾷ] A. εἰπέ μοι τῇ ἀθλίᾳ. Τίς οὖν σὺ οὕτως ἀληθῶς προςφωνεῖς καὶ ὀνομάζεις ἐμέ, τὴν ἐκ θεᾶς τε τῆς Ἥρας ἐπελθοῦσαν μοι νόσον εἴρηκας; λέγει δὲ τὸν τῆς πλάνης οἶστρον. Ἥτις μαραίνει καὶ καίει με κεντοῦσα βέλεσι φοιταλέοις, τοῖς ποιοῦσιν ἐμὲ ἁπανταχοῦ πορεύεσθαι πλανωμένην.

τᾷ μογερᾷ] B. τῇ ἀθλίᾳ.

v. 595. μ'] B. πρὸς ἐμέ.

v. 596. ἐτήτυμα] B. ἀληθῆ. προςθροεῖς] προςφθέγγη, προςαγορεύεις.

v. 597. θεόσσυτον] B. θεόθεν ἀπὸ τῆς Ἥρας ὁρμωμένην.

v. 598. μαραίνει] B. τήκει καὶ καταβάλλει. χρίουσα] κεντοῦσα.

v. 599. φοιταλέοισι] B. ὁρμητικοῖς.

v. 600. σκιρτημάτων δὲ νήστισιν αἰκίαις] A. ἐν μάστιξι δὲ σκιρτημάτων, τῶν ἀπὸ τοῦ οἴστρου κινήσεων καὶ πλανῶν, νήστισιν ἤγουν ποιούσαις ἐμὲ ἀσιτεῖν, παρεγενόμην λαβρόσσυτος καὶ ταχεῖα καὶ ἄγαν ὁρμητική, δαμασθεῖσα μήδεσι καὶ βουλεύμασι τῆς Ἥρας ἐπικότοις καὶ ὀργίλοις, καὶ μανικοῖς. Γέγραπται δὲ καὶ νήστισιν διὰ τοῦ η, ἤγουν ποιούσαις ἐμὲ πλανᾶσθαι τῇδε κἀκεῖσε, ἀπὸ τοῦ νη στερητικοῦ μορίου, καὶ τοῦ στάσις.

---

*) Debebat fcribere Φαίδιμ' Ὀδυσσεῦ. Verfus eft ex Odyff. Λ. 99. Pauw.

νήστισιν αἰκίαις] B. ἐστερημέναις τροφῆς καὶ στάσεως. Γ. πληγαῖς, μάστιξι.

v. 601. λαβρόσσυτος] B. λίαν ὁρμωμένη.

v. 602. ἐπικότοισι μήδεσι] B. ὀργίλαις βουλαῖς Ἥρας.

v. 603. δυςδαιμόνων] A. τίνες ὅλως τῶν δυςδαιμόνων τοιαῦτα μογοῦσιν οἷα ἐγώ;

δυςδαιμόνων δέ τινες] B. εἰσί, ἤτοι δυςδαίμονες. ἒ ἒ] φεῦ φεῦ. μογοῦσιν] πάσχουσιν.

v. 604. τορῶς τέκμηρον] B. ἀληθῶς, σαφῶς διασάφησον.

v. 605. ἐπαμμένει] B. ἀπόκειται.

v. 607. χρὴ] B. ἀπόκειται. φάρμακον νόσου] θεραπεία καὶ ἀπαλλαγὴ τῆς μορφῆς ἀλλοιώσεως, καὶ μανίας.

v. 608. φράζε τᾷ δυςπλάνῳ] B. λέγε ἐμοὶ τῇ κακῶς καὶ μανικῶς πεπλανημένῃ.

v. 609. λέξω τορῶς σοι] A. φανερῶς καὶ διαδήλως ἐρῶ σοι, οὐκ ἐμπλέκων λόγους ψευδεῖς τῷ πιθανῷ ὥστε τούτους δοκεῖν ἀληθεύειν· ἀλλ᾽ ἁπλῷ λόγῳ καὶ ἀψευδεῖ ταῦτα φράσαιμι, ὥςπερ πρέπει τοὺς φίλους ἀνοίγειν τὸ στόμα πρὸς φίλους, ἤτοι λαλεῖν.

τορῶς] B. σαφῶς.

v. 610. οὐκ ἐμπλέκων αἰνίγματα] A. αἱ γὰρ παλαιοὶ τὰ ποιήματα αὐτῶν πρῶτον μὲν αἰνίγμασι γεγράφασιν, ὕστερον δὲ καθόλου φανερῶς ἐχρῶντο τῷ λόγῳ.

οὐκ ἐμπλέκων αἰνίγματ᾽] B. οὐκ αἰνιγματωδῶς καὶ ἀσαφῶς φράζω. ἁπλῷ λόγῳ] σαφές.

v. 611. ὥςπερ] B. καθά.

v. 612. πυρὸς βροτοῖς δοτῆρ᾽ ὁρᾷς] B. τοῦτο λέγει δεικνὺς αὐτῇ ὅτι τῷ τῶν ἀνθρώπων εὐεργέτῃ ὁμιλεῖ, καὶ διὰ τοῦτο ἐπειδὴ καὶ αὐτὴ ἄνθρωπός ἐστι, οὐκ ἂν ἀπατηθείη.

v. 613. ὦ κοινὸν ὠφέλημα] A. ὦ κοινὴ ὠφέλεια γεγονὼς ὅλου τοῦ γένους τῶν ἀνθρώπων, ἄθλιε Προμηθεῦ, χάριν τινὸς καὶ ὑπὲρ ποίου ἁμαρτήματος ἀνταποδίδως ταύτην τὴν τιμωρίαν; τίνος ἕνεκα τιμωρῇ.

v. 614. τλῆμον] B. ἄθλιε διὰ τὰ παρόντα. τοῦ δίκην πάσχεις τάδε] τίνος πταίσματος τὴν τιμωρίαν πάσχεις, τουτέστι τί ἁμαρτὼν πάσχεις ταῦτα τὰ δυστυχήματα· κόλασιν τοῦ πταίσματος. Τὸ γὰρ οὕτως ἀθλίως προσηλῶσθαί σε κόλασίς ἐστί τινος ἁμαρτίας· τίς οὖν ἐστὶν αὐτή;

v. 615. ἀρμοῖ πέπαυμαι] A. νεωστί, ἀπὸ μεταφορᾶς τῶν ἁρμάτων τῶν συντιθεμένων καὶ ἁρμοζομένων νέον. Ἢ παρὰ τὸ ἁρμόζειν καὶ τῷ μέλλοντι καὶ τῷ ἐνεστῶτι, ἅμα γὰρ εἶπεν καὶ ἅμα παρῆλθον *).

ἀρμοῖ] B. ἀπείρηκα, ἀπὸ μεταφορᾶς τῶν ἁρμάτων.

v. 616. οὔκουν πόροις ἂν] A. τί οὐ παράσχοις ἐμοί, φησί, ταύτην τὴν δωρεάν, ἤτοι τὸ ἀναδεῖξαί μοι τίς ὁ δεσμῶν σε ἐν τῷ Καυκάσῳ; τὸ δὲ δωρεάν, ἐπὶ συμφορᾶς λαμβάνεται, καὶ ἐπὶ κακοῦ. Ὡς καὶ Ἀρχίλοχος, Κρύπτομεν ἀνιηρὰ Ποσειδῶνος ἄνακτος δῶρα.

πόροις] B. παράσχοις.

v. 617. αἰτῇ] B. ζητεῖς. πᾶν γὰρ] ὃ θέλοις μου] ἐμοῦ.

v. 618. ὤχμασε] A. ἐποίησεν ἀναβασταχθῆναι. Ὀχμὴ **) λέγεται τὸ μέσον ἐχόμενον, ἢ παρὰ τὸ ἔχειν ἔχημα, καὶ ἔχμα κατὰ συγκοπήν.

σήμηνον] B. εἰπέ. ἐν φάραγγι] ἐν τῷ κρημνώδει τόπῳ τούτῳ. ὤχμασεν] προσεπατταλευσεν.

v. 619. βούλευμα μὲν τὸ δῖον] A. πρὸς τὴν τῆς Ἰοῦς ἐρώτησιν ἀποκριθεὶς ὁ Προμηθεὺς εἰπούσης τίς σε ὤχμασε καὶ προσέδησεν ἐν τῷ ὄρει, φησὶν ὅτι τὸ δῖον βούλευμα, ἤτοι ἡ βουλὴ μὲν τοῦ Διός, τὴν δέσιν ἐπεβουλεύσατό μοι, ἡ χεὶρ δὲ τοῦ Ἡφαίστου ὑπουργήσασα αὐτῷ καὶ πρὸς τὴν ἐμὴν δέσιν, προσπελάσαι ***) ἐμοὶ μοῖραν θανατηφόρον καὶ κῆρα.

---

*) leg. παρῆλθεν Pauw.

**) forſan legendum ὄχμα quod Heſych. int. πόρπημα. Pauw.

***) leg. προσπελάσεν vel προσεπέλασεν.

βούλευμα μὲν τὸ δῖον] B. ἡ βουλὴ τοῦ Διός. Ἡφαίστου δὲ χείρ] οὗτος γὰρ αὐτῷ ὑπηρέτησε.

v. 620. ποινὰς] B. δίκας. τίνεις] δίδως, ἤγουν τί ἁμαρτὼν ὧδε κολάζῃ.

v. 621. τοσοῦτον ἀρκῶ] A. διὰ τὸ μὴ ταυτολογῆσαι.

τοσοῦτον] B. ὅσον εἴρηκα.

v. 622. καὶ πρός γε τούτοις] A. καὶ σὺν τούτοις δίδαξόν με ποῖος χρόνος γενήσεται πλήρωμα τῆς ἐμῆς πλάνης, ἀντὶ τοῦ ἐν ποίῳ καιρῷ τοῦ πλανᾶσθαι παυσθήσομαι.

τέρμα], B. τέλος.

v. 623. δεῖξον]. B. φανέρωσον. χρόνος] ὁ δοῦναι μέλλων.

v. 624. τὸ μὴ μαθεῖν] A. εἶτα φησὶν ὁ Προμηθεὺς πρὸς αὐτήν, ὅτι κρεῖσσόν ἐστι μὴ μαθεῖν ταῦτα παρὰ τὸ μαθεῖν. Ἡ δὲ πάλιν πρὸς αὐτόν, μηδέν μοι ἀποκρύψῃς ὅπερ μέλλω παθεῖν. Ἄλλως. Ἐπικούρειόν ἐστι δόγμα, ἀναιροῦν τὴν μαντικήν· εἱμαρμένης γάρ, φησί, πάντα κρατούσης, πρὸ καιροῦ λελύπηκας, εἰπὼν τὴν συμφοράν, τὸ χρηστὸν δέ, τὴν ἡδονὴν ἐξέλυσας. Λέγουσι δὲ καὶ ὅτι ἃ δεῖ γενέσθαι, ταῦτα καὶ γενήσεται.

μὴ μαθεῖν] B. τοῦτο. ἢ] παρό. τάδε] ταῦτα.

v. 625. μὴ] B. ὅρα ἵνα.

v. 626. μεγαίρω τοῦδε τοῦ δωρήματος] B. φθονῶ σοι τοῦ εἰπεῖν σοι τοῦτο.

v. 627. τί δῆτα μέλλεις] B. τί οὖν ἀναβάλλῃ, ἐπεὶ οὐ φθονεῖς, ὡς λέγεις; φθόνος μὲν οὐδεὶς] τοῦτο λέγειν. ὀκνῶ θράξαι] ἀναβάλλομαι ταράξαι.

v. 628. θράξαι] A. ταράξαι.

v. 629. γλυκὺ] A. τὸ ἀκούειν.

προκήδου] B. φρόντιζε. μᾶσσον] μᾶλλον. Μεῖζον ἢ δεῖ. ὡς] ὅτι. ἐμοὶ γλυκὺ] τοῦτο μαθεῖν.

v. 630. προθυμῇ] B. προθυμίαν ἔχεις. χρὴ] πρέπει.

v. 631. μήπωγε] A. ὁ χορὸς λέγει, μήπω εἴπης τὰ τῆς Ἰοῦς, ἀλλὰ δὸς κἀμοὶ μερίδα ἡδονῆς ἔχειν, τῷ ἀκοῦσαι τῶν ταύτης παθῶν. Ἀπ' αὐτῆς δὲ πρῶτον λεγούσης τὰς πολυφθόρους ἑαυτῆς τύχας, μάθωμεν καὶ ἀκούσωμεν τὴν αὐτῆς νόσον· τὰ ἐπίλοιπα δὲ τῶν ἄθλων καὶ τῶν πόνων, ὧν μέλλει ἔτι παθεῖν, διδαχθήτω παρὰ σοῦ. Τοῦτο δέ λέγει, ἅμα καὶ σαφηνίζων τῷ ἀκροατῇ τὰ πράγματα διὰ τῶν τῆς Ἰοῦς, καὶ Προμηθέα παραμυθούμενος, ὅπως ἐν τῷ μεταξὺ τά τε τῆς Ἰοῦς ῥηθείη, εἶτα πάλιν τὰ παρ' αὐτοῦ, καὶ ἡ ἐξαλλαγὴ τῆς τάξεως νεαροποιήσῃ τοὺς ἀκούοντας.

μοῖραν] B. μερίδα. πόρε] πάρεσχε.

v. 632. ἱστορήσωμεν] B. μάθωμεν, ἐρωτήσωμεν.

v. 633. πολυφθόρους τύχας] B. τῆς πολλῆς φθορᾶς καὶ δυστυχίας προξένους.

v. 634. ἄθλων] B. τῶν αὐτῆς πόνων. διδαχθήτω] μαθήτω.

v. 635. ὑπουργῆσαι] B. διακονῆσαι.

v. 636. καὶ κασιγνήταις πατρὸς] A. εἰκότως φησὶ τὸν Ἴναχον ποταμὸν ἀδελφὸν εἶναι τῶν Ὠκεανίδων, ἐπειδή φασι τὸν Ὠκεανὸν πατέρα εἶναι πάσης ὑγρᾶς οὐσίας.

ἄλλως τε πάντος] B. ὅτι δεῖ πείθεσθαι τοῖς κελεύουσι ἃ μὴ βάρος προσφέρει. Τὸ δὲ κασιγνήταις πατρὸς λέγει *), ἐπειδὴ αὗται μὲν Νηρηΐδες ἦσαν, ὁ δὲ πατὴρ αὐτῆς Ἴναχος ποταμὸς Ἄργους. ἄλλως] κατὰ ἄλλον τρόπον. κασιγνήταις πατρὸς] ἀδελφαῖς οὔσαις τοῦ σοῦ πατρός.

v. 637. ὡς ἀποκλαῦσαι] A. τοῦτο τοιοῦτό ἐστιν, ὅτι πᾶς ὃς μέλλει οἴσεσθαι δάκρυ, καὶ οἰκτειρηθῆναι παρὰ τῶν ἀκουόντων, ἀξίαν τριβὴν καὶ ἐπιμονὴν τῆς διηγήσεως ἔχει ἐκεῖ. Ἡ σύνταξις, ἐνταῦθα ὅπου μέλλει τὶς οἰκτειρηθῆναι παρὰ τῶν ἀκουόντων, ἤγουν, ὅπου εἰσὶν ἀκροαταὶ συμπαθεῖς καὶ οἰκτίρμονες, ἀξίαν καὶ πρέπουσαν σχολὴν ἔχει ἀποκλαῦσαι καὶ θρηνῆσαι τὰς οἰκείας τύχας.

---

*) ex *Abreschii* emendatione pro vulg. λέγειν.

ἀποκλαῦσαι] B. αὐτάς. τύχας] τὰς σὰς δυστυχίας.

v. 638. ἐνταῦθ'] B. εἰς ἐκεῖνο τὸ πρᾶγμα. ὅπῃ] ὅπου.

v. 639. πρὸς τῶν κλυόντων] B. παρὰ τῶν ἀκουόντων. τριβὴν] ἀργίαν. Εἰς ὃ πρᾶγμα τοὺς συναλγήσοντας ἕξει τίς, εἰ διατρίψει διηγούμενος, τοῦτο οὐκ εἰς κενὸν αὐτῷ ἡ διατριβὴ ἔσται.

v. 640. οὐκ οἶδ' ὅπως] A. ἡ Ἰὼ φησὶ πρὸς τὸν χορόν, οὐκ οἶδα πῶς ἀπειθήσω ὑμῖν θέλουσι μαθεῖν τὰ περὶ ἐμοῦ. Ἐν λόγῳ δὲ ἀληθεῖ μαθήσεσθε ἅπαν ὅπερ θέλετε. Καίτοι καὶ εἰς δάκρυα ἐμβάλλομαι, διηγουμένη τὴν ἐκ θεῶν ἐπελθοῦσαν μοι ζάλην, καὶ τὸν κλύδωνα τῶν συμφορῶν, καὶ τὴν ἀλλοίωσιν τῆς ἐμῆς μορφῆς, ὅθεν μοι ἐπῆλθεν. Εἶτα ἀφηγεῖται τὴν πᾶσαν ὑπόθεσιν, τὸν τοῦ Διὸς ἔρωτα πρὸς αὐτήν, τὴν τοῦ πατρὸς Ἰνάχου πρὸς τὴν Πυθῶ ἀποστολήν, τὴν τοῦ Ἀπόλλωνος μαντείαν, καὶ τὴν ἑαυτῆς ἐκδίωξιν ἀπὸ τοῦ οἴκου τοῦ πατρός, καὶ μεταβολὴν εἰς βοῦν, καὶ τὴν τοῦ Ἄργου τοῦ πανόπτου φυλακήν, καὶ λέγει, ἀεὶ ὄψεις νυκτεριναί, ὄνειροι ἀναστρεφόμενοι εἰς τοὺς ἐμοὺς οἴκους, ἔλεγον ἐν λόγοις ὁμαλοῖς πρὸς ἐμέ· Ὦ μεγάλως εὐτυχὴς κόρη, τί παρθένος μένεις ἐπὶ πολύ, δυνατοῦ σοι ὄντος γάμου μεγίστου τυχεῖν; ὁ γὰρ Ζεὺς κατακαίεται βέλει τοῦ σοῦ ἔρωτος, καὶ θέλει συμβοηθῆσαι αὐτῷ καὶ τὴν Ἀφροδίτην. Σὺ δὲ μὴ ἀπορρίψῃς τὴν τοῦ Διὸς συνουσίαν, ἀλλ' ἔξελθε πρὸς τὴν Λέρνην πηγήν, ἵνα ὁ Ζεὺς παυθῇ τοῦ ἔρωτος.

ὅπως] B. πῶς. ἀπιστῆσαι] ἀπιθῆσαι. χρὴ] πρέπει.

v. 641. σαφεῖ δὲ μύθῳ] B. ἀληθεῖ λόγῳ.

v. 642. λέγουσ' ὀδύρομαι] A. ~~γέγραπται~~, αἰσχύνομαι.

πεύσεσθε] B. μαθήσετε.

v. 643. θεόσσυτον χειμῶνα] B. τὴν ἐκ τῆς Ἥρας ὁρμηθεῖσαν δυστυχίαν.

v. 644. ὅθεν] B. ἀφ' ἧς αἰτίας. προσέπτατο] ἐπῆλθε.

ὃ μάλιστα λυπεῖ γυναῖκα τὸ τῆς ἀμορφίας.

v. 645. ὄψεις ἔννυχοι] B. θεωρίαι νυκτεριναί, ὀνείρατα. πολεύμεναι] ἐπερχόμεναι.

v. 646. ἐς παρθενῶνας] B. εἰς τοὺς οἴκους. παρηγόρουν] παρέπειθον, ἠπάτων με.

v. 647. ὦ μέγ' εὔδαιμον] A. λείπει, τάδε λέγουσαι.

λείοισι] B. μαλακοῖς, θελκτικοῖς. μέγ' εὔδαιμον] λίαν εὐτυχής.

v. 648. δαρὸν] B. ἐπιπολύ. ἐξὸν] δυνατοῦ ὄντος.

v. 649. ἱμέρου] B. ἐπιθυμίας τῆς σῆς.

v. 650. συναίρεσθαι Κύπριν] A. συνουσιάσαι.

τέθαλπται] B. ἐξεκαύθη, τέτρωται. Ἐπειδήπερ τὸν ἔρωτα καὶ βέλη καὶ πῦρ φέρειν φασί, διὰ τοῦτο οὐκ εἶπε τέτρωται πρὸς τὸ βέλει, ἀλλὰ τέθαλπται, παριστὼς *) ἐντεῦθεν τὸ πῦρ τοῦ Θεοῦ. συναίρεσθαι Κύπριν] μετά σου λαβεῖν **) εἰς γαμικὴν φιλίαν Ἀφροδίτην· συναίρομαί σοι τοῦδε, καὶ συναίρομαί σοι τόδε.

v. 651. μὴ 'πολακτίσῃς] A. ὡς ἀπὸ τῶν ἀλόγων ζώων.

ἀπολακτίσῃς] B. ἀποῤῥίψῃς, ἀτιμάσῃς.

v. 652. ἀλλ' ἔξελθε πρὸς] A. παρὰ τό, Ἀλλ' ἴομεν πλυνέουσαι ***).

Λέρνη] B. πηγὴ Ἀργοῦς.

v. 653. λειμῶνα] B. ἄλσος. βουστάσεις πατρὸς] ἐν αἷς ἵσταντο οἱ βόες τοῦ πατρός.

v. 654. ὡς] B. ἵνα. λωφήσῃ] καταπαύσῃ.

v. 655. τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασι] A. τοιούτοις ὀνείροις συνειχόμην ἡ ἀθλία κατὰ πάσας νύκτας (ἕς τε καὶ), ἕως οὗ ὑπέμεινα ταῦτα ἀναγγεῖλαι καὶ εἰπεῖν τῷ πα-

---

*) leg. παριστὰς *Pauw.*

**) fortasse scripserat μετασυλλαβεῖν. *Abresch.*

***) Hom. Odyss. Z. 51.

τρί μου. Ὁ δὲ πατήρ μου εἰς τὴν Πυθὼ καὶ εἰς τὴν γῆν τῆς Δωδώνης, εἰς τὰ τοῦ Ἀπόλλωνος μαντεῖα ἔπεμπε πολλοὺς θεοπρόπους ἢ θεωροὺς μηνυτὰς τῶν μαντείων, ἵνα μάθῃ τί ποιήσει ἢ εἴπῃ. Ὑπέστρεψαν δὲ καὶ ἦλθον οἱ ἀποσταλέντες παρ᾽ ἐκείνου, ἀναγγέλλοντες καὶ μηνύοντες μαντείας ποικίλους καὶ αἰνιγματώδεις καὶ ἀσαφεῖς· τοῦτο γὰρ δηλοῖ τὸ ἀσήμους, ἀντὶ τοῦ οὐ φανερούς. Τὸ δέ, δυςκρίτως εἰρημένους, ἀντὶ τοῦ αἰνιγματωδῶς καὶ λοξῶς λεχθέντας. Ὕστερον δὲ ἦλθε τῷ Ἰνάχῳ μαντεία φανερά, λέγουσα καὶ παραινοῦσα ἐκβάλλειν ἐμὲ τῶν τε οἴκων πόῤῥω καὶ τῆς πατρίδος, ἀπόλυτον πλανᾶσθαι ἕως ἐσχάτου τῆς γῆς. Ἐὰν δὲ οὐ θέλῃ, εἰς αὐτὸν τὸν πυρὸς ὄψιν ἔχοντα κεραυνὸν τοῦ Διὸς ἐπελθεῖν, ὃς πᾶν τὸ γένος αὐτοῦ ἀφανίσει. Ἄλλως. Ἀναχρονισμός· οὔπω γὰρ ἦν τὸ μαντεῖον.

εὐφρόνας] B. τὰς νύκτας.

v. 656. ἔς τε] B. μέχρι ὅτου.

v. 657. ἔτλην γεγωνεῖν νυκτίφοιτ᾽ ὀνείρατα] B. ὑπέμεινα ἐγὼ εἰπεῖν τὰ ἐν τῇ νυκτὶ ἐπερχόμενά μοι.

v. 658. Πυθὼ] B. τὸ μαντεῖον τοῦ Ἀπόλλωνος. Δωδώνην] πόλις ἔνθα Διὸς ἱερὸν ἦν ἔχον δρῦν λαλοῦσαν καὶ μαντευομένην.

v. 659. θεοπρόπους] B. θεοπρόπος οὐ μόνον ὁ μάντις, ἀλλὰ καὶ ὁ πεμπόμενος δέχεσθαι παρὰ Θεῶν χρησμούς. ἴαλλεν] ἔπεμπεν.

v. 660. λέγοντα] B. αὐτόν. δαίμοσι] τοῖς θεοῖς. φίλα] προςφιλές.

v. 661. ἀναγγέλλοντες] B. δηλοῦντες. αἰολοστόμους] ποικίλους, δυςνοήτους.

v. 662. ἀσήμως δυςκρίτως] B. σκοτεινῶς, ἀγνώστως. Τὸ ἀσήμως καὶ δυςκρίτως εἰρημένους ἑρμηνεία ἐστὶ πρὸς τὸ αἰολοστόμους.

v. 663. ἐναργὴς βάξις] B. φανερὰ ῥῆσις.

v. 664. ἐπισκήπτουσα] B. παραινοῦσα, προστάττουσα. μυθουμένη] λέγουσα.

v. 665. πάτρας ὠθεῖν με] B. τῆς πατρίδος ἐκβάλλειν ἐμέ.

v. 666. ἄφετον] B. ἐλεύθερον.

v. 667. κ' εἰ μὴ θέλοι] B. ὁ Ἴναχος τοῦτο ποιῆσαι. πυρωπὸν] πυρώδη. μολεῖν] ἐλθεῖν.

v. 668. πᾶν] B. ὅλον. ἐξαϊστώσει] ἀφανίσει.

v. 669. τοιοῖςδε πεισθεὶς] A. τοιαύταις μαντείαις τοῦ Ἀπόλλωνος πεισθεὶς ὁ πατήρ μου Ἰναχὸς ἐξεδίωξέ με ἀπὸ τῶν οἴκων ἄκουσαν ἄκων, μήτε ἐκεῖνος θέλων, μήτε ἐμὲ ἐθέλουσαν. Ἀλλ' ἐβίαζεν αὐτὸν κατὰ ἀνάγκην ταῦτα ποιεῖν ὁ τοῦ Διὸς χαλινός, κατὰ περίφρασιν αὐτὸς ὁ Ζεύς, τὸ βούλημα τοῦ Διός. Τηνικαῦτα δὲ μετάμειψις καὶ ἀλλοίωσις γέγονε τῆς ἐμῆς μορφῆς· μετεβλήθην γὰρ εἰς βοῦν, καὶ αἱ φρένες διεστραμμέναι ἦσαν ἐμοί. Οὐ γὰρ εἶχον πεφρενῶσθαι ἀνθρωπίνως.

τοιοῖςδε πεισθεὶς] B. διὰ τούτων καταπεισθείς. Λοξίου] τοῦ Ἀπόλλωνος.

v. 670. ἐξήλασε] B. ἐδίωξε. κἀπέκλεισε] ἔξω ἔκλεισε τῶν δωμάτων.

v. 671. ἄκουσαν ἄκων] B. μὴ βουλομένην καὶ μὴ βουλόμενος. νιν] αὐτόν.

v. 672. πρὸς βίαν πράσσειν τάδε] B. βιαίως ἐξωθῆσαι ἐμέ.

v. 673. μορφὴ] B. ἡ ἐμή. διάστροφοι ἦσαν] διεστραμμέναι ἐγένοντο.

v. 674. κεράστις] A. ἤτοι κέρατα ἔχουσα, βοῦς κερασφόρος γενομένη, ὡς βλέπετε, τρωθεῖσα μύωπι ὀξυστόμῳ, τῷ οἴστρῳ ὀξέως δάκνοντι· μανικῶς ἥσσον, ἀντὶ τοῦ ᾔσσον, ὡρμῶν καὶ ἐκινούμην, πρός τε τὸν ῥοῦν τῆς Κέγχρης, ἥτις κρήνη ἐστὶν Ἄργους, καὶ πρὸς τὴν Λέρνην τὴν πηγήν.

κεράστις] B. κερασφόρος. ὡς] καθά. ὀξυστόμῳ] ὀξὺ στόμα ἔχοντι. μύωπι] πλέκτωρ *). χρισθεῖσ'] παρακινηθεῖσα.

*) Arnaldus emendabat πληκτρῷ. *Pauwius* conj. legendum esse vel ὀξυστόμῳ] ὀξὺ στόμα ἔχοντι, πληκτῇ, μύωπι. vel ὀξυστόμῳ] ὀξὺ στόμα ἔχοντι, πληκτρῷ, μύωπι.

v. 676. ἦσσον] B. ὥρμησα, ἦλθον. εὔποτον ῥέος] τὸ καλῶς ἡδέως πινόμενον ῥεῦμα.

v. 677. γηγενὴς] B. ὁ ἐκ τῆς γῆς γεννηθείς.

v. 678. ἄκρατος] A. ὁ μηδὲν ἡμερότητος ἐν ἑαυτῷ φέρων, ἀλλ' ἄκρατος ὢν τὴν ὀργήν, ἤτοι ἀκαταπόνητος, μὴ κρατούμενος.

ἄκρατος ὀργὴν] B. ὁ πολὺς καὶ ἀκράτητος κατὰ τὴν ὀργήν.

v. 679. ὄσσοις δεδορκὼς] B. ἠκολούθει πυκνοῖς, συχνοῖς ὀφθαλμοῖς βλέπων. τοὺς ἐμοὺς κατὰ στίβους] τὰς ἐμὰς ὁδοιπορείας.

v. 680. ἀπροσδόκητος] B. ἀνέλπιστος. αἰφνίδιος μόρος] ἐξαίφνης θάνατος.

v. 681. οἰστρόπληξ] A. οἰστρόπληξ, ὁ ὑπὸ οἴστρου πλησσόμενος. Καὶ βουπλήξ, ὁ τὸν βοῦν πλήσσων.

οἰστρόπληξ] B. μαινομένη, τῷ οἴστρῳ πληγεῖσα.

v. 682. θείᾳ] B. ἐκ τοῦ Διός. γῆς] ἀπό. πρὸς γῆν] ἄλλην. ἐλαύνομαι] διώκομαι.

v. 683. κλύεις τὰ πραχθέντα] A. καταλέξασα καὶ προειποῦσα ἃ πέπονθε νῦν φησὶ πρὸς τὸν Προμηθέα, ἤκουσας ἃ πέπονθα. Ἀντὶ τοῦ ταῦτά ἐστιν ἃ εἶπόν σοι τὰ ἐμὰ τληπαθήματα, εἰ δὲ ἄλλο τὶ ἔχεις σὺ εἰπεῖν ἐπίλοιπον τῶν ἐμῶν πόνων, σήμαινε, δείκνυε, λέγε μοι· μηδὲ οἰκτίσας, ξύνθαλπε λόγοις ψευδέσι. Οἱονεί, μή με αἰδούμενος, μηδ' ἐλεῶν, παρηγόρει λόγοις. Παρὰ τό, Μηδέ τι μ' αἰδόμενος μειλίσσεο, μηδ' ἐλεαίρων, Ἀλλ' εὖ μοι κατάλεξον *)

τὰ πραχθέντ'] B. τὰ εἰς ἐμέ, τὰ γενόμενα. εἰ δ' ἔχεις] Προμηθεῦ.

v. 684. πόνων] B. τῶν ἐμῶν κόπων. σήμαινε] δηλοῦ. οἰκτίσας] ἐλεήσας.

v. 685. ξύνθαλπε μυθοῖς] B. βοήθει, παραμυθοῦ.

v. 686. συνθέτους λόγους] A. τοὺς ψευδεῖς.

*) Hom. Odyss. Γ. 97.

συνθέτους] B. τοὺς ψευδεῖς.

v. 687. ἄπεχε] A. σιώπα.

ἔα, ἔα] B. Φεῦ, Φεῦ. ἐπιῤῥηματικόν.

v. 688. οὔποτ'] B. οὐδέποτε. ξένους] ἀλλοτρίους. μολεῖσθαι] ἐλθεῖν.

v. 689. εἰς ἀκοὰν ἐμὰν] B. εἰς τὴν ἀκοὴν ἐμήν. ὧδε δυςθέατα] οὕτως δυςθεώρητα.

v. 690. δύςοιστα] B. ἀφόρητα.

v. 691. πήματα, λύματα, δείματα] βλάβας, φθορὰς, φόβους.

v. 692. ἀμφήκει] ἀμφοτέρωθεν πλήττοντι.

v. 694. ἰὼ] B. Φεῦ. μοῖρα] τύχη.

v. 695. πέφρικ'] B. ἐφοβήθην.

v. 696. πρό γε στενάζεις] A. ἤτοι πρὶν μάθῃς καὶ τὰ λοιπά, δυςφορεῖς καὶ θαυμάζεις ταῦτα καὶ περίφοβος εἶ· καρτέρησον ἕως οὗ καὶ τὰ λοιπὰ μάθῃς. Ἡ δέ φησι, λέγε· τοῖς γὰρ κακῶς πάσχουσιν εὐφραντὸν τὸ προγινώσκειν καὶ εἴ τι ἄλλο λυπηρὸν μέλλουσι παθεῖν.

στενάζεις] B. θρηνεῖς. πλέα] πεπληρωμένη.

v. 697. ἐπίσχες] B. πρόςμεινον ἢ κράτησον τὸ στενάζειν. προςμάθοις] ἐξ ἐμοῦ.

v. 698. λέγε] B. ταῦτα. ἐκδίδασκε] ἐμέ.

v. 699. τὸ λοιπὸν] B. τὸ ὑπόλοιπον. προὐξεπίστασθαι τορῶς] γινώσκειν ἀληθῶς, βεβαίως.

v. 700. τὴν πρίν γε χρείαν] A. ὑμεῖς μὲν οὖν ὃ ἐχρήζετε, ἐτύχετε, καὶ ἤδη τὸ παρ' ὑμῶν ζητούμενον ἤνυσται. Τοῦτο δὲ ἦν τὸ μαθεῖν τὰ τῆς Ἰοῦς καὶ ὅσα πέπονθεν, πλὴν ἐξ αὐτῆς, καὶ μὴ παρ' ἄλλου τινός.

τὴν πρίν γε χρείαν] B. τοῦ ἀκοῦσαι τῆς Ἰοῦς. ἠνύσασθ' ἐμοῦ πάρα] ἐτελειώσατε ὅσον παρ' ἐμοῦ.

v. 701. κούφως] B. ἐλαφρῶς, εὐκόλως. τῆςδε πρῶτ'] ταύτης καταρχάς.

v. 702. ἐξηγουμένης] B. διεξηγουμένης.

v. 703. οἷα χρὴ] B. ὁποῖα ἀπόκειται.

v. 704. τλῆναι] B. ὑπομεῖναι, παθεῖν. πρὸς Ἥρας] παρὰ τῆς Ἥρας. τὴν] τὴν Ἰοῦν.

v. 705. Ἰνάχειον σπέρμα] A. ἀποστρέφει τὸν λόγον πρὸς αὐτήν.

Ἰνάχειον σπέρμα] B. ὦ σπέρμα τοῦ Ἰνάχου.

v. 706. θυμῷ] B. ἐν τῷ σῷ λογισμῷ. ὡς] ἵνα. τέρματ᾽] τὰ σημεῖα.

v. 707. πρῶτον μὲν] A. ἀποφέρεται συνήθως εἰς τὸ διαγράφειν ὄρη, ποταμούς, καὶ τὰ τοιαῦτα, γνωστά, καὶ ἄγνωστα.

ἐνθένδ᾽] B. ἐκ τούτου.

v. 708. στεῖχ᾽] B. πορεύου. ἀνηρότους] τοὺς μὴ ἀροτριῶντας. γύας] ἔθνος.

v. 709. οἳ πλεκτὰς στέγας] A. οἵτινες οἱ Σκύθαι ναίουσι καὶ κατοικοῦσι πλεκτὰς στέγας, πεδάρσιοι δηλονότι, καὶ ἀπὸ τῆς γῆς ἐπαιρόμενοι καὶ ὑψούμενοι. Καὶ γὰρ ἐπάνω ἁμαξῶν (τοῦτο γὰρ δηλοῖ τὸ ἐπ᾽ εὐκύκλοις ὄχοις) τὰς σκηνὰς ἑαυτῶν οἱ Σκύθαι ποιοῦνται τόξα ἔχοντες.

Σκύθας] B. εἰς τοὺς Σκύθας. ἀφίξῃ] μέλλεις ἐλθεῖν. νομάδας] τὸν νομαδικὸν βίον βιοῦντας. πλεκτὰς στέγας] πεπλεγμένας οἰκίας.

v. 710. πεδάρσιοι] B. ἐν πεδίῳ αἰρόμενοι. ἐπ᾽ εὐκύκλοις ὄχοις] καλοὺς τροχοὺς ἔχουσι ἐν τοῖς ἅρμασι.

v. 711. ἐξηρτημένοι] A. τοὺς ὤμους δηλονότι.

ἑκηβόλοις] B. μακρόθεν βάλλουσι. ἐξηρτημένοι] παρεσκευασμένοι.

v. 712. οἷς μὴ πελάζειν] A. οἵστισι τοῖς Σκύθαις μὴ προσπέλαζε καὶ πλησίαζε, διότι ἀναιρεταὶ τῶν ξένων εἰσίν. Ἀλλὰ χρίμπτουσα καὶ προσεγγίζουσα ταῖς ῥαχίαις, καὶ ταῖς θαλασσίαις πέτραις. ἁλιστόνοις] ταῖς ὑπὸ τῆς ἁλὸς στεναζούσαις καὶ ἠχούσαις, ἐκπέρα τὴν χθόνα καὶ τὴν γῆν τῶν γυπόδων. Τὴν γὰρ αἰτιατικὴν τὸ γύποδας ἀντὶ γενικῆς νοεῖ κατ᾽ ἀντίπτωσιν. Ἄλλως. Ὑπὸ ἁλὸς τινασσομέναις. Μὴ δι᾽ ὀρεινῶν, φησί, τόπων πορεύου, ἀλλὰ δι᾽ ἐναλίων. Γύποδας] Γύποδες ὄνομα ἔθνους. Ἕτεροι δὲ ἐν τῷ γύποδας τὸ γυ ποιοῦνται γε, καὶ τὸν τόνον καταβιβάζοντες, λέγου-

σιν οὕτως, ἀλιστόνοις γε πόδας χρίμπτουσα ῥαχίαισιν, ἤτοι προσεγγίζουσα τοὺς πόδας ταῖς ῥαχίαις πέτραις. Ἄλλοι δὲ γυμνόποδας, κατὰ γυμνοὺς πόδας *), ἐξεδέξαντο, κατὰ συγκοπήν.

μὴ πελάζειν] B. μὴ θέλε πλησιάζειν. ἀλιστόνοις] ταῖς στεναγμόν σοι ποιούσαις ἐν τῷ πλανᾶσθαι, διέρχεσθαι δι' αὐτῶν.

v. 713. χρίμπτουσα] B. πλησιάζουσα. ῥαχίαισιν] διὰ τῶν ῥαχῶν. ῥαχίαισιν] Γ. πᾶς πετρώδης αἰγιαλός, ῳ προσάρακτον τι κῦμα. ἐκπερᾶν] θέλε. χθόνα] τὴν αὐτῶν.

v. 714. λαιᾶς δὲ χειρὸς] A. ἐν τοῖς ἀριστεροῖς δέ, φησί, κατοικοῦσιν οἱ τὸν σίδηρον ἐργαζόμενοι Χάλυβες, οὓς πρέπει φυλάξασθαι ἤγουν ἀποφεύγειν καὶ μὴ προσελθεῖν αὐτοῖς, ὅτι ἀνήμεροί εἰσιν, οὐδὲ τοῖς ξένοις πλησιαζόμενοι, ἤτοι ὑπὸ τῶν ξένων, βλάπτονται γὰρ παρ' αὐτῶν οἱ ἐκεῖσε ἀφικόμενοι.

λαιᾶς] B. ἐπὶ τῆς ἀριστερᾶς. σιδηροτέκτονες] οἱ τὸν σίδηρον κατασκευάζοντες.

v. 715. οἰκοῦσι] B. κατοικοῦσι.

v. 716. πρόσπλαστοι] A. προσπελαστοί. Ἀδικοῦνται γὰρ οἱ ἐκεῖσε ἀφικόμενοι.

ἀνήμεροι] B. ἄγριοί εἰσι. πρόσπλαστοι ξένοις] πλησιαστοί τοῖς ξένοις.

v. 717. ἥξεις δ' ὑβριστὴν] A. ὑβριστὴν ποταμὸν τὸν Ἀράξην φησίν. Ἀράξης δὲ λέγεται παρὰ τὸ ἀράσσειν καὶ ἠχεῖν τὰ κύματα αὐτοῦ. Τῷ γὰρ ὀνόματι τούτου καὶ πρᾶξις συνᾴδουσα ἐστί. Καὶ τοῦτο δηλοῖ τὸ οὐ ψευδώνυμον. Ἤτοι οὐ μάτην λέγεται Ἀράξης. ὃν μὴ περάσῃς] δύσκολος γὰρ καὶ οὐκ εὔβατός ἐστι.

ὑβριστὴν ποταμὸν οὐ ψευδώνυμον] B. ὃς διὰ τὸ ἐκχέεσθαι τῶν ὀρῶν καὶ κατακλύζειν τὰ παρατυχόντα οὕτω καλεῖται. Ὑβριστὴς διὰ τὸ τὰ πέριξ ὀλλύειν, καὶ διαφθείρειν,

---

*) f. γυμνοὺς κατὰ πόδας. Heath.

ἀτάκτῳ φορᾷ, ὅθεν καὶ τὴν ἐπωνυμίαν ἀληθῶς ἔσχεν Ἀράξης, ὅπερ ἀπὸ τοῦ ἀράσσω τὸ πλήττω γίνεται.

v. 718. μὴ] B. ὅρα ἵνα. εὔβατος] εὔκολος. περᾶν] εἰς αὐτόν.

v. 719. πρὶν ἂν πρὸς αὐτὸν Καύκασον] A. ἤτοι πρὸς τὸ ἕτερον μέρος τοῦ Καυκάσου. Ὁ γὰρ Προμηθεὺς ἔν τινι μέρει καὶ ἀκρωρείᾳ τοῦ Καυκάσου ἐσταυρώθη. Ὁ δὲ Καύκασος ὄρος ἀπέραντον.

τῶν ἄκρων:

πρὶν] B. μέχρι. μόλῃς] ἔλθοις.

v. 720. ἔνθα] B. ὅπου. ποταμὸς] ὁ ὑβριστής. ἐκφυσᾷ μένος] ἐξάγει τὴν ὁρμὴν τοῦ ῥεύματος.

v. 721. κροτάφων ἀπ' αὐτῶν] B. τῶν ὀφρύων τοῦ Καυκάσου. ἀστρογείτονας] τὰς μέχρις ἀστέρων διηκούσας.

v. 722. κορυφὰς] B. τοῦ Καυκάσου. ὑπερβάλλουσαν] ὑπερβᾶσαν.

v. 723. ἐνθ' Ἀμαζόνων] A. ὡς τὸ πρῶτον τῶν Ἀμαζόνων ἐν Σκυθίᾳ οἰκουσῶν. Ὅπου εὑρήσεις τὸν στυγάνορα ἤγουν τοὺς ἄνδρας μισοῦντα στρατὸν τῶν Ἀμαζόνων, αἵτινες (καὶ Ἀμαζονίδες) κατοικίσουσι ποτὲ τὴν Θεμίσκυραν περὶ τὸν Θερμώδοντα ποταμόν, πόλιν, ὅπου ἐστὶν ἡ τραχεῖα τῆς θαλάττης γνάθος, ὀξεῖα σιαγών, διὰ τὸ τοὺς εἰς αὐτὴν πλέοντας καταναλίσκειν. Γνάθος οὖν εἶπε, διότι Σαλμυδησσία θάλασσα τοιοῦτον σχῆμα ἔχει οἷον καὶ ἡ τοῦ ὄνου γνάθος. Τὸ δὲ ἐχθρόξενος καὶ μητρυιὰ νεῶν, τροπικῶς εἴρηκεν, ἐκ μεταφορᾶς τῶν μητρυιῶν τῶν κακῶς καὶ ἀπεχθῶς διακειμένων πρὸς τοὺς προγόνους αὐτῶν. Οἱ γὰρ ἐκεῖσε διαπλέοντες καταποντίζονται. Ἄλλως. Τὸ σχῆμα ἀναχρονισμός· τὸ γὰρ πολλοῖς χρόνοις πρότερον γενόμενον, ὡς γενησόμενον λέγει. Καὶ γὰρ πρὸ τοῦ Αἰσχύλου αἱ Ἀμαζόνες ἀφεῖσαι τὴν ἰδίαν πατρίδα κατῴκισαν εἰς Θεμίσκυραν πλησίον τοῦ Θερμώδοντος ποταμοῦ. Νῦν δὲ λέγει καὶ μέλλουσι κατοικίσαι *), ὡς τὸ πρότερον τῶν Ἀμαζόνων ἐν Σκυ-

*) Ex emendatione *Abreschii* pro vulg. κατοικῆσαι.

θία οἰκουσῶν. Λέγονται δὲ Ἀμαζόνες ἢ ὅτι μαζοῖς *) καὶ ἄρτοις οὐκ ἐχρῶντο, ἢ ὅτι ἔκαιον τοὺς μαζούς, ἢ ὅτι οὐδ' ὅλως εἶχον μαζούς, ἢ ὅτι μαζὸν οὐκ ἐθήλαζον, ἀλλὰ φοράδων **) γάλα ἤσθιον, οὖσαι νεογνοί.

βῆναι] B. πορευθῆναι.

v. 724. στυγάνορα] B. τὸν τοὺς ἄνδρας στυγοῦντα.
Θεμίσκυραν] πόλιν Σκυθίας.

v. 725. κατοικιοῦσιν] B. μέλλουσιν οἰκήσειν.

v. 726. Σαλμυδησσία γνάθος] A. ὡς τὸ πολέμου στόμα, διὰ τὸ πᾶν τὸ εἰς αὐτὴν ἐμπίπτον καταναλίσκειν.

Σαλμυδησσία] B. ἡ Σαλμυδησία ἐστὶ ῥαχία ἀκρωτηριώδης ἐοικυῖα ὄνου γνάθῳ. Καλεῖται δὲ ἀπό τινος Σαλμυδησοῦ ποταμοῦ ἐντεῦθεν ἐκρέοντος εἰς τὴν θάλασσαν. γνάθος] ἐοικυῖα.

v. 727. ἐχθρόξενος ναύτησι] B. ἐνταῦθα πλεῖστα ναυάγια νεῶν γίνεται.

v. 728. αὐταί σ' ὁδηγήσουσι] A. αἱ Ἀμαζόνες ὡς γυναῖκες γυναῖκα ***) ὁδηγήσουσι.

μάλ' ἀσμένως] B. φιλήσουσι ὡς γυναῖκα.

v. 729. πύλαις] A. ταῖς ἐξόδοις.

λίμνης] B. τῆς Μαιώτιδος.

v. 730. κιμμερικὸν] A. τοὺς Κιμμερίους οἱ πολλοὶ ἔθνος φασὶν ὑπάρχειν περὶ τὸν Ταῦρον τὸν σκυθικὸν καὶ τὴν Μαιῶτιν λίμνην. Οἵπερ ἀφώτιστοί εἰσιν, ἥλιον οὐχ ὁρῶντες, ἐν σκότῳ δὲ διάγουσιν ὡς ἔν γε νυκτί. Ἄλλως. Τὸν κιμμερικὸν Βόσπορόν φησιν, ὅς ἐστι πλήρωμα τῆς Μαιώτιδος λίμνης.

θρασυσπλάγχνως] B. θαρσαλέως. φαρετρα:

v. 731. αὐλῶν'] B. τὸ στενὸν ὃ πρόσθεν ἰσθμὸν ἐκάλει.

---

*) Recte corrigit *Pauw.* μαζεῖς.

**) forte φορβάδων. Nisi pro edita facere cuipiam videatur *Hesychius*, cui φορβάδες θηλεῖαι sunt ἵπποι. *Abresch.*

***) legendum ὡς γυναῖκες γυναῖκά σ' vel σε.

v. 732. ἔσται] B. γενήσεται.

v. 733. ἐπώνυμος] B. σοῦ τῆς βοός.

v. 734. κεκλήσεται] B. οὗτος ὁ ἰσθμός.

v. 735. ἤπειρον] B. εἰς γῆν. ἀσιάδ'] ἀνατολῆς.

v. 736. τύραννος] B. ὁ Ζεύς. ὁμῶς] ὁμοίως.

v. 737. βίαιος] B. σκληρὸς δυνάστης. τῇ γὰρ θνητῇ] ταύτῃ τῇ Ἰοῖ. θεὸς] ὤν.

v. 738. ἐπέῤῥιψε] B. ἐπέφερε.

v. 739. πικροῦ] B. λυπηροῦ, ἀηδοῦς. ἔκυρσας] ἔτυχες.

v. 740. μνηστῆρος] B. ἀνδρός.

v. 741. σοὶ μηδέπω 'ν προοιμίοις] A. διττόν ἐστι τοῦτο· ἃ εἶπον, ἀληθῆ λίαν νόμιζε, καὶ γὰρ οἱ σοφοὶ ἐν τοῖς λόγοις τῶν προοιμίων αὐτῶν, ἔλεγον ψευδῆ· ἡνίκα δὲ περὶ τῶν πραγμάτων γυμνῶς ἔλεγον, γυμνῇ τῇ ἀληθείᾳ ἐν τούτοις ἐχρῶντο. Ἢ ὅτι οὐδὲ χώραν ταῦτα ἔχουσι προοιμίου· ἃ γὰρ εἶπον, μικρά ἐστι πρὸς τὰ ἄλλα. Ἄλλως. Ὅσα ἤκουσας, ὡς προοίμιον ἀκούειν σε χρή. Ἢ, μηδ' ὅλον τὸ προοίμιον δι' αὐτῶν πεπληρῶσθαι.

δόκει σοὶ] B. νόμιζε. μηδέπω 'ν προοιμίοις] τοσοῦτοι γάρ εἰσιν οὓς μέλλεις ἀκοῦσαι, ὡς οὐδὲ προοίμια τούτων εἶναι οὓς ἤκουσας.

v. 742. Ἰώ μοι μοι] A. ἐπὶ τοῖς ῥηθησομένοις δυσχεραίνει ἡ Ἰώ.

ἰὼ ἰὼ] B. φεῦ φεῦ. ἒ ἒ] φεῦ.

v. 743. σὺ δ' αὖ κέκραγας] A. ἀποκλαίεται ὁ Προμηθεύς, βλέπων αὐτὴν κακῶς πάσχουσαν παρὰ τοῦ Διός *). κἀναμυχθίζῃ] ποιᾶς φωνῆς καὶ στεναγμοῦ εἶδος.

ἀναμυχθίζῃ] B. ἀχθομένη.

v. 744. ὅταν τὰ λοιπὰ πυνθάνῃ] B. τὰ ἐπίλοιπά σοι μάθῃς.

v. 745.

---

*) *Pauw.* conj. ἀποκλαίεται ἡ Ἰὼ βλέπουσα αὐτὴν κακῶς πάσχουσαν παρὰ τοῦ Διός. *Heathius* nihil mutandum cenſet, ſed haec ad ſuperiora v. 737. pertinere arbitratur.

v. 745. ἢ γάρ τι λοιπὸν] A. ὁ χορὸς ἀκούσας τοῦ Προμηθέως εἰπόντος πρὸς τὴν Ἰώ, σὺ δὲ κλαίεις ἐπὶ τούτοις οἷς ἤκουσας, τί ποιήσεις λοιπὸν ἐὰν μάθῃς καὶ ἃ μέλλεις ἔτι παθεῖν· φησὶ πρὸς αὐτὸν κατ' ἐρώτησιν, ἆρα λέξεις τι ἐπίλοιπον τῶν βλαβῶν ταύτῃ; ἀντὶ τοῦ, ἄλλο τι λυπηρὸν ἐρεῖς αὐτῇ; ὁ δὲ Προμηθεὺς ἀποκριθεὶς λέγει, δυσχείμερόν γε τὶ πέλαγος τῆς ἀτηρᾶς καὶ βλαβερᾶς δύης καὶ κακοπαθείας εἴποιμι ἄν, ἤτοι πλῆθος τῶν ἐσομένων αὐτῇ κακῶν. Τὸ δὲ δυσχείμερον, πρὸς τὴν τῶν κακῶν αὐτῆς ποιότητα ἔφη.

ἢ] B. ὄντως, ἆρα.

v. 746. δυσχείμερος] B. τὸ ἄγριον. ἀτηρᾶς δύης] σκληρᾶς καὶ ἀφορήτου δυστυχίας.

v. 747. τί δῆτ' ἐμοὶ ζῆν κέρδος] A. ἀκούσασα ἡ Ἰὼ τοῦ Προμηθέως εἰπόντος ὅτι καὶ ἄλλα πολλὰ κακὰ μέλλει παθεῖν αὐτή, φησί, ποία μοι ὠφέλεια τοῦ ζῆν, ἀλλ' οὐ ταχέως ἔῤῥιψα ἐμαυτὴν ἀπὸ ταύτης τῆς τραχείας πέτρας καὶ ὑψηλῆς (ὅπου ἦν ἐσταυρωμένος ὁ Προμηθεὺς) ὡς ἂν εἰς τὴν γῆν καταπεσοῦσα καὶ φαγευθεῖσα ἀπηλλάγην τῶν πολλῶν πόνων; κρεῖσσον γὰρ καὶ βέλτιον ἅπαξ ἀποθανεῖν παρ' ὃ ζῆν, καὶ τὰς ἄλλας ἡμέρας κακοπαθεῖν.

ζῆν κέρδος] B. τὸ ζῆν ὠφέλεια. ἐν τάχει] συντόμως.

v. 748. στύφλου] B. σκληρᾶς.

v. 749. σκήψασα] B. πεσοῦσα βαρέως.

v. 750. ἀπηλλάγην] B. ἠλευθερώθην.

v. 752. ἦ δυσπετῶς] A. ὁ Προμηθεὺς ἰδὼν τὴν Ἰὼ λυπουμένην δι' ἃ πάσχει κακά, φησὶ πρὸς αὐτήν, δυσχερῶς ἂν τὰς ἐμὰς κακοπαθείας ἔφερες. Τὸ γὰρ φέροις, ἀντὶ τοῦ ἔφερες· τοῦτο δὲ Ἀττικόν, τὸ τοὺς εὐκτικοὺς ἐνεστῶτας ἀντὶ τῶν παρῳχημένων λαμβάνεσθαι. Ἐμοὶ δὲ οὐκ ἔστι πεπρωμένον ἀποθανεῖν, οἷα θεῷ. Τοῦτο γὰρ τὸ θανεῖν ἦν ἄν μοι ἐλευθερία τῶν δεινῶν· νῦν δὲ οὐκ ἄλλο τι τέλος πρόκειται τῶν ἐμῶν κακοπαθειῶν, πρὶν ἂν ὁ Ζεὺς ἐκβληθῇ τῆς βασιλείας.

ἦ] B. ὄντως, ἆρα. δυςπετῶς] δυςκόλως. τοὺς ἐμοὺς ἄθλους] τὰς ἐμὰς δυστυχίας δίκην ἀγῶνος ὑφίσταςαι *).

v. 753. ὅτῳ] B. ἐμοί. πεπρωμένον] μεμοιρασμένον.

v. 754. αὕτη] B. τὸ ἀποθανεῖν. Ἀπέδωκε τὴν σύνταξιν πρὸς τὸ ἀπαλλαγήν, ὥςπερ τό, ξύλινον μόρον εὑρόντες ἣν καλέουσι παγίδα **).

v. 755. τέρμα] B. τέλος. προκείμενον] Φανερόν.

ὡς ἀπιστοῦσα ἐρωτᾷ: v. 757. ἦ] B. ὄντως.

v. 758. τήνδ' ἰδοῦσα συμφορὰν] A. ἤτοι ἐκπεσεῖν τὸν Δία τῆς βασιλείας τῶν θεῶν συμφορὰν λέγει, τὴν σύμβασιν, ὡς ἀπιστοῦσα τῷ μέλλειν πεσεῖν τὸν Δία ἐκ τῆς βασιλείας. Πῶς οὐκ ἂν εὐφράνθην ἐγὼ ἐξ αὐτοῦ πολλὰ κακὰ καὶ ἐπαχθῆ πάσχουσα;

ἥδοιμ' ἄν] B. εὐφρανθείην.

v. 759. ἐκ Διὸς] B. ὑπὸ τοῦ Διός.

v. 760. ὡς τοίνυν ὄντων] A. ἤτοι ὡς βεβαίων καὶ ἀληθινῶν καὶ ἠδρασμένων καὶ ἐνεστώτων τούτων ὄντων πάρεστι μαθεῖν.

τῶνδ'] B. ὧν ὁ Ζεὺς πείσεται, λέγω τῆς ἀρχῆς ἐκπεσεῖν.

v. 761. πρὸς τοῦ] B. παρὰ τίνος Φησὶ ἀφαιρεθήσεται τὰ σκπτῆρα, τύραννα τουτέστι τυραννικῶς· οὕτως γὰρ ἔμελλεν εἰπεῖν· νῦν δὲ πρὸς τὸ σκῆπτρα τὴν σύνταξιν ἀπέδωκεν. Ἢ τὰ τύραννα σκῆπτρα ἀντὶ τοῦ βασιλικά.

v. 762. κενοΦρόνων] A. οὐκ εἰδὼς γὰρ λήψεται Θέτιν, ἥτις τέξεται τὸν ἐκβαλοῦντα αὐτὸν τῆς ἀρχῆς.

αὐτὸς πρὸς αὐτοῦ] B. τινὲς λέγουσι τὸ πρὸς οὐ πρὸς τὸ αὐτοῦ, ἀλλὰ πρὸς τὸ βουλευμάτων, οὕτω, αὐτὸς πρὸς τῶν βουλευμάτων αὐτοῦ τῶν κενοΦρόνων· σὺ δὲ πρὸς τὸ αὐ-

---

*) lege δυστυχίας, ὡς δίκην ἀγωνὸς ὑφίσταμαι *Pauw*. Post *Heathius* recte πρὸς τὸ ἀπαλλαγή, pro vulg. ἀπαλλαγήν.

**) Ex Hom. Batrachyom. v. 115.

τοῦ συνάπτε, ἵν' ᾖ τὸ κενοφρόνων βουλευμάτων ἑρμηνεία τοῦ πρὸς αὐτοῦ. αὐτοῦ] παρανοίᾳ. κενοφρόνων] ἐκ τῶν ματαιοφρόνων.

v. 763. εἰ μή τις βλάβη]. A. σοὶ τῷ λέγοντι καὶ ἐμοί.

v. 764. ἀσχαλᾷ] B. λυπηθήσεται.

v. 765. θέορτον, ἢ βρότειον] A. ζηλοτυποῦσα ἐρωτᾷ ἡ Ἰὼ τὸν Προμηθέα, εἰ ὁ γάμος ὃν μέλλει γαμῆσαι ὁ Ζεύς, ἔσται ἤτοι θεᾶς τινος, ἢ ἀνθρώπου. Εἰπέ μοι, εἰ ἔστι δυνατὸν ῥηθῆναι τοῦτο. Ὁ δέ φησι πρὸς αὐτήν, τί δ' ὅντινα; ἀντὶ τοῦ, διατί ἐρωτᾷς ὅντινα καὶ ποῖον γάμον γαμήσει ὁ Ζεύς; οὐ γὰρ πρέπει λέγεσθαι τοῦτο. Εἶτα πάλιν ἐρωτᾷ ἡ Ἰώ, ἆρα παρὰ τῆς γυναικὸς αὐτοῦ Ἥρας ἐκβληθήσεται τῆς βασιλείας; ὁ δὲ Προμηθεύς ἀξυμφώνως *) φησίν, ἥτις τέξεται παῖδα κρείττονα τοῦ πατρὸς αὐτοῦ· ἐκεῖνος καταβιβάσει τῆς βασιλείας αὐτόν. Θέορτον, ἀπὸ τοῦ θεοῦ κινηθέντα, ἐκ τοῦ ὁρῶ τὸ διεγείρω, καὶ τοῦ θεός.

θέορτον] B. ἐκ θεοῦ ὁρμώμενον, ἤτοι θεῖον. ῥητὸν] δυνάμενον ῥηθῆναι.

v. 766. τί δ' ὅντινα] B. ἐρωτᾷς. ῥητὸν αὐδᾶσθαι] ἄξιον λέγεσθαι.

v. 767. πρὸς] B. παρά. ἐξανίσταται] εἰκότως εἶπε τὸ ἐξανίσταται. Ἐπειδὴ γὰρ θρόνων εἴρηκεν, ἐν δὲ τοῖς θρόνοις καθήμεθα **), διὰ τοῦτο ἐξανίσταται εἶπεν, ἀντὶ τοῦ τῆς βασιλείας ἐκβληθήσεται.

v. 768. Ἣ τέξεται] B. ἥτις τέξεται. φέρτερον] ἰσχυρότερον.

v. 769. οὐδ' ἔστιν αὐτῷ] A. τῷ Διῒ τὶς ἀπόδειξις τῆς τοιαύτης τύχης, ἤτοι τοῦ μὴ συνελθεῖν τοιούτῳ γάμῳ; Τίς οὖν ἐστιν ὅστις μέλλει λῦσαί σε ἀπὸ τῶν δεσμῶν, μὴ βουλομένου τοῦ Διὸς καὶ θέλοντος;

ἀποστροφὴ] B. ἀποφυγή.

---

*) ἀξυμφώνως reposui *Heathio* auctore pro vulg. ἀξυμφανῶς.

**) Sic *Heathius* conj. pro vulg. καθήμενα. recte.

G 2

v. 770. οὐ δῆτα] B. οὐδαμῶς. λυθῶ] ἐλευθερωθῶ.

v. 771. ἄκοντος] B. μὴ θέλοντος.

v. 772. τῶν] B. ὑπό. ἐκγόνων] ἀπό. χρεὼν] πρέπον.

v. 773. ἡ μός] B. ὁ ἐμός. παίδων] ὑπὸ τῶν.

v. 774. τρίτος δὲ γένναν πρὸς δέκ'] B. τρισκαιδέκατος. Ἀπὸ Ἰοῦς Ἔπαφος, οὗ Λιβύη, ἧς Βῆλος, οὗ Δαναός, οὗ Ὑπερμνήστρα, ἡ μὴ κτείνασα τὸν Λύγγεα τὸν ὁμόζυγον, ἧς Ἄβας, οὗ Προῖτος, οὗ Ἀκρίσιος, οὗ Δανάη, ἧς Περσεύς, οὗ Ἠλεκτρύων, οὗ Ἀλκμένη, ἧς Ἡρακλῆς.

v. 775. Εὐξύμβλητος] A. ~~νοητή~~. [ἐμοί σοῦ]

εὐξύμβλητος] B. εὔγνωστος.

v. 776. μηδὲ] B. ἐπεὶ ἃ λέγω οὐ γινώσκεις.

v. 777. προτείνων] B. ἐξ ἁπλῶν *) διδούς.

τῷ ἑτέρῳ τῶν δύο σοι χάριν δώσω. v. 778. δωρήσομαι] B. δεξιώσομαι.

v. 779. ποίοιν] B. λόγοιν. αἵρεσιν] ἐκλογήν, προκρισιν.

v. 780. πόνων] B. τῶν σῶν κόπων.

v. 781. σαφηνῶς] B. φανερῶς.

v. 782. τούτων σὺ τὴν μὲν τῇδε] A. ἀκούσας ὁ χορὸς τοῦ Προμηθέως εἰπόντος πρὸς τὴν Ἰώ, δυοῖν λόγοιν σε θατέρῳ δωρήσομαι, φησὶν ἐνταῦθα πρὸς αὐτόν· τὴν μὲν μίαν χάριν θέλησον πληρῶσαι τῇ Ἰοῖ, ἤτοι τὸ εἰπεῖν αὐτῇ τὴν λοιπὴν πλάνην ἣν ἔτι μέλλει πλανηθῆναι· ἐμοὶ δὲ τὴν ἑτέραν ἤτοι τὸ ἀναδιδάξαι με τίς ὁ μέλλων λῦσαί σε· τοῦτο γὰρ θέλω μαθεῖν. Εἶτα κοινῶς πρός τε τὸν Χορὸν καὶ τὴν Ἰὼ φησὶν ὁ Προμηθεύς, ἐπεὶ θέλετε καὶ σαφηνίσαι πᾶν ὅσον θέλετε μαθεῖν. Καὶ πρῶτόν σοι ὦ Ἰοῖ ἐρῶ τὴν πολύστροφον πλάνην, ἥντινα ἐγγράφου σὺ ἐν ταῖς δέλτοις καὶ βιβλίοις τῆς διανοίας σου.

τῇδε] B. τῇ Ἰοῖ.

v. 783. μηδ' ἀτιμάσῃς λόγους] B. μὴ ἀπορρίψῃς καὶ οὐκ ἐθελήσῃς εἰπεῖν.

---

*) forſan leg. ἐξαπλῶν. *Abreſch.*

v. 784. γέγωνε] B. εἰπέ.

v. 785. τὸν λύσοντα] B. τὸν ἐλευθερώσοντα *). ποθῶ] ἀγαπῶ.

v. 786. προθυμεῖσθ'] B. προθυμίαν ἔχετε. οὐκ ἐναντιώσομαι] ὑμῖν.

v. 787. γεγωνεῖν] B. λέγειν.

v. 788. Ἰοῖ] B. ὦ. πολύδονον] πολυτάραχον.

A. 789. μνήμοσιν] A. ταῖς μνήμοσι καὶ ταῖς μνημονευτικαῖς· οὕτω δὲ καὶ Πίνδαρός **) φησι, Πόθι φρενὸς ἐμᾶς γέγραπται, τὴν ἀκριβῆ κατάληψιν αἰνιττόμενος. Τοῦτο δέ φησιν, ἐγγράφου ταῖς σαῖς διανοίαις τὴν σὴν πολύστροφῆ πλάνην. Ὅταν περάσῃς τὸν ποταμὸν τὸν Τάναϊν· τοῦτον γὰρ λέγει ὅρον καὶ ὁρισμὸν καὶ διαχωρισμὸν τῶν ἠπείρων ἤτοι τῶν δύο γαιῶν τῆς Εὐρώπης καὶ τῆς Ἀσίας, ὡς καὶ ὁ περιηγητής· Εὐρώπην δ' Ἀσίης Τάναϊς διὰ μέσσον ὁρίζει ***). Ὁ δὲ Νεῖλος τὴν Εὐρώπην καὶ τὴν Λιβύην πρὸς ἀνατολάς.

ἐγγράφου] B. ἐγχάραττε. μνήμοσι] μνημονευτικαῖς.

v. 790. ῥεῖθρον ἠπείρων ὅρον] A. τὸν Τάναϊν ποταμόν, κατὰ τό, Εὐρώπην δ' Ἀσίης Τάναϊς διὰ μέσσον ὁρίζει.

ῥεῖθρον ἠπείρων ὅρον] B. τὸν Ἑλλήσποντον· τὸν Τάναϊν· τῆς Ἀσίας καὶ Εὐρώπης ὁρισμόν.

v. 791. φλογωπάς, ἡλιοστιβεῖς] A. ἤγουν πρὸς τὴν ἀνατολήν, ἔνθα βαδίζει ὁ ἥλιος.

v. 792. Πόντου] B. τοῦ Βοσπόρου. ἐξίκῃ] ἐξέλθῃς.

v. 793. πρὸς γοργόνεια πεδία] A. ἥτις Κισθήνη πόλις ἐστί, περὶ τὰ μέρη δὲ αὐτῆς κατοικοῦσιν αἱ Φορκίδες καὶ αἱ Γοργόνες οὕτω καλούμεναι, θυγατέρες Φόρκυνος τοῦ υἱοῦ Πόντου καὶ τῆς Γῆς· καὶ Κητοῦς τῆς αὐτοῦ ἀδελφῆς, αὐτῇ

*) vulg. ἐλευθερώσαντα. Illud ex *Heathii* conjectura reposui.

**) Olymp. 10, 5.

***) Dionys. Perieget v. 14.

γὰρ συμμιγεὶς ταύτας ἀπέτεκε. Καὶ αἱ μὲν Φορκίδες ἦσαν τρεῖς, ἡ Ἐνυώ, ἡ ΠεΦριδώ, καὶ ἡ Δεινώ· καὶ εἶχον εἶδος κύκνων· ἦσαν δὲ καὶ μονόδοντες· εἶχον δὲ καὶ αἱ τρεῖς ὀΦθαλμὸν ἕνα, καὶ ἑτέρα παρ' ἑτέρας λαμβάνουσα τὸν ὀΦθαλμὸν, ὅτε ἤθελεν, ἔβλεπεν. Αἱ Γοργόνες ἦσαν, ἡ Σθενὼ *) ἡ Εὐρυαλεία, καὶ ἡ Μέδουσα· εἶχον δὲ καὶ αὗται ἕνα ὀΦθαλμὸν, ὥσπερ αἱ Φορκίδες. Ἦσαν δὲ πτερωταί, καὶ τρίχας δράκοντος **) ἔχουσαι· ἃς εἴτις εἶδεν ἄνθρωπος, εὐθὺς ἐτελεύτα· εἶχον δὲ καὶ συῶν μεγάλων ὀδόντας, χεῖρας χαλκᾶς, καὶ πτέρυγας αἷς ἐπέτοντο ***). Κισθίνη δὲ πόλις Λιβύης, ἢ Αἰθιοπίας· Φησὶ δὲ ἐν τοῖς ἑξῆς, τοιοῦτον μέν σοι λέγω τοῦτο ἄξιον Φυλάξασθαι, ἄλλην δὲ μάθε δυσχερῆ καὶ κακίστην ὄψιν, Φύλαξαι δὲ μήπως ἀπέλθῃς ἔνθα εἰσὶν οἱ ἀκραγεῖς κύνες, ἤγουν οἱ γρῦπες, οἱ ἀεὶ κράζοντες λίαν, ἢ οὐ κράζοντες. Περὶ ὧν Ἡσίοδος πρῶτος ἐτερατεύσατο. Φύλαξαι καὶ τὸν μονῶπα στρατὸν, ἤτοι τὸν μονόΦθαλμον, τῶν Ἀριμασπῶν, τὸν ἐν τοῖς ἵπποις βαίνοντα, ἤτοι τὸν πολεμικόν. Οἵτινες οἰκοῦσι περὶ τὸ νᾶμα τοῦ πόρου καὶ τοῦ ὁρισμοῦ τοῦ Πλούτωνος· Πλούτων δὲ ἐστὶ ποταμὸς Αἰθιοπίας. Οὕτως δὲ λέγεται ἀπὸ τοῦ πολὺν ἐκεῖσε καταῤῥεῖν τὸν χρυσόν. Τούτοις σὺ μὴ πέλαζε Φησίν, οἷς εἴπω Ἀριμασποῖς σὺ μὴ πλησιάσῃς· εἰς μακρὰν δὲ γῆν ἔλθῃς καὶ εἰς τὸ κελαινὸν Φῦλον ἤτοι εἰς τὸ μέλαν γένος, γένος δὲ λέγει τοὺς Αἰθίοπας.

Ἡρόδοτος Reiskius.

Κισθίνης] B. Κισθίνη πόλις Αἰθιοπίας, περὶ δὲ αὐτὴν εἰσὶ τὰ Γοργόνεια πεδία, ἐν οἷς κατοικοῦσι Δινώ, ΠεΦριδὼ καὶ Ἐνυώ, αἱ τοῦ Φόρκυνος τοῦ υἱοῦ τοῦ Ποσειδῶνος καὶ Γῆς, ὃς μιγεὶς τοῦ ἑαυτοῦ ἀδελΦῇ Κητοῖ ταύτας ἀπέτεκε. Κατῴκουν δὲ ὑπὸ γῆν, καὶ οὔτε ἡλίῳ οὔτε σελήνῃ ἦσαν θεαταί, κυκνόμορΦαι δὲ ἦσαν διὰ τὴν λευκότητα.

---

*) e *Stanlej.* conj. pro vulg. Ἀσθενὼ coll. Apollodoro p. 74. et Palaephato c. 32.

**) forsan: χεῖρας χαλκᾶς, καὶ πτέρυγας χρυσᾶς, αἷς ἐπέτοντο. *Pauw.*

***) f. τρίχας δράκοντας, aut δρακόντων. *Pauw.*

v. 794. δηναιαί] B. ἀθάνατοι.

v. 795. κοινὸν ὄμμ' ἐκτημέναι] A. τοῦτο κατὰ διαδοχὴν εἰς χεῖρα λαμβάνουσαι, ἐφύλασσον.

ἐκτημέναι] B. κτησάμεναι.

v. 796. προσδέρκεται] B. βλέπει αὐτάς.

v. 797. μήνη] B. ἡ σελήνη.

v. 798. κατάπτεροι] B. πτερωταί.

v. 799. δρακοντόμαλλοι] B. ἀντὶ γὰρ πλοκάμου ὄφεις ἔχουσιν ἐξαπτομένους ταῖς κεφαλαῖς.

v. 800. οὐδεὶς εἰσιδὼν ἕξει πνοὰς] B. λιθοῦται γὰρ αὐτίκα.

v. 801. φρούριον] A. καταγωγήν, ἣν ὀφείλεις φυλάξασθαι.

τοῦτο φρούριον] B. ἐνταῦθα τὸ ὅταν ἀποδίδοται, καὶ οὐχ ὡς φασί τινες ὄπισθε, λέγοντες οὕτω, ἣν ἐγγράφου σὺ μνήμοσι δέλτοις φρενῶν, τοῦτο, ὅταν περάσης τὸν τῆς Ἀσίας καὶ Εὐρώπης διορισμὸν Τάναϊν. Ἀλλ' εἰπὼν ὅταν περάσης τὸν Τάναϊν ἔστ' ἂν εἰς τὰς Φόρκυνος θυγατέρας καὶ ἐς τὰς Γοργόνας ἀφίξῃ ἐπιφέρει τοῦτο· τοιοῦτον μέν σοι φρούριον λέγω, τουτέστιν ἃς ἄνωθεν εἶπον Γοργόνας καὶ Φορκίδας δεῖ σε φυλάττεσθαι, ἵνα μὴ τὸ ζῆν ἀπολέσῃς. Δόξει δὲ τισὶ τοῦτο δυσχερές, πλὴν οὐ τοῖς ἄριστα μεταχειριζομένοις τοὺς λόγους.

v. 803. ὀξυστόμους] B. ὀξυόδοντας. ἀκραγεῖς] ἀφώνους.

v. 804. μουνῶπα] B. μονόφθαλμον.

v. 805. ἀριμασπὸν] B. Ἀριμασποὶ καλοῦνται διὰ τὸ ἕνα ὀφθαλμὸν ἔχειν. Ἄρι γὰρ κατὰ γλῶσσαν τὸ ἕν, καὶ μασπὸς ὁ ὀφθαλμός, καὶ αὐτὸ κατὰ γλῶσσαν. ἱπποβάμον] ἱππικόν.

v. 806. νᾶμα Πλούτωνος] B. ἀπὸ τοῦ πολὺν ἐν τούτῳ χρυσὸν εὑρίσκεσθαι τοῦτο τὸ ὄνομα ἐσχηκώς. Ἕτεροι δὲ τὸν Πλούτωνα οὐκ ὄνομα ποταμοῦ φασί, ἀλλὰ τὸν Νεῖλον αὐτόν, ὃς διὰ τὸ πιαίνειν τὴν Αἴγυπτον πλούτων καὶ χρυσορρόας καλεῖται· σὺ δὲ μὴ τοῦτο νόει, ἀλλ' ἕτερον.

v. 807. τηλουρὸν] B. μακράν.

v. 808. κελαινὸν φῦλον] A. ἤτοι εἰς τὸ μέλαν γένος. Λέγει τοὺς Αἰθίοπας, οἵτινες κατοικοῦσι πρὸς ταῖς πηγαῖς τοῦ ἡλίου, ἔνθα ἐστὶ καὶ ὁ ποταμὸς ὁ λεγόμενος Αἰθίοψ. Καὶ περὶ τὰς ὄχθας καὶ τὰ χείλη τούτου τοῦ Αἰθίοπος ποταμοῦ ἕρπε καὶ βάδιζε, ἕως ἂν ἐξέλθῃς τὸν καταβασμόν. Ὁ δὲ καταβασμός, ὅρος ἐστὶν ὁρίζον καὶ διαχωρίζον Λιβύην καὶ Αἴγυπτον, ὅπου εἰς τὸν καταβασμὸν τοὺς ὅρους ἐκπέμπει ὁ Νεῖλος γλυκὺ ῥεῦμα, τίμιον τοῖς ἐκεῖ οὖσιν, ἀπὸ τῶν ὀρῶν τῶν βυβλίνων. Ἡ δὲ Βύβλος πόλις ἐστὶν Αἰγύπτου.

κελαινὸν] B. μέλαν.

v. 809. πηγαῖς] B. ταῖς ἀρχαῖς.

v. 810. ἕρφ'] B. βάδιζε. ἐξίκῃ] ἐξέλθῃς.

v. 811. βυβλίνων ὀρῶν] A. ἀπὸ τῆς γινομένης παρ' αὐτοῖς βύβλου ἔπλασαν τὰ βύβλινα ὄρη.

καταβασμὸν] B. ὅρος διορίζον Λιβύην καὶ Ἀσίαν.

v. 812. σεπτὸν] B. σεβάσμιον διὰ τὸ πιαίνειν τὴν Αἴγυπτον.

v. 813. οὗτός σ' ὁδώσει] A. οὗτος, φησίν, ὁ καταβασμὸς ὁδηγήσει σε καὶ ἄξει εἰς τὴν γῆν τὴν Νειλῶτιν, ἤγουν τὴν Αἰγυπτίαν, καὶ τὴν τρίγωνον. Καὶ διὰ τοῦτο λέγεται τρίγωνος αὕτη, ὅτι ἐν Αἰγύπτῳ ὁ Νεῖλος ἐξερχόμενος κατὰ καιρόν, τὰ τῆς Αἰγύπτου πάντα πεδία καταρδεύει. Ἔνθα καὶ ἔστιν ἰδεῖν ἔριν πρὸς ἀλλήλους τῶν Αἰγυπτίων, φιλονεικούντων ὡς τοῦ μὲν τὴν γῆν πλεῖον, τοῦ δὲ ἧττον ἢ οὐδ' ὀλίγον καταρδεύει. Ταῦτ' ἄρα καὶ οἱ Αἰγύπτιοι ὅρους ταῖς αὐτῶν γαῖς ἐπιθεῖναι σπουδάζοντες, σχηματογραφοῦντες αὐτὰς ἐνεχάρασσον, τὴν μὲν τρίγωνον, ἑτέραν δὲ τετράγωνον σχηματίζοντες, ἀφ' ὧν καὶ τοῖς φιλοσόφοις τὰ γραμμικὰ σχήματα ἐφευρέθησαν.

ὁδώσει] B. ὁδηγήσει. τρίγωνον ἐς χθόνα] τὴν Αἴγυπτον, ἣν καὶ Δέλτα καλοῦσιν.

v. 814. Νειλῶτιν] B. ὑπὸ Νείλου ἀρδευομένην.

v. 815. κτίσαι] A. ἀντὶ τοῦ οἰκίσαι.

κτίσαι] B. ποιῆσαι.

v. 816. ψελλὸν τε καὶ δυσεύρετον] A. τούτων ἃ σοι εἶπον εἴ τι δύσγνωστον. Ἀπὸ μεταφορᾶς τῶν ψελλιζόντων παιδίων, καὶ ἄγνωστον ποιούντων τὸ ἀληθές· πάλιν ἐρώτησον, καὶ διασαφηνίσω σοι τοῦτο.

ψελλὸν] B. δύσγνωστον, ἐκ μεταφορᾶς τῶν ψελλιζόντων παίδων.

v. 818. σχολὴ] B. ἄδεια. ἢ] παρό.

v. 819. Εἰ μέν τι τῇδε λοιπὸν] A. ὁ χορός φησι πρὸς τὸν Προμηθέα, εἰ μέν τι καὶ ἕτερον μέλλεις εἰπεῖν τῇ Ἰοῖ, καὶ οὐκ ἔφθης εἰπεῖν, ἐπὶ τῷ παραδραμεῖν τὸν σὸν λογισμόν, πάλιν εἰπὲ αὐτῇ καὶ τοῦτο· εἰ δὲ πάντα εἶπες, πλήρωσον καὶ ἡμῖν τὴν χάριν ἣν ἐζητοῦμεν. Μέμνησαι δέ που τίς ἐστιν αὕτη. Λέγει δὲ τὸ εἰπεῖν τίς ἐστιν ὁ μέλλων λῦσαι αὐτὸν τοῦ δεσμοῦ. παρειμένον] ὃ παρῆκας. Φιλανθρώπως δὲ αἱ Ὠκεανίδες ἡγοῦνται χάριν ἰδίαν τὸ ἀκοῦσαι περὶ τῆς λύσεως αὐτοῦ.

παρειμένον] B. παραφθέν, παραλελειμμένον.

v. 820. γεγωνεῖν] B. λέγειν.

v. 821. εἴρηκας] B. εἶπας. αὖ] πάλιν.

v. 822. αἰτούμεσθα] B. σέ. δέ που] ἴσως.

v. 823. τὸ πᾶν πορείας ἥδε τέρμ' ἀκήκοεν] A. ὁ Προμηθεὺς πρὸς τὸν χορόν φησιν, ἡ Ἰὼ ἅπαν πλήρωμα τῆς ἑαυτῆς πλάνης μεμάθηκεν· ἵνα δὲ γνῷ καὶ μάθῃ ὅτι οὐ ψευδῶς ταῦτα εἶπον αὐτῇ, φράσω καὶ διηγήσομαι καὶ ἃ ἐκακοπάθησε πρὸ τοῦ ἐλθεῖν ἐνταῦθα, δοὺς τεκμήριον καὶ σημεῖον τῶν λόγων ὅτι ἀληθεῖς εἰσι, τοῦτο, τὸ εἰπεῖν τὰ προγεγονότα εἰς αὐτήν. Τοὺς μὲν οὖν πολλοὺς λόγους ἐάσω, πρὸς αὐτὸ δὲ τὸ κεφάλαιον τῶν σῶν πλανημάτων πορεύομαι.

τὸ πᾶν] B. ὅλον. ἥδε] αὕτη. τέρμα] τέλος.

v. 824. εἰδῇ] B. γνώσῃ.

v. 825. μολεῖν δεῦρ'] B. ἐλθεῖν ἐνταῦθα. φράσω] λέξω.

v. 826. τεκμήριον τοῦτο] B. τὸ τὰ πρόσθεν ἐρεῖν. μύθων ἐμῶν] οὓς ἔφην αὐτῇ περὶ τῆς λοίπης πλάνης *).

v. 827. ὄχλον] B. τὸ πλῆθος. ἐκλείψω] καταλείψω.

v. 828. εἶμι] B. ἐλεύσομαι.

v. 829. ἐπεὶ γὰρ ἦλθες πρὸς Μολοσσὰ δάπεδα] A. ἐπεὶ γὰρ ἦλθες πρὸς τὴν γῆν τῶν Μολοσσῶν, καὶ περὶ τὴν Δωδώνην τὸ ὄρος.

ἐπεὶ] B. ἀφ' οὗ. Μολοσσὰ] μεταξὺ Θετταλίας καὶ Αἰτωλίας **) οἱ Μολοσσοί.

v. 830. τὴν αἰπύνωτον] A. ὑψηλήν, ὅπου μαντεῖα εἰσι. Ἄλλως. Τὴν ὑψηλόνωτον, ἢ τὴν τραχεῖαν. Παρὰ τὸ αἶπος.

τὴν αἰπύνωτον] B. τὴν ὑψηλήν. ἀμφὶ] περί.

v. 831. θῶκος] A. θρόνος τοῦ Θεσπρωτοῦ Διός.

Θεσπρωτοῦ Διὸς] B. ἀπὸ Θεσπρωτίδος γῆς ὠνομασμένου.

v. 832. προσήγοροι] A. αἱ προσαγορεύουσαι καὶ μαντευόμεναι δρύες, αἱ ἔμφωνοι (ἄπιστον γὰρ τέρας τὸ τὰς δρῦς ἐκπέμπειν φωνὰς) ὑφ' ὧν μαντεῖον ἐξῆλθε ***) σοι φανερῶς, καὶ οὐκ αἰνιγματωδῶς, ὅτι μέλλεις γενέσθαι γυνὴ τοῦ Διός.

τέρας τ' ἄπιστον αἱ προσήγοροι δρύες] B. ἀπιστοῦσι γὰρ οἱ ἄνθρωποι εἶναι δρῦν φωνικήν, καὶ ἰδόντες ἐκπλήττονται. Τὸ δὲ προσήγοροι ἀντὶ τοῦ φονικαί.

v. 833. ὑφ' ὧν] B. δρυῶν. λαμπρῶς] φανερά. αἰνικτηρίως] αἰνιγματωδῶς καὶ ἀσαφῶς.

v. 834. προσηγορεύθης] B. ἐκλήθης. κλεινὴ δάμαρ] ἔνδοξος γυνή.

---

*) Ita scribendum pro vulg. περὶ τῆς λύπης, πλάνης. *Pauw.*

**) ex emend. Abreschii pro vulg. μεταξὺ Θετταλίαν καὶ Αἰτωλίαν.

***) ἐξῆλθε conj. *Heath.* quod pro vulg. ἐξέλθῃ recipere non dubitavi.

v. 835. προςσαίνει] A. Εἰς μνήμην ἔρχεται καὶ εὐφραίνει σε, διὰ τὸ εἶναι ἀληθές. Ἄλλως. Προςσαίνει, ὑπομιμνήσκει καὶ εὐφραίνει σε. Χαίρει γὰρ ὀνομασθεῖσα γυνὴ τοῦ Διός.

τῶνδε] B. ἐκ τούτων. προςσαίνει] κολακεύει. Τοῦτο διὰ μέσου· λέγει δὲ ὅτι προςσαίνει σέ τι τούτων ἀντὶ τοῦ θέλγει καὶ κατέχει καὶ οὐκ ἄλλης τινὸς ἢ τοῦ ταῦτα γνωρίζεις πάθη.

v. 836. οἰστρήσασα] B. ὑπὸ οἴστρου βακχευθεῖσα.

v. 837. μέγαν κόλπον Ῥέας] A. ἐντεῦθεν καὶ ἀπὸ τούτου παραγενομένη, τὴν παραθαλασσίαν ὁδὸν ἐβάδισας πρὸς τὸν μέγαν κόλπον τῆς Ῥέας. Ἀφ' οὗ κλυδωνίζῃ ἐν πλανωμένοις δρόμοις. Λέγει δὲ τὸν νῦν καλούμενον Ἰόνιον· πάλαι γὰρ οὗτος Ῥέας κόλπος ἐλέγετο. Καὶ Ἀπολλώνιος *) κρονίην ἅλα τὸν Ἰόνιόν φησιν· οὕτω γὰρ ἐκαλεῖτο.

κέλευθον ἦξας] B. ὁδὸν ἦλθες. κόλπον Ῥέας] τὸν Ἰόνιον κόλπον, ἀπὸ τοῦ ἐκεῖσε τὴν Ῥέαν τιμᾶσθαι.

v. 838. ἀφ' οὗ] B. καιροῦ, ἢ τοῦ Ἰονίου. πολυπλάγκτοισι] πολυστρόφοις.

v. 839. χρόνον δὲ τὸν μέλλοντα] A. ἀντὶ τοῦ ὕστερον, ὁ θαλάσσιος οὗτος κόλπος Ἰόνιον πέλαγος ὀνομασθήσεται ἀπὸ σοῦ, μνημόνευμα τῆς σῆς πορείας.

χρόνον μέλλοντα] B. εἰς τόν. πόντιος μυχὸς] τῆς θαλάσσης τὸ βάθος.

v. 840. ἐπίστασ'] B. γίνωσκε. κεκλήσεται] ὀνομασθήσεται.

v. 841. πορείας] B. διαβάσεως. μνῆμα] μνήμην.

v. 842. φρενὸς] B. διανοίας.

v. 843. τοῦ πεφασμένου] A. τοῦ φανεροῦ. Ἀντὶ τοῦ, καὶ τὰ κρυπτὰ οἶδεν ἡ ἐμὴ φρήν.

ὡς δέρκεται] B. ὅτι βλέπει. τοῦ πεφασμένου] τοῦ φανέντος.

---

*) Argonaut. v. 597.

v. 844. Φράσω] B. εἴπω.

v. 845. ἐς ταυτὸν] B. ἐκεῖσε ὅθεν τοὺς λόγους ἀφῆκα.

v. 846. ἔστιν πόλις Κάνωβος] A. ἀναχρονισμός. Ἔστι δὲ καὶ σχῆμα διηγηματικὸν τῆς τῶν Αἰγυπτίων χθονός, οὐχὶ πάσης.

ἔστι] B. ὑπάρχει. Κάνωβος] ὀνομαζομένη. Κάνωβος ἦν κυβερνήτης τῶν νεῶν Μενελάου, ὃν μετὰ τὴν ἐκ Τροίας ἀπόβασιν ἐν τούτῳ τῷ τόπῳ ὄφις δακὼν ἀναιρεῖ. Καὶ Μενέλαος νεὼν *) αὐτοῦ καὶ πόλιν κτίζει ἐπώνυμον. ἐσχάτῃ χθονὸς] τελευταία τῆς γῆς.

v. 847. προσχώματι] A. σημείωσαι ὅτι προσχώματα λέγονται οἱ ἀναχωματισμοὶ καὶ οἱονεὶ ὑπερανεστηκότες τόποι. Λέγεται δὲ πρόσχωμα ἐκεῖνο ἔνθα καταρρέει τὸ ὕδωρ, καὶ ἰλὺν περιττὴν καὶ ψάμμον σωρηδὸν ἐπιτίθησιν. Ἄλλως. Ἐν ὑψηλῷ γάρ ἐστι προσχώματι, τῷ ὑπὸ τοῦ ποταμοῦ ἐτησίῳ προσθήματι τοῦ χώματος.

v. 848. ἔμφρονα] A. ἀνθρωπόμορφον.

ἐνταῦθα] B. ἐν τῷ στόματι τοῦ Νείλου.

v. 849. ἐπαφῶν] B. ἐφαψάμενος. ἀταρβεῖ] χωρὶς φόβου. Τὸ ἀταρβεῖ χειρὶ λέγει ἀντὶ τοῦ οὐκ ἐπὶ κακῷ, ἀλλ' ἐπὶ καλῷ αὐτῆς θίγων.

v. 850. τῶν] B. ἀπό. γεννημάτων] τῶν παίδων. Γεννημάτων Διὸς λέγει περὶ τῆς ἐπαφῆς, αὕτη γὰρ ἀντὶ σπέρματος ἤρκεσεν.

v. 851. κελαινὸν] A. μελάντεραι γάρ εἰσιν οἱ Αἰγύπτιοι.

τέξεις] B. μέλλεις γεννῆσαι. κελαινὸν] τὸν μέλανα. καρπώσεται] κτήσεται.

v. 852. χθόνα] B. τὴν Αἴγυπτον καὶ τὴν ἄλλην Αἰθιοπίαν.

v. 853. πέμπτη] A. πέμπτη δέ, φησί, γέννα ἀπὸ τοῦ Ἐπάφου πεντήκοντα παῖδας ἔχουσα πάλιν μὴ θέ-

---

*) νεὼν dedi cum *Arnaldo* et *Pauwio* pro vulg. ναόν.

λοῦσα παραγενήσεται εἰς τὸ Ἄργος, φεύγουσα τὸν συγγενικὸν γάμον τῶν ἀνεψιῶν. Πέμπτην δὲ γενεὰν λέγει ἀπὸ τοῦ Ἐπάφου τὰς πεντήκοντα τοῦ Δαναοῦ θυγατέρας. Πρώτη γενεὰ Ἔπαφος, οὗ Λιβύη, ἧς Βῆλος, οὗ Δαναός, οὗ αἱ πεντήκοντα θυγατέρες, ἃς ὁ ποιητὴς πέμπτην γενεὰν ἀπὸ τοῦ Ἐπάφου ὠνόμασεν. Ἱστορεῖται δὲ ἀδελφοὺς εἶναι Αἴγυπτον καὶ Δαναόν, παῖδας δὲ Ἀγχινόης καὶ Βήλου υἱοῦ Ποσειδῶνος καὶ Λιβύης, ἀφ᾿ ἧς καὶ ἡ χώρα Λιβύη ὠνόμασται, ὃς Βῆλος τὸν μὲν ἕνα παῖδα αὐτοῦ Δαναὸν ἐν Αἰγύπτῳ κατῴκισεν, τὸν δὲ ἕτερον ἤγουν τὸν Αἴγυπτον ἐν Ἀραβίᾳ. Ὅστις τοὺς Μελάμποδας χειρωσάμενος, ἀφ᾿ ἑαυτοῦ τὴν χώραν αὐτῶν ὠνόμασεν Αἴγυπτον. Γίνονται δὲ ἐκ πολλῶν γυναικῶν Αἰγύπτῳ μὲν πεντήκοντα παῖδες, Δαναῷ δὲ πεντήκοντα θυγατέρες. Ἐπεὶ δὲ μέσον αὐτῶν φιλονεικία ἐγένετο, ἑκάστου τῆς ἀρχῆς ὄγκον ἐφέλκοντος πρὸς ἑαυτόν, φοβηθεὶς ὁ Δαναὸς μήπως ἀναιρεθήσεται ὑπὸ τῶν υἱῶν Αἰγύπτου (ἦν γὰρ χρησμὸς αὐτῷ δοθεὶς πάλαι περὶ τούτου) ναῦν κατεσκεύασε τὴν κληθεῖσαν πεντηκόντορον, ὡς ἀπὸ τοῦ ἀριθμοῦ ὧν ἐγέννησε θυγατέρων· ᾗ τὰς οἰκείας κόρας ἐνθέμενος, εἰς τὸ Ἄργος ἀπῄει, φυγὼν τὸν ἀδελφὸν αὐτοῦ Αἴγυπτον· ὅς, ὡς εἴπομεν ἄνωθεν, εἶχεν υἱοὺς πεντήκοντα, οἳ τὰς τοῦ Δαναοῦ θυγατέρας ἐζήτουν, ἐπὶ τῷ συνοικῆσαι αὐταῖς. Καὶ τὸ μὲν ἀληθὲς τῆς ἱστορίας οὕτως ἔχει. Ὁ δὲ παρὼν ποιητής φησι, διὰ τοῦτο ἐλεύσεται εἰς τὸ Ἄργος ἡ θηλύσπορος γέννα, ἡ πέμπτη ἀπὸ Ἐπάφου, ἤγουν αἱ πεντήκοντα θυγατέρες τοῦ Δαναοῦ, διὰ τὸ μὴ θέλειν συνελθεῖν εἰς γάμον τοῖς ἐξαδέλφοις αὐτῶν. Τέως οὖν ὕστερον σπεισαμένων τοῦ τε Δαναοῦ καὶ Αἰγύπτου, ἔδωκεν ὁ Δαναὸς τὰς οἰκείας θυγατέρας εἰς γάμον τοῖς υἱοῖς Αἰγύπτου. Ἐπεὶ δὲ ἐπτοεῖτο, κατὰ τὸν χρησμόν, ὅτι ἀναιρεθήσεται ὑπὸ ἑνὸς ἐκείνων, παρήγγειλε ταῖς θυγατράσιν αὐτοῦ ἀνελεῖν νυκτὸς τοὺς νυμφίους. Καὶ αἱ μὲν ἄλλαι πᾶσαι οὕτως ἐποίησαν, μία δὲ θελχθεῖσα ὑπὸ τοῦ ἔρωτος, οὐκ ἀνεῖλε τὸν ἑαυτῆς νυμφίον, ἀλλ᾿ εἴασε ζῆν· περὶ ἧς καὶ ὁ ποιητής φησι.

πέμπτη δ᾿ ἀπ᾿ αὐτοῦ γέννα] B. πέμπτην γενεὰν τὸν Δαναὸν λέγει φεύγοντα εἰς Ἄργος διὰ τὸ μὴ βούλεσθαι τῶν

αὐτοῦ θυγατέρων γάμον συνάψαι τοῖς αὐτοῦ ἀδελφοῦ Αἰγύπτου παισί. Γεγράφαμεν δὲ τὴν ἱστορίαν ἐν τῇ Εὐριπίδου Ἑκάβῃ.

v. 854. πάλιν] B. ἐκ δευτέρου.

v. 855. Θηλύσπορος] B. ὁ Δαναός.

v. 856. ἀνεψιῶν] B. ἐξαδέλφων. ἐπτοημένοι] περιεσπασμένοι, καὶ πεφροντισμένοι.

v. 857. κίρκοι πελειῶν] A. πελείας τὰς νύμφας, ἤτοι τὰς τοῦ Δαναοῦ θυγατέρας (ἀφροδισιαστικὸν γὰρ τὸ ὄρνεον τοῦτο ἡ περιστερὰ) κίρκους δὲ, ἤτοι ἀετοὺς, τοὺς νυμφίους, ἤγουν τοὺς υἱοὺς τοῦ Αἰγύπτου, διὰ τὸ ἁρπακτικὸν, λέγει.

κίρκοι] B. ὀξύπτεροι ἀετοί. πελειῶν] περιστερῶν. οὐ μακρὰν] οὐ πολύ. λελειμμένοι] ἐναπολειφθέντες.

v. 858. θηρεύσοντες] B. κυνηγήσοντες. Ἐκεῖνοι γὰρ ἠγρεύθησαν ὑπ' αὐταῖς. οὐ θηρασίμους] οὐκ ἀξίους ὄντας ὥστε θηραθῆναι ἤγουν γενέσθαι *).

v. 859. Φθόνον δὲ σωμάτων] A. αὐτοῖς σώμασι τιμωρηθήσονται θεῶν νεμεσησάντων αὐτοῖς.

Φθόνον δὲ σωμάτων ἕξει θεὸς] B. Φθονήσας τοῖς αὐτοῖς σώματα, ἀπώλεσεν αὐτά.

v. 860. Πελασγία] B. ἡ γῆ, ἤτοι τὸ Ἄργος. δέξεται] τὰ αὐτῶν σώματα. θηλυκτόνῳ] αἱ Δαναΐδες γὰρ αὐτοὺς ὤλεσαν ἐν νυκτί.

v. 861. νυκτιφρουρήτῳ] A. τῷ νυκτὸς ἐπιτηρήσαντι. Νυκτὸς γὰρ ἀνεῖλον αὐτούς.

Ἄρει δαμέντων] B. πολέμῳ δαμασθέντων. νυκτιφρουρήτῳ] ἐν τῇ νυκτὶ φρουρουμένῳ.

v. 862. αἰῶνος] B. τῆς κατ' αὐτὸν ζωῆς.

v. 863. δίθηκτον] B. δίστομον. βάψασα] θήσασα **).

---

*) forsan ἑλέσθαι Abresch.

**) *Abresch.* conj. δεύσασα.

v. 864. τοιάδ' ἐπ' ἐχθροὺς] A. ἡ Ἀφροδίτη ἐπιστάτις τῶν ἀφροδισίων ἐστίν· αὕτη γὰρ γάμων ἔφορος, ἡδείας τὰς συνουσίας ποιοῦσα. Νῦν δὲ λέγει ὁ Προμηθεὺς ὅτι αἰτία θανάτου γένοιτο Ἀφροδίτη τοῖς ἐμοῖς ἐχθροῖς, ἤγουν τοῖς τοῦ Αἰγύπτου υἱοῖς. Ἐχθροὺς δὲ καλεῖ αὐτούς, ὡς καταγομένους ἀπὸ τοῦ Διός.

τοιὰ] B. τοιαύτη. Κύπρις] Ἀφροδίτη, ἔρως.

v. 865. μίαν δὲ] B. τὴν Ὑπερμνήστραν. Αὕτη γὰρ μιγεῖσα ἔλεον ἔσχεν αὐτοῦ. ἵμερος θέλξει.] ἐπιθυμία κρατήσει.

v. 866. σύνευνον] B. τὸν Λιγγέα. ἀπαμβλυνθήσεται] ἐξασθενήσει κτεῖναι τὸν ἄνδρα.

v. 867. δυεῖν] B. δυῶν. βουλήσεται] θελήσει.

v. 868. κλύειν] B. ὀνομάζεσθαι. ἢ] παρό.

v. 869. βασιλικὸν] A. τὸν Ἄβαντα.

v. 870. τορῶς] B. σαφῶς καὶ καταληπτῶς.

v. 871. σπορᾶς] B. ἐκ τῆς. φύσεται θρασὺς] γεννηθήσεται ἰσχυρὸς Ἡρακλῆς.

v. 872. κλεινὸς] B. ἔνδοξος.

v. 873. λύσει] B. ἐλευθερώσει τοξεύσας τοὐμὸν ἧπαρ ἐσθίοντα ἀετόν· τοῦτο διὰ μέσου εἴρηται.

v. 874. τιτανὶς Θέμις] B. ἡ καταχθόνιος δαίμων.

v. 875. ὅπως δὲ χ' ὤπη] A. ὅπως δὲ ἔχω τύχης καὶ δι' ἣν αἰτίαν λυθήσομαι, μακροῦ καὶ πολλοῦ λόγου ἂν τοῦτο εἴη.

ὅπως δὲ] B. γενήσεται ταῦτα. Τὸ ὅπως καὶ τὸ ὅπη ἀντὶ τοῦ πῶς ἐστίν, οὐκ ἐκ παραλλήλου, ἀλλὰ τὸ μὲν πρῶτον ἔμφασιν ἔχει, τὸ καθ' ὅν τινα τρόπον ἡ λύσις ἔσται, εἴτε δι' ὅπλων, εἴτε διὰ χειρῶν· τὸ δὲ δεύτερον παριστᾷ, τί βουλόμενος Ἡρακλῆς παραγένηται Καυκάσῳ. δεῖ] χρεία ἐστί.

v. 876. ἐκμαθοῦσα] B. ἐξ ἐμοῦ.

v. 877. ἐλελελελελεῦ] A. θρηνῶδες ἐπίφθεγμα.

ἐλελελελεῦ] B. φεῦ φεῦ.

v. 878. σφάκελος] A. σπασμὸς τοῦ ἐγκεφάλου.

σφάκελος] B. πάθος κατὰ τὸν ἐγκέφαλον *).

v. 879. οἴστρου δ' ἄρδις] A. ἡ ἀκμὴ τοῦ πάθους.

θάλπουσι] B. ὑποκαίουσι **). ἄρδις] βέλος.

v. 880. ἄπυρος] A. πολύπυρος, διὰ τὸ σφοδρὸν καὶ πολὺ τοῦ πάθους· ἢ ἄπυρος δίκην πυρὸς ἐμπιπρῶσα καὶ κατακαίουσα, καίτοι μὴ ἔχουσα πῦρ.

χρίει] B. κεντεῖ, νύττει.

v. 881. καρδία δὲ φόβῳ] A. ἀντὶ τοῦ, παράφρων γίνεται ὑπὸ τοῦ φόβου, ἡ καρδία μου διαπαντὸς ἐκ τοῦ φόβου λακτίζει, σφύζει καὶ πάλλεται καὶ λακτίζει τὴν φρένα μου· περὶ γὰρ τὴν καρδίαν αἱ φρένες εἰσί. Τινὲς δὲ λακτίζει φρένα φασὶν ἀντὶ τοῦ ποιεῖ παραφρονεῖν ὑπὸ τοῦ πάθους.

καρδία δὲ φόβῳ φρένα λακτίζει] B. τύπτει. Φόβου γὰρ τῇ καρδίᾳ συμβάντος, ἤδε ***) παλλομένη τὰς γείτονας φρένας πλήττει. Φρένες δέ εἰσι ὁ περὶ τὸ ἧπαρ ὑμενοειδὴς τυλιγμός. Ἢ ὅτι τῆς καρδίας πασχούσης ἀχλὺς ἀναθυμιάσεως πρὸς τὸν ἐγκέφαλον ἀνιοῦσα συνθολεῖ τὰς φρένας καὶ τοὺ καθεστηκότες ἐξίστησι.

v. 882. τροχοδινεῖται] A. οὐκ εἰμὶ ἐν τῷ καθεστῶτι.

τροχοδινεῖται] B. περιφέρεται. ἑλίγδην] περιεστραμμένως.

v. 883. ἔξω δὲ δρόμου] A. τῆς ὀρθῆς ὁδοῦ.

δρόμου] A. τοῦ καθεστηκότος.

v. 884. γλώσσης ἀκρατής] A. ὑπὸ τῆς μανίας οὐ κατέχουσα τὴν γλῶσσαν, ἀλλὰ παίουσα.

πνευ-

*) vulg. ἐγκέφαλον ὑπεκκαίουσι. Sed ὑπεκκαίουσι, bene monet Heathius ex ſequentibus huc irrepſiſſe. Idem viderat *Abreſch*. Itaque delevi.

**) ἐκκαίουσι conj. *Pauw*. improbante *Heathio*.

***) ἤδε ſecutus *Heathium*, repoſui pro ἡδέ.

πνεύματι μάργῳ] B. διὰ τῆς φορᾶς τῆς μανικῆς τῆς ἐμῆς. γλώσσης ἀκρατὴς] οὖσα.

v. 885. θολεροὶ δὲ λόγοι] A. τεταραγμένοι δὲ λόγοι, ὡς ἔτυχε, προσπαίουσι τῷ τῶν κακῶν κλύδωνι. Τοῦτ' ἔστιν, ὑπὸ ὀδύνης πολλὰ μάταια λαλῶ.

θολεροὶ δὲ λόγοι] B. λόγοι δὲ προσκρούουσι πρὸς κύμασι στυγνῆς καὶ χαλεπῆς μανίας θολεροὶ καὶ συγκεχυμένοι. Τουτέστιν ὑπὸ τοῦ χειμῶνος τῆς μανίας ἀναταραχθεῖσα τὸν λογισμὸν θολεροὺς λόγους προΐεται. θολεροὶ] τεταραγμένοι, ἄδηλοι. παίουσιν εἰκῇ] πράττουσι μάτην.

v. 886. στυγνῆς πρὸς κύμασιν ἄτης] B. λυπηρᾶς κινήμασιν βλάβης.

v. 887. Ἦ σοφὸς] A. τὸν Πιττακὸν λέγει, ὅν ποτε τὶς βιαζόμενος ὑπὸ δύο γυναικῶν, τῆς μὲν μιᾶς οὔσης πλουσίας, τῆς δὲ ἑτέρας, πενεστέρας, καὶ τοῦ γένους αὐτοῦ ἀξίας, καὶ ἀπορῶν ποίας κληθείη ἀνήρ, ἠρώτησε ποίᾳ χρήσεται γυναικί· τοῦ δὲ εἰπόντος, μέτιθι πρὸς τοὺς παῖδας τοὺς πλησίον ἡμῖν τοῖς βέμβιξι παίζοντας (ὅ ἐστι τοῖς στρόμβοις) καὶ ἀπ' αὐτῶν μαθήσῃ ποίᾳ ἂν χρήσαιο γυναικί· ἀπελθὼν ἐκεῖνος, ἠκροάσατο τῶν παίδων λεγόντων πρὸς τὴν οἰκείαν στρόμβαν, τὴν κατὰ σαυτὸν ἔλαυνε· καὶ αἰσθόμενος τοῦ λόγου τῶν παίδων, τὴν μὲν πλουσιωτέραν ἀφῆκε, τῇ τε πενεστέρᾳ ἐχρήσατο γυναικί, τῇ καὶ τοῦ γένους αὐτοῦ ἀξίᾳ. Τοῦτο οὖν ὁ χορὸς ἐνθυμούμενος, λέγει ὅτι σοφὸς ἦν ἐκεῖνος ὁ εἰπὼν τὸ ἐπὶ μακρῷ χρόνῳ καὶ ἀριστεύειν καὶ εὐημερεῖν τοὺς τοῖς ἀξίοις τοῦ γένους αὐτῶν ἐπιγαμβρεύοντας· ἐὰν γὰρ ἡ Ἰὼ συνεμίγη τινὶ ἀνδρὶ ἀξίῳ ὄντι τοῦ γένους αὐτῆς, καὶ πόῤῥω ἦν τῆς μίξεως τοῦ Διός, οὐκ ἂν νῦν ἐπλανᾶτο.

cf. Diog. Laert. 1, 80 ... Plut. 6, 1 p. 150.

ἐδοκίμασ'. ἐπεὶ μέγα τὸ ξ' ἔβα στασεις ἵλε πάντη:

ἦ] B. ὄντως. ἦν] ὑπῆρχε.

v. 888. ὃς πρῶτος ἐν γνώμᾳ] B. καὶ καταρχὰς ἐνόησε τοῦτο.

v. 890. ὡς τὸ κηδεῦσαι] A. καὶ Πίνδαρος *)· Χρὴ δὲ καθ' ἑαυτὸν παντὸς ὁρᾶν μέτρον. Εὐναὶ δὲ παράτροποι

*) Pyth. 2. v. 64. 65.

ἐς κακότητα ἀθρόαν ἔβαλον. καθ' ἑαυτὸν] κατὰ τὰ ἴδια μέτρα.

ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν] B. ὅτι συγγένειαν ποιήσασθαι οἷος αὐτός ἐστι. ἀριστεύει μακρῷ] ἄριστόν ἐστι καταπολύ.

v. 891. πλούτῳ διαθρυπτομένων] A. ἐντρυφώντων. διαθρυπτομένων] B. τρυφώντων, σοβούντων.

v. 892. μεγαλυνομένων] B. μεταιρομένων καὶ μεγαλαυχούντων.

v. 893. χερνήταν] A. τροπικόν ἐστιν ἐκ τῶν ἀπόρων γυναικῶν, αἳ οἰκείαις χερσὶ νήθουσιν ἔρια, καὶ ἑαυταῖς ἐκ τούτων τροφὴν πορίζονται. Ἄλλως. Εὐτελῆ, διὰ τῶν χειρῶν νήθοντα, ἢ ἄλλως ἐργαζόμενον. Κυρίως δὲ ἐπὶ γυναικός, ἡ νήθουσα ταῖς χερσὶ τὰ πρὸς τροφὴν κομίζεται.

χερνήταν] B. χειροτεχνίτην. ἐραστεῦσαι] ἐπιθυμῆσαι· τοῦτο δὲ λέγει διὰ τὴν Ἰὼ ὁμιλήσασαν Διῒ τὰ ἐρωτικά, διὰ τοῦτο ταῦτα παθοῦσαν *).

v. 895. μήποτε μήποτέ μ' ὦ μοῖραι] A. ὁ Χορός φησι βλέπων τὴν Ἰὼ κακῶς πάσχουσαν διὰ τὸ ἐρασθῆναι αὐτῆς τὰ Δία, εἴθε ὦ μοῖραι μὴ ἴδοιτέ με ποτὲ ὑπάρχουσαν εὐνάτειραν καὶ σύγκοιτον τοῦ Διός· ἤτοι μὴ ἐρασθείη μου ὁ Ζεύς ποτε, μηδὲ πλασθείην, καὶ προσπελάσω καὶ προσεγγίσω τινὶ γαμέτῃ τῶν ἐξ οὐρανοῦ. Ἤγουν τινὶ οὐρανίῳ θεῷ ἔχοντι γυναῖκα· τοῦτο γάρ ἐστι τὸ γαμέτα. Ἢ, μηδὲ δι' ἔχθρας γενοίμην ὁμευνέτῃ τινὶ τῶν οὐρανίων. Φοβοῦμαι γὰρ βλέπουσα τὴν τῆς Ἰοῦς παρθενίαν τὴν ἀστεργάνορα. Ἣν οὐ στέργει ὁ γενόμενος αὐτῆς ἀνήρ· ἤ, τὴν ὑπὸ ἀρσένων λίαν στεργομένην· τῷ γάμῳ τοῦ Διὸς δαπτομένην, καὶ ἐν ἀλητείαις καὶ πλάναις πόνων δυσπλάγχνοις Ἥρας, ἤτοι ἀφορήτοις, ἃς οὔτις ἐνεγκεῖν ἐν τοῖς αὐτοῦ σπλάγχνοις δύναιτο. Μηδὲ ὁ ἔρως τῶν κρειττόνων θεῶν ἐπίδοι με. Εἶτα

*) Recepi *Abreſchii* correctionem. Antea ſic legebatur: ὁμιλήσασαν Διῒ, τὰ ἐρωτικὰ διὰ τ. τ. παθοῦσα.

παρακατιών, ἐφερμηνεύων τὸ ἔρως, φησὶν, ὅς ἐστιν ὄμμα ἄφυκτον.

v. 896. ξυνάτειραν] B. ἔγκοιτον. πέλουσαν] ὑπάρχουσαν.

v. 897. πλασθείην] B. πλησιάσαιμι.

v. 898. ταρβῶ γὰρ] B. ἡ δὲ σύνταξις οὕτω, ταρβῶ γὰρ καὶ *) φοβοῦμαι τὴν ἀστεργάνορα παρθενίαν τῆς Ἰοῦς· εἰσορῶσα αὐτὴν δαπτομένην καὶ δαμαζομένην ἐν τῷ γάμῳ τοῦ Διός. Ἢ τὸ ἀστεργάνορα ἐπίθετον παρθενίας· πᾶσα γὰρ παρθενία οὐ στέργει τοὺς ἄνδρας, ἡ γὰρ μὴ πρὸς αὐτοὺς τὸ παράπαν συνάφεια οὐκ ἄλλο οὐδὲν ἢ παρθενία ἐστίν. Ἢ πρὸς μὲν ταρβῶ ὑποστικτέον, παρὰ δὲ τὸ ὁρῶσα συναπτέον τὸ ἀστεργάνορα παρθενίαν. ἀστεργάνορα] ἣν οὐκ ἔστερξεν ὁ ἀνὴρ αὐτῆς ὁ Ζεύς.

v. 899. γάμῳ δαπτομέναν] A. ἅμα τῷ γάμῳ· λείπει γὰρ τὸ ἅμα.

γάμῳ δαπτομέναν] B. τὴν παρθενίαν δηλοῖ ἀφανιζομένην.

v. 900. δυσπλάγχνοις Ἥρας ἀλατείαισι] B. κακοσπλάγχναις ἤτοι ὀργίλαις πλάναις ἃς Ἰοῖ περιέβαλλε.

v. 901. ὁμαλὸς] B. ἥσυχος, κακῶν ἄπειρος.

v. 902. ἄφοβος] B. εἰμί. οὐ δέδια] οὐ φοβοῦμαι.

v. 903. ἄφυκτον] B. ὃ οὐδεὶς δύναται φυγεῖν. προσδέρκοιτο] θεάσαιτο.

v. 904. ἀπόλεμος] A. ἀκαταμάχητος. Ὃν καὶ πολλὰ μηχανησαμένη οὐ φεύξομαι. Ἄλλως. Ὁ πρὸς κρείσσονας πόλεμος, ἀκαταμάχητος. ἄπορα πόριμος] οἷον, οὗτος ὁ πόλεμος ὁ ἐρωτικός, ἔστι πόρον διδοὺς καὶ εἰς τὰ ἄπορα, καὶ οἷον εἰπεῖν, καὶ τοῖς ἀδυνάτοις ἐπιχειρῶν, καὶ πόριμος αὐτοῖς. Ψαύουσι γὰρ καὶ τῶν ἀψαύστων οἱ λίκνοι **) οἱ ὀφθαλμοί.

---

*) Vulg. ταρβῶ καὶ γὰρ καί. Prius καὶ expungendum esse vidit *Heathius*.

**) Legendum sine dubio λίχνοι.

ἀπόλεμος] B. ἄμαχος.

v. 905. πόριμος] B. ὁ τῶν θεῶν. Ἐφευρεταὶ μηχανῶν· ἔνθα γὰρ οὐ δύναταί τις εὑρεῖν μηχανήν, οἱ θεοὶ εὑρίσκουσιν ἐρῶντες· καὶ μαρτυρεῖ Ζεύς, χρυσὸς γενόμενος καὶ καταῤῥυεὶς ἀπὸ τοῦ τέγους πρὸς τὴν Ἀκρισίου Δανάην ἐντὸς οὖσαν πύργου χαλκοῦ. Ὁ γὰρ πατὴρ Ἀκρίσιος χρησμὸν λαβὼν ὡς ὁ γεννηθεὶς ἐκ τῆς θυγατρὸς αὐτοῦ καθελεῖ *) αὐτὸν τῆς ἀρχῆς, καθεῖρξε τὴν παῖδα.

v. 906. μῆτιν] B. βουλήν. ὅτη] ὅπου.

v. 907. ἦ μὴν ἔτι] A. ὅπερ προείρηκεν Προμηθεὺς ἐν οἷς ἔλεγεν ὅτι ὁ Ζεὺς ἐκβληθήσεται τῆς βασιλείας, εἰς γάμον συνελθὼν τῇ Θέτιδι, τοῦτο καὶ ἐνταῦθα πάλιν φησί. Λέγει οὖν ὅτι ὄντως δὴ ὁ Ζεύς, καίπερ αὐθάδης καὶ ἐπηρμένος ὢν καὶ ὑπέρογκος, ἔσται ταπεινός. Ἑτοιμάζεται γὰρ γάμον γαμεῖν, ὃς αὐτὸν βασιλείας ῥίψει. Καὶ τότε πληρωθήσεται ἡ τοῦ Κρόνου κατάρα, ἣν εἶπεν ἐπ' αὐτῷ τῷ Διΐ, ἐκπίπτοντος τῶν μακροχρονίων καὶ παλαιῶν θρόνων τῆς βασιλείας. Ἀποτροπὴν δὲ καὶ ἐκφυγὴν καὶ προφύλαξιν τῶν ἀπὸ τοῦ εἰρημένου γάμου κακοπαθειῶν μελλουσῶν ἐπελθεῖν αὐτῷ, οὐδεὶς τῶν θεῶν ἰσχύσει ἀποδεῖξαι χωρὶς ἐμοῦ. Ἐγὼ ταῦτα γινώσκω, καὶ ποίῳ τρόπῳ γενήσεται. Πρὸς ταῦτα οὖν καθήσθω νῦν ἐν τοῖς ὑψηλοῖς καὶ τῆς γῆς ὑπεραιρομένοις τόποις (ἢ ἐν τῷ ὑψηλῷ Ὀλύμπῳ), πιστὸς καὶ θαῤῥῶν, ἢ πυστός, περίπυστος καὶ διάδηλος, καὶ ἔντιμος ἐν βρονταῖς, ἤγουν διὰ τὸ ποιεῖν βροντάς, μεγαλυνόμενος, καὶ ἐκπέμπων βέλος πυρπνόον καὶ πυρὸς πνέον· λέγει δὲ τὸν κεραυνόν· οὐδὲν γὰρ ταῦτα αὐτῷ βοηθήσει εἰς τὸ μὴ καταπεσεῖν πτώματα ἀνυπομόνητα καὶ ἀναφόρητα. Τοιοῦτον ἀντίπαλον καὶ ἀντίμαχον νῦν εὐτρεπίζει αὐτὸς ἑαυτῷ, ὅστις καὶ ὑπὲρ κεραυνὸν καταφλέξει αὐτόν, καὶ τὸν γενναῖον κτύπον τῆς βροντῆς καὶ τὴν τρίαιναν, αἰχμὴν τοῦ Ποσειδῶνος, δι' ἧς σαλεύει τὴν γῆν, διασκεδάσει καὶ ἀφανίσει καὶ διαλύσει. Λέγει δὲ ὃν ἔμελλε γεννῆσαι ὁ Ζεὺς μιγεὶς τῇ Θέτιδι.

---

*) Ita *Heath.* pro vulg. καθελῇ.

ἦ μὴν] B. ὄντως. αὐθάδης] ἀκρατόστομος.

v. 908. ἔσται] B. γενήσεται. ἐξαρτύεται] ἑτοιμάζεται, κατασκευάζει.

v. 909. ὃς] B. ὁ γάμος.

v. 910. ἄϊστον] B. ἀφανῆ.

v. 911. κρανθήσεται] B. τελεσθήσεται.

v. 912. ἐκπιτνῶν] B. ὑπ' αὐτοῦ ἐκπίπτων. ἠρᾶτο] αὐτῷ. δηναιῶν] τῶν παλαιῶν, ἀρχαίων.

v. 913. μόχθων ἐκτροπὴν] B. δυστυχιῶν ἐκφυγήν.

v. 914. αὐτῷ] B. τῷ Διΐ. σαφῶς] φανερῶς.

v. 915. οἶδα] B. γινώσκω. ᾧ τρόπῳ] ἐκφύγοι. κ̀ ὧι τρόπωι:

v. 916. θαρσῶν] B. ἐπαιρόμενος καὶ κομπάζων. τοῖς πεδαρσίοις κτύποις] ταῖς ἐν τῷ ὑψηλῷ ὑπ' αὐτοῦ γινομέναις βρονταῖς. τῆι βροντῆι κ̀ τῶ κεραυνῶι:

v. 917. πιστὸς] B. θαρσαλέος, βέβαιος ὤν. τινάσσων] κινῶν. πυρπνόον βέλος] τὸν κεραυνόν.

v. 918. ταῦτ'] B. αἱ βρονταὶ καὶ ὁ κεραυνός. μὴ δυνάμενα ὑπ[illegible]θῆναι:

v. 919. οὐκ ἀνασχετὰ] B. ἀλλ' ἀφόρητα.

v. 920. τοῖον] B. τοιοῦτον. παρασκευάζεται] εὐτρεπίζει. τὸ τεχνησόμενον ἐξ αὐτοῦ:

v. 921. δυσμαχώτατον] B. δυσκαταγώνιστον.

v. 922. ὃς δὴ κεραυνοῦ] A. ταῦτα αἰνιγματωδῶς φησι, καὶ διὰ τοὺς Κύκλωπας τὸν Βρόντην καὶ τὸν Στερόπην, οἱ ἀδελφοὶ ἦσαν τοῦ Κρόνου τοῦ πατρὸς τοῦ Διός. Εἶχον δὲ πρὸς ἕνα μόνον ὀφθαλμὸν τοῖς μετώποις. Οὓς ὁ Κρόνος μὲν τῷ ταρτάρῳ προσέδησεν, ὡς ἐπιβούλους ὑποπτευόμενος. Ὁ δὲ Ζεὺς τῆς βασιλείας κρατήσας, τὸν μὲν πατέρα Κρόνον εἰς τάρταρον κατάγει, τοὺς δὲ εἰρημένους ἀνάγει καὶ συνεργοὺς τοῦ κράτους ἔχει· τὸν μέν, Βρόντην *) βροντὴν μηχανώμενον αὐτῷ· τὸν δὲ Στερόπην, ἀστραπήν, εἰς ἐκφόβησιν πάντων τῶν ἄλλων θεῶν. Φησὶν οὖν ὁ Προμηθεὺς ὅτι ὁ μέλλων γεννηθῆναι ἀπὸ τοῦ Διὸς συνευνασθέντος τῇ Θέτιδι, καὶ ὑστε-

*) Hoc Βρόντην auctore Heathio inserui.

ρον ὑπὲρ τὸν Στερόπην καὶ τὸν Βρόντην ἔσται. Ἐπεὶ δὲ ᾤετο καὶ τὸν Ποσειδῶνα βοηθήσειν ἂν*) αὐτῷ τῷ Διΐ, ὡς ἀδελφὸν αὐτοῦ ὄντα, φησὶν ὅτι οὐδὲ ἡ τὴν γῆν σαλεύουσα τρίαινα τοῦ Ποσειδῶνος ἔσται τῷ Διῒ εἰς βοήθειαν. Τρίαινας δὲ λέγουσι κρατεῖν τὸν Ποσειδῶνα, ἢ διὰ τὸ τρίτον στοιχεῖον εἶναι αὐτόν, ἢ διὰ τὸ εἰς τρία διαιρεῖσθαι τὸ ὕδωρ, εἰς ποτάμιον, εἰς θαλάσσιον, καὶ εἰς λιμναῖον.

κρεῖσσον] B. ἐπικρατέστερον.

v. 923. καρτερὸν] B. ἰσχυρόν.

v. 924. θαλασσίαν] B. ἐκ τῆς θαλάσσης. τινάκτειραν νόσον] δυναμένην ἀπλοῦν ἢ διδόναι **).

v. 925. τρίαιναν] B. κάμακα. σκεδᾷ] σκορπίσει.

v. 926. πταίσας] B. προσκρούσας. τῷδε πρὸς κακῷ] παρὰ τοῦ κακοῦ. Ἐμπέσῃ γὰρ ἂν τῇδε τῇ δυστυχίᾳ ἀπὸ τῆς κακίας αὐτοῦ. Ἢ τὸ πρὸς κακῷ ἀντὶ τοῦ ἐκ τοῦ προσπταῖσαι καὶ δυστυχῆσαι καὶ τῆς ἀρχῆς ἐκπεσεῖν. Πρὸς μὲν οὖν τὸ πρῶτον ὑπόστιξον εἰς τὸ πρὸς κακῷ, πρὸς δὲ τὸ δεύτερον εἰς τὸ τῷδε.

v. 927. ἄσσον] B. καλὸν ὑπάρχει. δίχα] κεχωρισμένως.

v. 928. ἐπίγλωσσα] A. τῇ γλώττῃ κατηγορεῖς, ἐποιωνίζῃ κατὰ τοῦ Διὸς ἃ βούλῃ γενέσθαι αὐτῷ. Ἔστι δὲ τό, ἐπίγλωσσα Διός, κατ' ἐρώτησιν.

χρήζεις] B. ἐπιποθεῖς. ἐπίγλωσσα] καταβοάς.

v. 929. ἅπερ] B. ἐκεῖνα λέγω.

v. 930. προσδοκᾷν] B. ἐλπίζειν. χρὴ] πρέπει.

v. 931. τῶνδε] B. ὧν λέγω. δυσλοφωτέρους] ἀφορητοτέρους καὶ δυσβαστακτοτέρους.

v. 932. ταρβεῖς] B. εἰς φόβον πίπτεις.

v. 933. μόρσιμον] B. μεμοιρασμένον.

*) Vulgo Ποσειδῶνα φοβηθῆναι, quod eleganti conjectura mutavit *Heathius* in βοηθήσειν ἄν. (Edit. Morell. βοηθῆσαι.) Eodem auctore post dedi τρίαινα pro vulg. τρίαιναν.

**) Legendum videtur: δυναμένην ἁπλοῦν ἢ διαδύνειν. Heath.

v. 934. ἀλλ' ἆθλον ἄν σοι] A. ἀλλὰ καὶ εἰ μή ἐστι σοὶ πεπρωμένον ἀποθανεῖν, πόροι, καὶ παράσχοι, ἤγουν δώσει σοι πόνον, ἄλλο *) ἀλγεινότερον καὶ λυπηρότερον τούτου οὗ νῦν πάσχεις. Ὥσπερ δὲ ὁ βελτίων τοῦ βελτίονος κλίνεται, καὶ ὁ καλλίων καλλίονος, ἔχουσι δὲ τὰς αἰτιατικὰς βελτίω καλλίω, οὕτω καὶ τὰ ἀλγίω αἰτιατική ἐστιν ἀπὸ τῆς ἀλγίων εὐθείας.

ἆθλον] B. ἣν μανθάνῃς κάματον **).

v. 935. ὡδ' οὖν ποιείτω] A. οὕτως ὑπερηφάνως καὶ ἀφόβως εἶπεν.

πάντα] B. ὅσα ἂν ποιήσει. προςδοκητὰ] ἐλπιστά.

v. 936. οἱ προςκυνοῦντες τὴν Ἀδράστειαν] A. οἱ σέβοντες οἱ τιμῶντες τὴν Ἀδράστειαν ἤτοι τὴν τύχην. τὴν Ἀδράστειαν] Δίκην τὴν Ἄδραστον τιμωρήσασαν. Θεὰ γάρ ἐστι τοὺς ὑπερηφάνους τιμωροῦσα. Ἄλλως. Παραινεῖ ποιεῖσθαι μήποτέ τις νεμεσήσῃ δικαίως αὐτῷ, ὡς τὸν Δία ὑβρίζοντι. Ἄλλως. Τὴν Ἀδράστειαν, ἤτοι τὴν τύχην, τὴν μὴ ἐῶσαν ἡμᾶς δρᾶν τὸ θελητόν.

Ἀδράστειαν] B. Ἀδράστεια ἔφορος μέμψεως. Λέγει οὖν ὡς οἱ μὴ μεμφθῆναι σπουδάζοντες φρονιμοί εἰσι.

v. 937. σέβου, προςεύχου] A. σὺ σέβου καὶ κολάκευε καὶ θέλγε τὸν Δία τὸν ἀεὶ κρατοῦντα· (τοῦτο δὲ κατ' εἰρωνείαν φησίν· ἐλπίζει γὰρ ὅσον οὔπω ἀπὸ τῆς βασιλείας ἐκπεσεῖν αὐτὸν) ἐμοὶ δὲ μικρὸν καὶ ὀλίγον, ἢ οὐδ' ὅλως φροντίς ἐστι τοῦ Διός. Τοῦτον τὸν καιρὸν δράτω καὶ πραττέτω ἃ βούλεται, καὶ βασιλευέτω. Ἐπὶ πολὺ γὰρ οὐκ ἄρξει καὶ βασιλεύσει τοῖς θεοῖς. Ἀλλὰ βλέπω τοῦτον τὸν ἄγγελον τοῦ Διὸς (λέγει δὲ τὸν Ἑρμῆν) πάντως τι νέον ἦλθε μηνύσων ἐμοί.

σέβου] B. τίμα. θῶπτε] κολάκευε. ἀεὶ] τὸ ἀεὶ πρὸς τὸ σέβου καὶ οὐ πρὸς τὸ κρατοῦντα, ἀεὶ τὸν διαλέ-

---

*) ἄλλο ex *Heathii* correctione pro vulgi ἀλλ'.

**) f. ἣν [illegible], [illegible]. *Heath.*

γειν *) ἐπεὶ τάχιστ' αὐτὸν ἐκπεσεῖσθαι τῆς ἀρχῆς διατείνεται.

v. 938. Ζηνὸς] B. περί.

v. 939. τὸν βραχὺν] B. τὸν ὀλίγον.

v. 940. ὅπως θέλει] B. καθὰ θέλει. δαρὸν] ἐπιπολύ. θεοῖς] δέον θεῶν εἰπεῖν, θεοῖς εἶπεν Ὁμηρικῷ ζήλῳ, ἐκεῖνος γάρ τινα δὲ τοῖς Ἀχαιοῖς λέγει **)· ἔστι δὲ πλαγιασμός.

v. 941. τρόχιν] A. ἄγγελον ἀπὸ τοῦ τρέχειν. Δηλοῖ δὲ τὸν σπουδαῖον οἰκέτην, τὸν σπουδαίως πράττοντα τὰ προστάγματα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ βραδύνοντα καὶ χρονίζοντα.

τρόχιν] B. τὸν ἄγγελον.

v. 942. τυράννου] τοῦ Διός. διάκονον] ὑπηρέτην.

v. 943. πάντως] B. ὁμολογουμένως. καινὸν] νέον. ἀγγελῶν] μηνύων.

v. 944. σὲ τὸν σοφιστὴν] B. εἰρωνικῶς τοῦτο λέγει.

v. 945. τὸν ἐφημέροις] A. γράφεται ἡμέροις. Ἤγουν τοῖς ἀνθρώποις· ἢ τοῖς ἡμέροις, πρὸς ἀντιδιαστολὴν τῶν ἀγρίων ζώων, ἢ τοῖς ἐφημέροις.

τὸν ἐξαμαρτόντ'] B. τὸν πταίσαντα. ἐφημέροις] ἀνθρώποις.

v. 946. πορόντα] B. παράσχοντα.

v. 947. καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως] A. ὁ Ζεὺς ὁ πατὴρ τῶν θεῶν κελεύει σοι εἰπεῖν οὕς τινας λέγεις γάμους, καὶ τοὺς ἀνθρώπους παρ' ὧν ἐκεῖνος τῆς βασιλείας ἐκβληθῇ· καὶ ταῦτα μέντοι λέγε μηδ' ὅλως αἰνιγματωδῶς, ἀλλ' αὐτὰ ἐκεῖνα, ἕκαστα φανερά.

ἄνωγε] B. ἐκέλευσε.

---

*) lege: κρατοῦντα, οὐ γὰρ ἀεὶ τὸν Δία λέγει κρατοῦντα, ἐπεὶ . . . *Abresch.*

**) Haec ex Hom. Il. B. 345. sic refingenda: ἐκεῖνος γὰρ Ἀτρείδην τοῖς Ἀχαιοῖς ἄρχειν λέγει. *Abresch.*

v. 948. αὐδᾶν] B. λέγειν. ὧν] ἀφ'.

v. 949. μηδὲν αἰνικτηρίως] B. μηδαμῶς αἰνιγματωδῶς.

v. 950. μηδέ μοι διπλᾶς] A. μηδὲ ἐμοί, ὦ Προμηθεῦ, προξενήσῃς καὶ δώσῃς διπλᾶς ὁδούς. Ἤτοι, μὴ ποιήσῃς ἀπελθεῖν κενόν, καὶ πάλιν πεμφθῆναι πρός σε. Βλέπεις γὰρ ὅτι τοῖς τοιούτοις ὁ Ζεὺς οὐ καταπραΰνεται. Ἄλλως. Μὴ κάματόν μοι διπλοῦν προξενήσῃς, δεύτερόν με ποιῶν ὑποστρέψαι. Τοῦτο δὲ αἰνίττεται διὰ τοῦ λόγου, μὴ βούλοιό με αὖθις ἀπελθεῖν κενὸν πρὸς τὸν Δία. Ἤγουν, ἅπερ εἶπας κατὰ τοῦ Διός, μὴ κρύψῃς, ἵνα μὴ κἀκεῖνος πάλιν με πρὸς σὲ πέμψῃ.

αὔθ' ἕκαστα] B. φανερά. μηδέ μοι διπλᾶς ὁδοὺς] εἰ γὰρ ἀσαφῶς εἴποις, πέμψει με πάλιν ὁ Ζεὺς πρὸς σὲ ἵνα σαφῶς εἴποις.

v. 952. Ζεὺς τοῖς τοιούτοις] A. τοῖς μὴ πειθομένοις αὐτῷ, ἢ τοῖς ψευδέσι λόγοις χρωμένοις οὐ κάμπτεται, οὔτε μειλίσσεται, ἀλλ' ἐπὶ πολὺ θυμοῦται καὶ ἀμείλικτος γίνεται τοῖς τοιούτοις.

τοῖς τοιούτοις] B. τοῖς ἀσαφέσι. Μαλθακίζεται ἀπατᾶται καὶ παράγεται.

v. 953. σεμνόστομός γε] A. κατ' εἰρωνείαν ὁ Προμηθεύς, μή, φησιν, ὁ μῦθος καὶ ὁ λόγος οὗτος *), προσήκων τῶν θεῶν, τοῦ Ἑρμοῦ. Ταῦτα δὲ λέγει καταγελῶν αὐτοῦ. Ἤτοι **) ἐστὶ καὶ καλῶς εἰρημένος, καὶ φρονήσεως γέμων, ὡς ῥηθεὶς ὑπὸ ὑπηρέτου τῶν θεῶν; ἢ τὸ σεμνόστομος, ἀντὶ τοῦ κενόδοξος καὶ ἐπηρμένος καὶ γέμων οἰήσεως.

σεμνόστομος] B. εἰρωνικῶς. πλέως] πεπληρωμένος.

v. 954. ὁ μυθὸς] B. ὁ λόγος. ὡς] καθά.

---

*) Haec ita legenda: κατ' εἰρωνείαν ὁ Προμηθεὺς μέν φησιν, ὁ μυθός, καὶ ὁ λόγος οὗτος τοῦ προσηκόντος τ. θ. *Heath.*

**) Scripsi ἤτοι pro vulg. ἢ τὸ ex *Heathii* observatione.

v. 955. νέον νέοι] A. νῦν νέοι θεοὶ βασιλεύετε, καὶ νομίζετε χωρὶς πένθους ἀεὶ κατοικεῖν τὰς τοῦ Ὀλύμπου ἀκρωρείας καὶ μέρη· ἐκ τούτων δὲ τῶν τοῦ Ὀλύμπου μερῶν καὶ ἀκρωρειῶν κατενόησα καὶ εἶδον δύο τυράννους ἐκπεσόντας καὶ ἐκβληθέντας τῆς βασιλείας (λέγει δὲ τὸν Ὀφίωνα καὶ τὸν Εὐρυνόμην *), καὶ τὸν Κρόνον ὃν ἔρριψεν ὁ Ζεὺς) τρίτον δὲ καὶ τὸν νῦν τυραννοῦντα Δία θεάσομαι ἐκπεσόντα, καὶ κακῶς, καὶ ἐφυβρίστως, καὶ συντόμως. Μὴ δοκῶ σοι φοβεῖσθαι τοὺς νέους θεούς; ἐγὼ πολλοῦ ἐλλείπω τοῦ φοβεῖσθαι αὐτούς. Σὺ δὲ τὴν ὁδὸν ἣν ἐβάδισας ἐρχόμενος ἐνταῦθα, πάλιν βάδιζε. Οὐδὲν γὰρ ἐρῶ σοι ὧν ἐμὲ ἐρωτᾷς.

νέον] B. νεωστί· οὐ γὰρ ἀρχαία ὑμῶν ἡ βασιλεία.

v. 956. πέργαμα] A. ἁπλῶς τὰς τοῦ οὐρανοῦ ἀκρωρείας· κατεχρήσατο δέ.

ναίειν ἀπενθῆ πέργαμα] B. ἐπειδὴ ναίειν εἶπε, ὁ δὲ ναίων ἐντὸς τοίχους ναίει, διὰ τοῦτο πέργαμα εἶπε· λέγει δὲ τὸν οὐρανόν. πέργαμα] Γ. τὰ ὑψηλά. ἀπενθῆ] B. ποταπά.

v. 957. ᾐσθόμην] B. ἔγνων.

v. 958. τρίτον] A. ἐβασίλευσε πρῶτον μὲν ὁ Ὀφίων καὶ Εὐρυνόμη, ἔπειτα Κρόνος καὶ Ῥέα. Μετὰ ταῦτα δὲ Ζεὺς καὶ Ἥρα.

τὸν νῦν τυραννοῦντ'] B. τὸν Δία. ἐπόψομαι] ἐκπεσεῖν.

v. 961. πολλοῦ γε καὶ] A. σημείωσαι, πολλοῦ ἐλλείπω, ἀντὶ τοῦ, πολλοῦ γε καὶ δεῖ, ἤ, πολλοῦ γε καὶ δέω.

v. 962. ἐγκόνει πάλιν] B. σπεύδων ἀπέρχου.

v. 963. ἂν ἱστορῇς] B. ζητῇς.

v. 964. τοιοῖσδε] A. ἐν ταύταις ταῖς κενοδοξίαις καὶ ὑπερηφανίαις καὶ ἀναισχυντίαις, καὶ πρὶν σαυτὸν εἰσήγαγες καὶ ἐνέδησας εἰς τὰς βλάβας ἃς πάσχεις νῦν.

---

*) Vitiosam scripturam τὸν Εὐρυνόμην recte correxit *Abresch.* qui et postea ad v. 959. Εὐρυνόμη scribi jussit pro vulg. Εὐρυνόμης.

πρὶν] B. ὅτε τὸ πῦρ κέκλοφας. κυθαδίσμασιν] κομπάσμασιν· ἔλεγ' ὡς δικαίως κέκλοφε.

v. 965. ἐς τάσδε] B. ἐν αἷς νῦν τυγχάνεις.

v. 966. τῆς σῆς λατρείας] A. τοῦτό φησιν ὁ Προμηθεὺς πρὸς τὸν Ἑρμῆν, σαφῶς γίνωσκε ὅτι οὐκ ἂν ἀλλάξαιμι τῆς σῆς λατρείας τὴν ἐμὴν εὐπραξίαν *). Ἤγουν, οὐ προτιμήσομαι τὸ λατρεύειν τῷ Διΐ, τὸ ὑπηρετεῖν αὐτῷ καὶ εἶναι ἄγγελος αὐτοῦ, ὥσπερ σύ, τοῦ πάσχειν οὕτω κακῶς. Τοῦτ' ἔστι, κρεῖσσον ἡγοῦμαι τοῦ λατρεύειν καὶ ἀγγελιαφορεῖν τῷ Διΐ ὡς σύ, τὸ προσηλῶσθαι τῇ πέτρᾳ ταύτῃ, καὶ πάσχειν κακῶς.

v. 967. ἀλλάξαιμ'] B. οὐ μόνον ἐπὶ τοῦ ἀλλάττειν τὸ διδόμενόν ἐστι γενικὴ καὶ τὸ λαμβανόμενον αἰτιατική, ἀλλὰ καὶ τοὔμπαλιν, ὡς κἀνταῦθα καὶ παρ' Ὁμήρῳ **) τὸ χρύσεα χαλκείων ἀλλάξατο. Ἐκεῖ γὰρ ὁ Γλαῦκος χρύσεα δοὺς χάλκεα ἔλαβεν.

v. 968. λατρεύειν] B. προσταλαιπωρεῖν.

v. 969. φῆναι] B. λέξαι.

v. 970. τοὺς ὑβρίζοντας] B. Ἑρμῆς γὰρ πρόσθεν τοῦτον ὑβρίσας τοιαῦτα παρ' αὐτοῦ ἤκουσεν.

v. 971. χλιδᾶν ἔοικας] A. ἀκούσας ὁ Ἑρμῆς τοῦ Προμηθέως εἰπόντος ὅτι κρεῖσσον ἡγοῦμαι τὸ προσηλῶσθαι τῇδε τῇ πέτρᾳ παρ' ὃ ἀγγελιαφόρον εἶναί με τοῦ Διός· φησὶ πρὸς αὐτόν, ὅτι ἔοικας τρυφᾶν, καὶ χαίρειν τοῖς κακοῖς οἷς πάσχεις. Ἀποκριθεὶς δὲ ὁ Προμηθεὺς φησὶ πρὸς αὐτόν, τρυφῶ καὶ χαίρω τοιαῦτα πάσχων κακά; οὕτως εἴθε μοι τοὺς ἐμοὺς ἐχθροὺς ἴδοιμι τρυφῶντας, καὶ σε μετὰ τούτων. χλιδᾶν] B. τρυφᾶν καὶ εἰς οὐδὲν ταῦτα λογίζεσθαι. τοῖς παροῦσι πράγμασι] B. ταῖς προσούσαις σοι νῦν δυστυχίαις.

v. 973. οὕτως] B. ὧδε.

v. 974. ἦ] B. ὄντως.

---

*) legendum δυςπραξίαν.

**) Il. Z. 236.

v. 975. ἐχθαίρω] B. μισῶ.

v. 976. ὅσοι παθόντες] A. συνῆλθε γὰρ αὐτοῖς κατὰ τῶν Τιτάνων.

παθόντες εὖ] B. παρ' ἐμοῦ. κακοῦσι] κακοποιοῦσι. ἐκδίκως] ἀδίκως.

v. 977. κλύω σ' ἐγὼ] A. νοῶ σε, φησίν, ἐγώ, μεμηνότα καὶ παραφρονοῦντα, καὶ πάσχοντα νόσον κακήν. Ὁ Ἑρμῆς ταῦτα λέγει πρὸς τὸν Προμηθέα, ὁ δὲ πρὸς αὐτόν, ἔστω νοσεῖν με, κατά σε κρίτην, εἰ νόσημά ἐστι καὶ παραφροσύνη, μανία, τὸ μισεῖν τοὺς ἐχθρούς. Οὔ φησιν, ὁρῶ, ἀλλά, κλύω· οὐ γὰρ δι' ἔργων ὕβριζεν ὁ Προμηθεὺς τοὺς θεούς, ἀλλὰ διὰ λόγων.

κλύω] B. αἰσθάνομαι. μεμηνότ'] μαινόμενον.

v. 978. εἰ] B. ἐὰν ὑπάρχει. στυγεῖν] μισεῖν.

v. 979. εἴης φορητὸς οὐκ ἂν] B. εἰ τοσούτοις συνὼν κακοῖς θρασύνῃ, τί ποτ' ἂν ἔδρασας εὐτυχῶν; φορητὸς] ὑπομονητός.

v. 980. τόδε Ζεὺς] A. τὸ ὤμοι λέγειν.

ὤμοι] B. φεῦ. τόδε] τὸ ὤμοι.

v. 981. ἀλλ' ἐκδιδάσκει] A. κἀκεῖνος οὖν τῷ χρόνῳ μαθήσεται τὸ στενάζειν.

ἀλλ' ἐκδιδάσκει πάνθ'] B. ὥστε κἀκεῖνος τοῦτο μαθήσεται.

v. 982. καὶ μὴν] A. σὺ δὲ οὐδὲ ὑπὸ τοῦ χρόνου παιδεύῃ.

οὔπω σωφρονεῖν] B. ἐπειδὴ δυστυχῶν οὐχ ὑποκλίνῃ ταῖς συμφοραῖς, ἀλλὰ τοῦ Διὸς καταφέρῃ, ὥσπερ οὐκ εἰδὼς ὅτι σου μείζων ἰσχύει. ἐπίστασαι] γινώσκεις.

v. 983. σὲ γὰρ] A. καλῶς λέγεις μὴ φρονεῖν ἐμέ· εἰ γὰρ ἐγὼ ἐφρόνουν, ὑπηρέτῃ σοὶ ὄντι οὐκ ἂν διελέχθην.

σὲ γὰρ] B. εἰκότα λέγει.

v. 985. καὶ μὴν ὀφείλων] A. τοῦτο ἐν εἰρωνείᾳ.

καὶ μὴν ὀφείλων] B. εἰπόντος Ἑρμοῦ πρὸς τὸν Προμηθέα, ὡς ἔοικας οὐδὲν ἐρεῖν ὧν χρῄζει πατήρ, οὗτος εἰρω-

νευόμενός φησι πρὸς αὐτόν, καὶ μὴν ὀφείλων καὶ χρεωστῶν αὐτῷ χάριν τίνοιμι ἂν καὶ ἀνταποδοίην· ὅπερ ὁ Ἑρμῆς γνοὺς ἐν εἰρωνείᾳ ῥηθὲν (οὐ γὰρ ὤφειλε Προμηθεὺς οὐδ' ὁτιοῦν τῷ Διΐ) αἰτιᾶται τοῦτον κερτομήσαντα εἰρωνευσάμενον αὐτὸν ὡς παῖδα ὄντα, εἰ μηδὲν ἐπήσθαιτό *) ὅτι ψεύδεται. Παῖδά ἀντὶ τοῦ δοῦλον νοοῦσιν, ἵν' εἴη ὁ λόγος διὰ τὴν τοῦ Ἑρμοῦ δουλείαν, ὅτι σὺ μὲν ὡς δοῦλος πάντα ὀφείλεις ὑπηρετεῖν αὐτῷ, ἐγὼ δὲ οὔ. Ὅπερ ἐξελέγχεται διὰ τῆς τοῦ Προμηθέως κατασκευῆς.

v. 986. ὡς] B. καθά.

v. 987. παῖς] B. δοῦλος, μωρός.

v. 988. πευσεῖσθαι] B. μαθεῖν.

v. 989. αἴκισμ'] B. κόλασις.

v. 990. γεγωνῆσαι] B. φωνῆσαι.

v. 991. χαλασθῇ δεσμὰ λυμαντήρια] B. τοῦ προσόντος ἐμοὶ δεσμοῦ ἐκλυθῶ.

v. 992. αἰθαλοῦσα φλὸξ] A. γράφεται αἰθεροῦσσα.

αἰθαλοῦσα φλὸξ] B. ἀστραπαί τε καὶ κέραυνος.

v. 993. λευκοπτέρῳ] A. λευκῇ καὶ ταχείᾳ.

νιφάδι] B. χιόνι. βροντήμασι χθονίοις] σεισμοῖς· ἐπειδὴ αἱ βρονταὶ ἄνωθεν γίνονται ῥηγνυμένων νεφῶν, διὰ τοῦτο βροντήμασι χθονίοις εἶπεν ἀντὶ τοῦ τῷ τὴν γῆν κινοῦντι σεισμῷ.

v. 994. κυκάτω] B. ταρασσέτω.

v. 995. γνάμψει] B. ἐπικλάσει. φράσαι] εἰπεῖν.

v. 996. χρεὼν] B. ἀποκείμενον. νιν] αὐτόν.

v. 997. ταῦτα] B. ἃ φής. ἀρωγὰ] κερδαίνεις γὰρ οὐδὲν ταῦτα βοῶν.

v. 998. ὦπται] A. τεθεώρηται.

βεβούλευται τάδε] B. ὅτι οὐδὲν ὠφελοῦμαι ἐκ λόγων.

---

*) ἐπήσθαιτο corruptum: forte leg. ἐπήσθετο. *Heath.*

v. 1001. παρηγορῶν] B. παρ' ἃ φρονῶ πείθειν ἐπιχειρῶν.

v. 1002. εἰςελθέτο] B. ἔννοια, γνῶσις. ὡς] ὅτι.

v. 1004. λιπαρήσω] B. παρακαλῶ σε *). στυγούμενον] μισούμενον.

v. 1006. τοῦ παντὸς δέω] A. ποιῆσαι τοῦτο. λῦσαι] B. ἐλευθερῶσαι. δέω] ἐλλείπω.

v. 1007. λέγων ἔοικα] A. πολλά, φησί. Λέγω, καὶ ἔοικα ταῦτα λέγειν μάτην. Οὐδὲν γὰρ μαλθάσσῃ καὶ πραΰνῃ καὶ τέγγῃ καὶ ἐνδίδως τῆς ἐνστάσεως, ἀλλ' ὥςπερ νεωστὶ ἀχθεὶς εἰς ζυγὸν πῶλος, δάκνων τὸν χαλινόν, βιάζῃ σύ, καὶ ἀνθίστασαι, καὶ πρὸς τοὺς χαλινοὺς ἀντιμάχῃ, καὶ σφοδρύνῃ, καὶ θρασύνῃ ἐν οὐδαμινῷ σοφίσματι, καὶ μὴ δυναμένῳ ὠφελῆσαι. Ὃ εἶπε περὶ τοῦ Διός. καὶ μάτην ἐρεῖν] γράφεται, ἀλλ' ἐρεῖν μάτην.

v. 1008. τέγγῃ] B. μεταβολὴν δέχῃ. μαλθάσσῃ λιταῖς] Γ. εἴκεις.

v. 1011. σφοδρύνῃ] B. κομπάζῃ καὶ ἐπαίρῃ. ἀσθενεῖ σοφίσματι] ψευδεῖ ἀπάτῃ.

v. 1012. αὐθαδία] μωρία.

v. 1013. οὐδενὸς μεῖζον σθένει] A. ἴσον ἐστὶ τῷ μηδενί.

v. 1014. σκέψαι δὲ] A. σκόπησον ποταπὸς χειμὼν καὶ ζάλη τῶν ἀθλίων, καὶ τῶν κακῶν τρικυμία ἄφυκτος, ἣν οὐ δυνήσῃ ἐκφυγεῖν, ἔπεισι καὶ ἐπέρχεται ἐπὶ σέ. Πρῶτα μὲν τὴν ὀκρίδα φάραγγα (τραχεῖαν δὲ λέγει φάραγγα τὸ τραχὺ ὄρος τὸν Καύκασον) βροντῇ καὶ κεραυνῷ διασχίσει ὁ Ζεύς, καὶ ἔνδον ταύτης καλύψει τὸ σὸν σῶμα. Ἡ πετραία δὲ ἀγκάλη καὶ κοιλότης σὲ βαστάσει καὶ δέξεται. Πολὺ δὲ μῆκος χρόνου τελειώσας, ἄψορρον καὶ ὀπισθόρμητον ἥξεις ἐς φάος.

πεισθῇς] B. καταπεισθῇς.

---

*) Pro παρακαλεῖ σε legendum παρακαλήσω.

v. 1015. οἷος] B. ὁποῖος. τρικυμία] ἦχος.

v. 1016. ἔπεισ'] B. ἐπεισέρχεται *). ὀκρίδα] τραχεῖαν καὶ χαλεπήν.

v. 1019. πετραία δ' ἀγκάλη σὲ] A. ἤγουν τὸ ἀπόρρηγμα καὶ κοίλωμα τῆς πέτρας. Τοῦτο γοῦν φησι, χάσματος γενομένου, μετέωρος ἔσῃ, κρεμάμενος τῶν χειρῶν.

πετραία δ' ἀγκάλη σὲ βαστάσει] B. ἐντὸς αὐτῆς τριβήσῃ.

v. 1020. ἐκτελευτήσας] B. ἐκτελέσας **)

v. 1021. ἄψοῤῥον] B. ὀπισθόρμητον.

v. 1022. πτηνὸς κύων] A. μυθεύεται ὅτι ὁ Ζεὺς εἰς ὄρος τὸν Καύκασον προσηλώσας τὸν Προμηθέα μέσον κίονος, ἐποίησεν ἀετὸν κατέρχεσθαι καὶ ἐσθίειν καθ' ἡμέραν τὸ ἧπαρ αὐτοῦ, διὰ πάσης μὲν ἡμέρας βιβρωσκόμενον, νυκτὸς δὲ πάλιν ἀναπληρούμενον, καὶ οἷον ἀνακαινιζόμενον, ἕως οὗ ὁ Ἡρακλῆς τοξεύσας τὸν ἀετὸν ἀπέκτεινε, τὸν Προμηθέα δὲ κακῆς μερίμνης ἀπέλυσε. Ταῦτα δὲ ἦν πάσχων ὁ Προμηθεὺς διὰ δύο αἰτίας, μίαν μὲν ὅτι τὸ πῦρ κεκρυμμένον ὂν παρὰ τοῦ Διὸς δολίως ἀποκλέψας οὗτος ἐν νάρθηκι κατήγαγε, καὶ τοῖς ἀνθρώποις ἐδωρήσατο τοῦτο, δι' οὗ αἱ τέχναι πᾶσαι ἀνύονται· ἑτέραν δὲ ὅτι βοῦν μέγαν θύσαντες οἱ θεοὶ περὶ τὴν Σικύωνα τὴν πόλιν, τὸν Προμηθέα μεριστὴν τῶν κρεάτων ἐποίησαν, οὕτως δὲ ὀστᾶ μόνα τῇ πιμελῇ δολίως συγκαλύψας, εἰς τὴν τῶν ἑτέρων θεῶν μοῖραν ἔγκατα καὶ σάρκας παρέθετο, τῷ δὲ Διῒ μόνῳ τὰ ὀστᾶ πρὸς εὐωχίαν παρέθετο, ὁ δὲ ὀργισθεὶς κατ' αὐτοῦ οὕτως αὐτὸν ἐτιμώρησεν. Ἄλλως. Τοῦτό φησιν, ὅτι τοῦ Διὸς κύων ἀετὸς (τῷ Διῒ γὰρ ὁ ἀετὸς ἀνατίθεται, ὡς ζῶον βασιλικὸν) διακόψει μέγα ῥάκος τοῦ σώματος, τοῦτ' ἔστι μέρος καὶ ἀπόκομμα· ἐρχόμενος ἄκλητος εὐωχητής· ἐκθοινήσεται δὲ καὶ φάγεται τὸ ἧπαρ τὸ ἐκ τῆς βρώσεως μελαινόμενον. Τοῦ τοιούτου δὲ δεσμοῦ

---

*) vel leg. ἐπέρχεται, vel ἐπί σε ἔρχεται. *Abresch.*

**) Adjectum ἐντὸς delevi, quod ex prioribus hic adhaesisse vidit *Abresch.*

καὶ τῆς τοιαύτης κακοπαθείας μηδέν τι προσδόκα τέλος, πρὶν ἄν τις τῶν θεῶν διάδοχος φανῇ τῶν σῶν πόνων, καὶ εἰς τὸν σκοτεινὸν ᾅδην θελήσῃ παραγενέσθαι, καὶ εἰς τὸν τάρταρον. Τοῦτο δὲ λέγει, ὡς τοῦ βοηθοῦντος αὐτῷ πεισομένου ταῦτα πάντα. Ὁ μέλλων βοηθῆσαί σοι, φησί, καὶ ἀπολυτρῶσαί σε τοῦ πόνου τούτου, εἰς τὸν ᾅδην ἥξει καὶ ταρταρωθήσεται.

δαφοινὸς] B. φονικός. αἰετὸς] ὁ ἀετὸς ἀνάκειται τῷ Διΐ· κύνα δὲ αὐτὸν λέγει διὰ τὸ ἁρπακτικόν, ἢ διότι ἀναιδῶς ἔμελλε τῷ Προμηθεῖ ἐπιτίθεσθαι. Ὃν ἐτόξευσεν Ἡρακλῆς, ὅτε τὸν περὶ τῶν μήλων ἆθλον ἐπόνει ὃς ἑνδέκατος ἦν αὐτῷ. Ἴσθι δὲ ὡς διὰ πάσης τῆς ἡμέρας τὸ Προμηθέως ἧπαρ τῷ ἀετῷ βιβρωσκόμενον, ἀνεπληροῦτο πάλιν νυκτὶ καὶ ἄρτιον ἦν. λάβρος] λαιμαργός.

v. 1023. διαρταμήσει] B. διακόψει. ῥάκος] τὸ δέρμα.

v. 1024. δαιταλεὺς πανήμερος] B. δαιτυμὼν διὰ πάσης τῆς ἡμέρας.

v. 1025. κελαινόβρωτον] B. μέλαν. ἐκθοινήσεται] καταφάγοι.

v. 1026. τοῦ σοῦ δὲ μόχθου] B. τῆς σῆς δυστυχίας. Τέρμα μήδε προσδόκα] μὴ ἀπαλλαγὴν ἔλπιζε τῆς συμφορᾶς ταύτης· εἰ μή τις τῶν θεῶν ἐθελήσει κινδυνεῦσαι ὀλόμενος ἀπαλλάξαι τῶν κακῶν, οὐδέποτε, ἔσται ὡς τοῦδ' αὐτὸς εὖ ἴσθι, λελύσῃ.

v. 1028. ἀναύγητον] B. σκοτεινόν.

v. 1029. κνεφαῖα] B. σκοτεινά.

v. 1030. πρὸς ταῦτα βούλευ'] A. πρὸς ταῦτα βουλεύου, καὶ σκόπει τὸ προσῆκον, ὅτι ταῦτα ἅ σοι λέγω, οὐκ εἰσὶ πεπλασμένα καὶ ψευδῆ, ἀλλὰ λίαν ἀληθῆ. Τὸ γὰρ Δῖον στόμα, ἤτοι τὸ τοῦ Διός, οὐκ ἐπίσταται ψευδολογεῖν, ἀλλὰ πᾶν ὃ ἂν εἴπῃ, εἰς τέλος καὶ πλήρωμα ἄγει. Σὺ δὲ ἐπιτήρει καὶ πρόσεχε, μηδὲ τὴν αὐθαδίαν ἡγήσῃ ποτὲ κρείττονα τῆς εὐβουλίας.

βούλευ'] B. τὰ συμφέροντά σοι. ὡς] ὅτι,

v. 1031.

v. 1031. κόμπος] B. τὸ κόμπος εἶπε κατὰ τὴν τοῦ Προμηθέως δόξαν· ᾤετο γὰρ Ἑρμῆν μάτην πρὸς αὐτὸν ταῦτα κομπάζειν. λίαν εἰρημένος] ἀληθὴς καὶ οὐ μάταιος.

v. 1032. ψευδηγορεῖν γὰρ] B. ψευδῆ λέγειν οὐκ ἐπίσταται. Ἐκεῖνος γὰρ προσέταξε μοι ταῦτά σοι φάναι.

v. 1033. πᾶν ἔπος] B. ὃ ἂν εἴποι.

v. 1034. πάπταινε] B. σκόπει. φρόντιζε] τοῦ λυσιτελοῦντος.

v. 1035. ἀμείνον'] B. κρεῖττονα.

v. 1036. οὐκ ἄκαιρα] B. ἀλλὰ ἔγκαιρα.

v. 1038. ἐρευνᾶν] B. ζητεῖν.

v. 1039. σοφῷ] B. οἷος αὐτὸς εἶ.

v. 1040. εἰδότι] B. γινώσκοντι.

v. 1041. ἐθώϋξε] B. εἶπε.

v. 1042. ἀεικὲς] B. ἀπρεπές.

v. 1043. πρὸς ταῦτ', ἐπ' ἐμοὶ] A. πρὸς ταῦτα, ῥιπτέσθω μὲν ἐπ' ἐμοὶ ἡ ἑλικοειδὴς τοῦ πυρὸς καταφορὰ (ἀμφήκης δέ ἐστιν ὁ ὀξὺς) ὁ αἰθὴρ δέ, καὶ ὁ ἀὴρ ἐρεθιζέσθω καὶ κινείσθω ἐν βροντῇ, σφακέλῳ τε ἀγρίων ἀνέμων, τοῦτ' ἔστι Γσυντόνῳ κινήσει. Σφάκελος δὲ κυρίως ἡ σῆψις τοῦ ἐγκεφάλου· τὴν γῆν δὲ ἐκ τῶν πυθμένων καὶ τῶν κατωτάτων τόπων σὺν αὐτοῖς θεμελίοις κραδαίνοι καὶ κινήσειεν. Τὸ κῦμα δὲ τῆς θαλάσσης ἐν τραχεῖ ῥεύματι συγχώσειεν ἐμέ, καὶ τὸ σῶμα τὸ ἐμὸν ἀναρρίψῃ εἰς τὰς διόδους τῶν οὐρανίων ἄστρων. Ἤτοι εἰς τὸν οὐρανόν, ὅπου εἰσὶ τὰ ἄστρα. Γσπασμῷ

πρὸς ταῦτ'] B. διὰ τοῦτο.

v. 1044. ἀμφήκης] B. δι' ὅλου καυστικός. αἰθὴρ] ἀήρ.

v. 1045. ἐρεθιζέσθω βροντῇ] B. κινείσθω ἐν βροντῇ. σφακέλῳ] συστροφῇ.

v. 1046. πυθμένων] B. τῶν βαθυτάτων τόπων.

v. 1047. κραδαίνοι] B. κραδαινέτω καὶ κινείτω. Γ. ταράσσοι, τινάσσοι.

v. 1048. τραχεῖ ῥοθίῳ] B. σφοδρῷ ῥεύματι.

v. 1049. συγχώσειεν] A. συγκαλύψειεν.

συγχώσειεν] B. συγχωσάτω αὐτήν.

v. 1050. διόδους] B. εἰς τὰς διεξόδους. κελαινὸν] σκοτεινόν.

v. 1051. ἄρδην ῥίψειε] B. ὁμοῦ ῥιψάτω. ἄρδην] Γ. σφοδρῶς.

v. 1052. δίναις] B. συστροφαῖς.

v. 1054. φρενοπλήκτων] B. τῶν μανικῶν.

v. 1056. παραπαίειν] A. παραφρονεῖν.

παραπαίειν] B. αὐτόν.

v. 1057. εἰ δ' εὐτυχῇ] B. σοί. Ἤγουν εἰ τὴν παροῦσαν συμφορὰν ἐν εὐτυχίας ἡγοῖο μέρει, τί μανιῶν ὑφίεσαι, τουτέστιν ἀτεχνῶς μαινόμενος εἶ, καὶ οὐ καθ' ὁτιοῦν σωφρονεῖς. τί χαλᾷ] ὑφίεσαι.

v. 1058. ἀλλ' οὖν ὑμεῖς γ' αἱ πημοσύναις] A. πρὸς Ὠκεανίδας φησὶν ὁ Ἑρμῆς, ἀλλ' οὖν ὑμεῖς, ὦ γυναῖκες συλλυπούμεναι καὶ συγκακοπαθοῦσαι ταῖς τοῦ Προμηθέως βλάβαις, ὑποχωρεῖτε ταχύτατα ἐκ τῶν ἐνταῦθα τόπων, μὴ τὰς φρένας ὑμῶν ματαίας καὶ μωρὰς ἢ παραπλῆγας ποιήσῃ τὸ ὄχημα τῆς τοῦ Διὸς βροντῆς, τὸ ἀτέραμνον καὶ σκληρὸν καὶ μέγα.

πημοσύναις] B. δυστυχίαις.

v. 1059. συγκάμνουσαι] B. κοπιῶσαι.

v. 1060. μετά που χωρεῖτ'] B. εἰκότως ἐνταῦθα πεποίηκε τὸ ὑπερβατὸν κίνησιν παρεγγυώμενος καὶ μετανάστασιν τῷ χορῷ. θοῶς] ταχέως.

v. 1061. ἠλιθιώσῃ] B. εἰς ἀναισθησίαν ἄξῃ.

v. 1062. μύκημα] B. κτύπος. ἀτέραμνον] σκληρόν, σφοδρόν.

v. 1063. ἄλλο τι φώνει] A. ἄλλο τι λέγε, καὶ παραμυθοῦ, καὶ παραλογίζου καὶ ἀπάτα ἐμέ, εἰς ὅπερ καὶ πείσεις καταλεῖψαι τὸν Προμηθέα. Οὐ γὰρ τοῦτο τὸ ἔπος, δηλαδὴ τό, μὴ ἠλιθιώσῃ τὰς φρένας ὑμῶν τὸ τῆς βροντῆς

ὄχημα *), τλητὸν καὶ ὑπομονητὸν καὶ καρτερικὸν παρέῤῥιψας καὶ παρήγαγες εἰς τὸ καταλεῖψαι τὸν Προμηθέα.

παραμηθοῦ] B. παράπειθε.

v. 1065. τλητὸν] B. ἀνεκτὸν ἡμῖν. παρέσυρας] ἐξήνεγκας.

v. 1066. κακότητ' ἀσκεῖν] A. κακίαν ἀγαπᾷν καὶ μισεῖν τοῦτον.

κακότητ' ἀσκεῖν] B. τὸ γὰρ προδιδόναι τοὺς φίλους εἰς τοῦτο φέρει.

v. 1067. μετὰ τοῦδε] A. συμπάσχειν αὐτῷ οὐ παραιτοῦμαι.

χρὴ] ἀπόκειται.

v. 1068. προδότας] B. τῶν φίλων.

v. 1071. ἀλλ' οὖν μέμνησθ' ἅττ' ἐγὼ] A. ἀλλ' οὖν μέμνησθε ἅπερ προλέγω ὑμῖν, μηδὲ παρ' ἄτης θηραθεῖσαι, ἤγουν εἰς βλάβην ἐμπεσοῦσαι, μέμψησθε τὴν δυστυχίαν ἣν μέλλετε παθεῖν· μηδὲ εἴπητε ποτέ, ὅτι ὑμᾶς ὁ Ζεὺς εἰς ἀπροσδόκητον ἢ ἀνέλπιστον καὶ αἰφνίδιον βλάβος εἰσέβαλεν, μηδαμῶς εἴπετε τοῦτο. Αὐταὶ δὲ ὑμᾶς αὐτάς, λείπει τὸ αἰτιᾶσθε. Εἰδυῖαι γὰρ καὶ ἐπιστάμεναι, καὶ οὐκ ἀγνοοῦσαι, οὐδὲ ἐξαίφνης καὶ λαθραίως ἐμπλεχθήσεσθε εἰς τὸ δίκτυον τῆς βλάβης τὸ ἀπέραντον. Οὗ τέλος οὐχ εὑρήσετε.

μέμνησθ'] B. ἐνθυμεῖσθε.

v. 1073. μέμψησθε] B. κατηγορήσητε.

v. 1074. ἀπρόοπτον] B. ἄσκοπον.

v. 1076. ὑμᾶς αὐτὰς] B. ἐμβαλεῖτε.

v. 1078. ἀπέραντον] B. ἀδιέξοδον.

v. 1079. ὑπ' ἀνοίας] B. τῶν ὑμῶν.

v. 1080. καὶ μὴν ἔργῳ] A. καὶ δὴ ἐν ἔργοις αὐτοῖς, οὐκ ἐν μύθῳ (ὡς ἁπλῶς Ἑρμοῦ **) λέγοντος ὅτι μέλλει γενέσθαι τάδε) ἡ γῆ σεσάλευται· ἡ τῆς βροντῆς δὲ φωνὴ ἡ

*) f. leg. ἤχημα *Abresch.*

**) Ἑρμοῦ hic legendum esse pro vulg. ἐμοῦ primum vidit Anonymus in Misc. obss. in Auctt. vett. tom. II. p. 164.

βρύχουσα παραμυκᾶται καὶ ἠχεῖ καὶ βοᾷ. Ἐκλάμπουσι δὲ καὶ αἱ πολύπυροι ἕλικες τῆς στεροπῆς, ἤτοι αἱ ἑλικοειδεῖς κατὰ τὰ νέφη τῶν ἀστραπῶν κινήσεις· οἱ στρόμβοι δὲ καὶ αἱ ἑλίξεις τῶν ἀνέμων συστρέφουσι τὴν κόνιν· σκιρτᾷ δὲ τῶν ἀνέμων πάντων τὰ πνεύματα ἀποδεικνύντα πρὸς ἄλληλα στάσιν ἀντίπνουν· ἤγουν, τῇ ἐναντίᾳ ἀλλήλων πνοῇ πρὸς ἄλληλα ἀνθιστάμενα· ξυντετάρακται δὲ ὁ ἀὴρ ἐν τῇ θαλάσσῃ. Τοιαύτη ἐπ' ἐμοὶ ἐπέρχεται καὶ κινεῖται ῥιπὴ καὶ κίνησις καὶ ζάλη καὶ τρίχωμα *) ἀπὸ τοῦ Διός, κατασκευάζουσά μοι φόβον.

μύθῳ] B. λόγῳ.

v. 1081. χθὼν] B. ἡ γῆ.

v. 1083. ἕλικες] συστροφαί.

v. 1084. στεροπῆς] B. ἀστραπῆς. ζάπυροι] λίαν καυστικοί. στρόμβοι] καταιγίδες ἀέρων.

v. 1087. στάσιν] B. ταραχήν. ἀντίπνουν] ἐναντίαν ἀλλήλοις.

v. 1088. αἰθὴρ] B. ἀήρ.

v. 1089. ῥιπὴ] B. ὁρμή.

v. 1090. τεύχουσα] B. κατασκευάζουσα.

v. 1091. ὦ μητρὸς ἐμῆς σέβας] A. περιφραστικῶς, ὦ μήτηρ ἐμὴ Θέμις.

ὦ μ. ε. σέβας] B. σεβάσμια μήτηρ. ὦ πάντων Θέμις] Δίκη, ἢ ἡ τὸ δίκαιον πᾶσι ποιοῦσα ἢ ὦ δικαιοσύνη πάντ' ἐσορῶσα, ὃ καὶ κρεῖττον.

v. 1092. κοινὸν φάος εἱλίσσων] B. εἰς πάντας φῶς συστρέφων.

v. 1093. ὡς] B. πῶς. πάσχω] κάμνω.

---

*) Pro τρίχωμα vel cum *Arnaldo* (animadv. c. 32.) legendum τρικυμία, vel βρύχωμα aut βρύχημα. *Abresch.*

SCHOLIA
IN
SEPTEM CONTRA THEBAS.

ὙΠΟΘΕΣΙΣ
ΤΗΣ ΤΟΥ ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΙΔΙΑΣ
τῶν ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΙΣ.

+ τὰ τοῦ δράματος π... ωπα + Ἐτεοκλῆς· Ἀντ... ἄγγελος· κατάσκοποι· ἰσ... χ· παρθένων· κῆρυξ:

Ὁ Λαΐος τοῦ Λαβδάκου υἱὸς ὤν, ἐβασίλευεν ἐν Θήβαις, γυναῖκα κεκτημένος Ἰοκάστην, τὴν θυγατέρα τοῦ Μενοικέως· ᾗ συνελθεῖν καὶ τέκνα ποιῆσαι οὐκ ἐτόλμα, τὰς τοῦ Πέλοπος δεδιὼς ἀράς. Φασὶ γὰρ ὅτι τὸν τοῦ Πέλοπος υἱὸν Χρύσιππον, ὃς ἦν αὐτῷ ἐξ ἄλλης γυναικός, καὶ οὐκ ἐκ τῆς θυγατρὸς τοῦ Οἰνομάου Ἱπποδαμείας, ὁ Λαΐος ἥρπασεν, ἐρασθεὶς αὐτοῦ, καὶ αὐτῷ συνεγένετο, καὶ πρῶτος ἐν ἀνθρώποις τὴν ἀῤῥενοφθορίαν ὑπέδειξε, καθώς περ δὲ καὶ ὁ Ζεὺς ἐν θεοῖς, τὸν Γανυμήδην ἁρπάσας. Ὅπερ ὁ Πέλοψ μαθών, τὸν Λαΐον κατηράσατο ἐξ οἰκείας φονευθῆναι γονῆς. Ἐπεὶ γοῦν ὁ Λαΐος δι' ὃν εἴρηται τρόπον ἄπαις ἤδη παρήκμαζεν, εἰς τὸ τοῦ Ἀπόλλωνος μαντεῖον παρεγένετο, ἐρωτήσων εἰ δέοι τεκνώσασθαι· ἐξήνεγκε δὲ αὐτῷ τὸ χρηστήριον.

Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.

Λαβὼν δὲ τὸν χρησμὸν καὶ ἀπελθὼν ἐφύλαττε μὴ συνευνᾶσθαι τῇ ἰδίᾳ γυναικί. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν τῷ οἴνῳ βαρυνθείς, συνῆλθε τῇ γυναικὶ αὐτοῦ, ἀφ' ἧς ἔσχε τὸν Οἰδίποδα· φοβηθεὶς δὲ τὸν χρησμὸν εἴποντα·

Εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φύς,

καθὼς καὶ Πέλοψ κατηράσατο ἡνίκα ὁ Οἰδίπους ἐγεννήθη· διατορήσας τοὺς πόδας αὐτοῦ καὶ χρυσέους κρίκους διαπερονησάμενος, ἐν Κιθαιρῶνι τοῦτον ἐξέθετο. Εὑρόντες δέ τινες αὐτὸν ποιμένες καὶ ἀναλαβόντες ἀνήνεγκαν τῷ τότε βασιλεῖ Κορίνθου Πολύβῳ· ὃς λαβὼν αὐτὸν, ἐπιμελείας ἠξίωσε, καὶ εἰς ἀνδρῶν ἡλικίαν ἤγαγεν. Ἔπειτα δὲ Οἰδίπους παρά τινος ὑβρισθεὶς καὶ ὀνειδισθεὶς ὡς νόθος ἐστὶ καὶ οὐ γνήσιος τοῦ Πολύβου, ἀπῆλθεν ἐρωτήσων εἰς τὴν Πυθίαν, ἤγουν εἰς τὸ τοῦ Ἀπόλλωνος μαντεῖον, τίς τε εἴη καὶ τίνος υἱός. Εἶπε δὲ αὐτῷ τὸ μαντεῖον, ὅτι πρόκειταί σοι φονεῦσαι τὸν πατέρα σοῦ, καὶ μητρὶ σοῦ συνευνασθῆναι. Ἀκούσας δὲ τοῦ χρησμοῦ, κατέλειψεν ἀπελθεῖν εἰς Κόρινθον πρὸς τὸν Πόλυβον, διὰ τὰ εἰρημένα, ὡς δοκῶν τὸν Πόλυβον λέγειν τὸ χρηστήριον πατέρα, καὶ τὴν αὐτοῦ γυναῖκα, μητέρα· καὶ ἀπῆλθεν εἰς τὴν ἐς Θήβας ὁδόν. Διεπορεύετο δὲ τὴν ὁδὸν ἐκείνην καὶ ὁ Λάϊος ὁ τούτου πατὴρ, ἀπερχόμενος καὶ οὗτος εἰς τὸ μαντεῖον, ἐρωτήσων περὶ τοῦ παρ' αὐτοῦ ἐκτεθέντος παιδὸς, ἤγουν τοῦ Οἰδίποδος, τί γέγονε. Ἐπεὶ δὲ συνήντησαν ἄμφω, οἱ τοῦ Λαΐου δορυφόροι πρὸς τὸν Οἰδίποδα εἶπον, παραχώρησον ὦ ξένε τῷ βασιλεῖ τῆς ὁδοῦ· ὁ δ' οὐκ ἐπείσθη. Πληγεὶς δὲ παρὰ τοῦ Λαΐου, ἐμάνη ἐπὶ τούτῳ, καὶ ἀπέκτεινεν αὐτὸν καὶ πάντας τοὺς μετ' αὐτοῦ· ἕνα δὲ μόνον ἀφῆκεν, ὃς στραφεὶς οἴκοι ἀπήγγειλε πάντα. Ἐλθὼν δὲ εἰς Θήβας ὁ Οἰδίπους ὕστερον, εὗρε κακὸν αὐτοῖς ἐπικείμενον μέγα, τὴν Σφίγγα· ἥτις αἰνίγματα ἔλεγε, καὶ τὸν μὴ ἰσχύοντα λῦσαι αὐτὰ, κατήσθιε. Προέκειτο δὲ τότε παρὰ τῶν Θηβαίων τῷ εὑρόντι τὸ αἴνιγμα τῆς Σφιγγὸς, βραβεῖον, ἡ τοῦ Λαΐου γυνὴ Ἰοκάστη, δοθησομένη αὐτῷ εἰς γάμον. Εἰπούσης οὖν τῆς Σφιγγὸς τὸ αἴνιγμα τὸ, τετράπους δίπους τε καὶ πάλιν τρίπους, ὃ σημαίνει τὸν ἄνθρωπον, ἐφεῦρε τοῦτο ὁ Οἰδίπους· ἡ δὲ Σφὶγξ μανεῖσα ἀνεῖλεν αὐτήν. Συνελθὼν οὖν ὁ Οἰδίπους τῇ ἰδίᾳ μητρί, παῖδας ἐποίησε τέσσαρας, τὸν Πολυνείκην καὶ τὸν Ἐτεοκλῆν, τὴν Ἀντιγόνην καὶ τὴν Ἰσμήνην. Ὕστερον δὲ μαθὼν τὸ ἀνόμημα ὃ ἔδρασεν, ἐτύφλωσεν ἑαυτὸν, τοῖς δὲ εἰρημένοις υἱοῖς αὐτοῦ τὴν βασιλείαν κατέλειψεν. Ἐπεὶ δὲ οὗτοι τοῦτον ὄντα τυφλὸν ἐν οἰκίσκῳ

καθεῖρξαν, κατηράσατο αὐτοὺς ὥστε διὰ ξίφους καὶ πολέμου τὴν βασιλείαν διαμερίσασθαι. Οὗ ἕνεκα καὶ φοβούμενοι, τὸ ὁμοῦ μὲν εἶναι ἐν ταῖς Θήβαις καὶ βασιλεύειν κατέλειψαν· συμπεφωνήκασι δὲ ἵνα τοῦ ἑνὸς ἐξερχομένου τῆς πόλεως καὶ ἀποδημοῦντος, ἐπὶ χρόνον ἕνα ὁ ἕτερος βασιλεύοι· καὶ πάλιν τοῦ ἀποδημοῦντος εἰσερχομένου, ὑποχωροίη ὁ ἕτερος· ὡς ἂν ἐκ τούτου φύγωσι τὴν ἀράν. Ὁ γοῦν Πολυνείκης πρῶτος ὢν ἐκράτησεν ἐν χρόνῳ ἑνὶ τῆς βασιλείας, εἶτα ἐξῆλθε, τῷ Ἐτεοκλεῖ παραχωρήσας αὐτῆς. Τοῦ χρόνου δὲ συμπληρωθέντος, ἐπὶ τὸ βασιλεύειν ὁ Πολυνείκης καὶ αὖθις εἰς τὰς Θήβας παρεγένετο, κατὰ τὸ συμπεφωνημένον· μὴ παραδεχθεὶς δὲ ὑπὸ Ἐτεοκλέους, εἰς τὸν τοῦ Ἄργους βασιλέα Ἀδράστον ἀπῆλθε, καὶ τούτου γαμβρὸς ἐπὶ θυγατρὶ γέγονεν, ἐπὶ ὑποσχέσει τοιαύτῃ, ἵνα συνεργήσῃ αὐτῷ ὁ Ἀδράστος ἐπανελθεῖν εἰς τὴν ἰδίαν πόλιν, καὶ βασιλείας δράξασθαι. Λαβὼν τοίνυν ἐκ τοῦ Ἄργους στρατιὰν πλείστην, ἄπεισιν εἰς Θήβας κατὰ τοῦ οἰκείου ἀδελφοῦ. Ἔνθα καὶ αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ ὑπ' ἀλλήλων ἐφονεύθησαν.

Ἡ μὲν οὖν σκηνὴ τοῦ δράματος ἐπὶ Θήβαις ὑπόκειται· ὁ δὲ χορὸς ἐκ Θηβαίων ἐστὶ παρθένων· ἡ δὲ ὑπόθεσις, στρατιὰ Ἀργείων πολιορκοῦσα Θηβαίους, τοὺς καὶ νικήσαντας· καὶ θάνατος Ἐτεοκλέους καὶ Πολυνείκους. Ἐπιγέγραπται δὲ ὑπόθεσις τῶν ἑπτὰ ἐπὶ Θήβαις, διὰ τὸ ἑπτὰ στρατηγοὺς φυλάσσειν τὰς πύλας τῶν Θηβῶν. Εἰσὶ δὲ αὗται αἱ Θῆβαι, ἑπτάπυλοι· αἱ δὲ ἐν τῇ Αἰγύπτῳ οὖσαι, ἑκατοντάπυλοι.

v. 1. Κάδμου πολῖται] A. ὁ Ἐτεοκλῆς προλογίζει, καὶ παρασκευάζων τὸν λαὸν ἅπαντα πρὸς φρουρὰν τῆς πόλεως, φησίν, ὦ Κάδμου πολῖται, ἤτοι ὦ Θηβαῖοι, πρέπει λέγειν τὰ καίρια καὶ τὰ ἐνδεχόμενα, ἢ τὰ ἀναγκαῖα, τὸν ἄνθρωπον ἐκεῖνον ὅστις φυλάσσει καὶ ἔχει καὶ φέρει τὸ πρᾶγος, ἤγουν πρᾶγμα καὶ ἐξουσίαν, ἐν πρύμνῃ, ἤγουν ἐν τῇ ἀρχῇ, νωμῶν καὶ κινῶν καὶ οἰακονομῶν οἴακα πόλεως, ἤγουν τὴν τῆς πόλεως κυβέρνησιν, μὴ κοιμῶν καὶ κοιμίζων καὶ ἀναπαύων τοὺς ὀφθαλμοὺς ἐν ὕπνῳ, τροπικῶς δὲ τῷ

λόγῳ ἐχρήσατο ὁ ποιητής, πρύμνην καλῶν τὴν ἀρχὴν τῆς πόλεως *), οἴακα δὲ τὴν ταύτης κυβέρνησιν..

Κάδμου πολῖται] B. προλέγει νῦν Ἐτεοκλῆς ὡς εἰ κινδυνεύσει πρὸς πόλεμον, θρήνοις καὶ ᾠδαῖς τιμῆσαι ἂν αὐτὸν τοὺς πολίτας· οὐχ', ὡς οἴονταί τινες, ἀτιμάσαι αὐτὸν καὶ ὑβρίσαι, τὸ ὑμνοῖτο ἀντὶ τοῦ ἀτιμάζοιτο ἐκλαμβάνοντες· ὅτι δὲ ἀληθές ἐστι τοῦτο, καὶ οὐχ ὅπερ ἐκεῖνοί φασι, μαρτυρεῖ τὸ οἰμώγμασι. Πῶς γὰρ ἂν οἷόν τ' ἦν ἅμα μὲν ὑβρίζειν αὐτόν, ἅμα δὲ θρήνοις τιμᾶν; ἀλλὰ ὑμνοῖτο καὶ θαυμάζοιτο ὑπὸ τῶν ἀστῶν ἐν πολλοῖς ἐπαίνοις, ὡς ὑπὲρ τῆς πατρίδος κεκινδυνευκώς, καὶ θρήνων ἀξιοῖτο ἀνὰ πᾶσαν τὴν πόλιν. Ἐπεὶ καὶ τὸ τοῦ προοιμίου ὄνομα οὐκ ἄλλο οὐδὲν ἢ τὸν ἔπαινον δηλοῖ. Πρὸ γὰρ τῶν οἴμων καὶ τῶν ὁδῶν οἱ παλαιοὶ τοὺς ἐπαίνους ᾖδον. Ὥςπέρ ἐστι καὶ τὸ ἐγκώμιον τὸ ἐν κώμαις καὶ στενωποῖς λεγόμενον. Κώμας γὰρ ἐκάλουν τοὺς στενωπούς. Ἴσως δ' ἄν τις ἐνταῦθα ἐνσταίη, λέγων, ὡς οὐ καιρὸν εἶχε τοιαῦθ' ὑπὲρ αὐτοῦ πρὸς τοὺς πολίτας λέγειν Ἐτεοκλῆς. Καί φαμέν, ὡς οὐ παρακελευόμενος ταῦτα λέγει, ἀλλ' εἰκάζων καὶ οἱονεὶ μαντευόμενος, ἐπειδὴ καὶ εὐκτικῷ ἀλλ' οὐ προστακτικῷ ἐχρήσατο ῥήματι. χρὴ λέγειν] ἐκεῖνον. τὰ καίρια] τὰ ἐνδεχόμενα καὶ ἁρμόζοντα τῷ καιρῷ.

Κάδμου πολῖται] Γ. ἡ εἴςθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οἱ, ὧν τελευταῖος

Πόλις γὰρ εἶ πράσσουσα δαίμονας τίει.

v. 2. ὅςτις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως] B. ἀρχὴν καὶ ἐξουσίαν πόλεως ἔχει. Εἴρηται δὲ ἐκ μεταφορᾶς τοῦ ἐν τῇ νηῒ κυβερνήτου.

v. 3. οἴακα νωμῶν] A. κυβερνήτης ὢν τῶν τῆς πόλεως πραγμάτων. Καλῶς ὁ ποιητὴς τὸν ἄρχοντα τῆς πό-

---

*) Abreſchius emendat πρύμνην μὲν λέγων τὴν ἀρχήν.

λεως ἐξισοῖ τῷ τῆς νηὸς κυβερνήτῃ. Ὅπερ γὰρ ὁ κυβερνήτης ἐν τῇ νηΐ, τοῦτο αὐτὸ καὶ ἀρχηγὸς ἐν τῇ πόλει. Μὴ κοιμώμενος, ἐκ τοῦ φροντίζειν ὑπὲρ τῆς πόλεως. Καὶ Ὅμηρος· Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα *).

οἴακα νωμῶν] B. ἐξουσίαν διεξάγων, κινῶν· ὅςτις ἐν πρύμνῃ καθήμενος καὶ τοὺς οἴακας ἔχων, τουτέστι, τὴν ἀρχὴν καὶ τὴν ἐξουσίαν τῆς πόλεως. μὴ κοινῶν] ἀναπαύων, ἀλλὰ εὐφροντίζων.

v. 4. εἰ μὲν γὰρ εὖ πράξαιμεν] A. εἰ μὲν γὰρ καλῶς, φησί, πράξαιμεν, τῆς εὐπραξίας ἡ αἰτία ἐπὶ τοὺς θεοὺς ἀναφέρεται. τῆς δὲ δυςπραξίας, ἐπὶ τοὺς ἄρχοντας. Διὸ καί φησιν, εἰ δ' αὖτε καὶ πάλιν συμφορὰ καὶ δυςτυχία τύχοι, ἤγουν ἐὰν δυςτυχήσωμεν, καὶ κακῶς πάθωμεν (ὅπερ μὴ γένοιτο) ὁ Ἐτεοκλῆς ἂν (τοῦτ' ἔστιν ἐγὼ) εἷς ὤν, πολὺς κατὰ πόλιν ὑμνοῖτο καὶ λοιδοροῖτο καὶ ὑβρίζοιτο ὑπὸ τῶν πολιτῶν διὰ κακῶν καὶ πολυστρόφων ὕβρεων, καὶ ψόγων καὶ ὀνειδισμῶν, ὧν τινων τούτων ὁ Ζεὺς γένοιτο ἀλεξητήριος, ἐπώνυμος τῇ πόλει Καδμείων, ἀντὶ τοῦ οὕτως ὀνομαζόμενος ἐν Θήβαις· τοῦτο γὰρ ἔχει ἐπώνυμον ἐν Θήβαις ὁ Ζεύς, καὶ ἐκεῖ Ζεὺς τιμᾶται ἀλεξητήριος. Φησὶν οὖν, συμφώνως ἑαυτῷ τιμῷτο.

εὖ πράξαιμεν] B. εὐτυχήσαιμεν. αἰτία θεοῦ] τῆς εὐτυχίας τῆς πόλεως ὑπερμαχοῦντος.

v. 5. αὖθι] B. πάλιν. μὴ γένοιτο] εἴθε.

v. 6. πολὺς] B. δέον πολὺ εἰπεῖν πολὺς εἶπε, πρὸς τὸ Ἐτεοκλῆς.

v. 7. ὑμνοῖτο] A. ὑμνεῖσθαι μέσον.

ὑμνοῖτο] B ἐπαινοῖτο. φροιμίοις πολυῤῥόθοις] ἐπαίνοις παμπολλοῖς.

v. 8. οἰμώγμασι] B. θρήνοις. ὧν] οἰμωγμάτων. ἀλεξητήριος] ἀποσοβητής.

---

*) Iliad. B. 24.

v. 9. ἐπώνυμος] B. ἐπειδὴ πολλαὶ Διὸς προσηγορίαι, καλεῖται γὰρ Φιλοξένιος *), ἀλεξητήριος, καὶ ἕτερα, διὰ τοῦτο εἴρηκεν ἐπώνυμος. Δέον δὲ ἐπωνύμως εἰπεῖν ἐπώνυμος εἶπε πρὸς τὸ Ζεύς.

v. 10. τὸν ἐλλείποντ' ἔτι] A. τὸν ἐλλείποντα ἔτι ἡλικίας ἀκμαίας καὶ ὀξυτάτης, ἤτοι τὸν νεάζοντα· καὶ τὸν ἔξηβον χρόνῳ, ἤτοι τὸν γηραιὸν καὶ παρηβηκότα καὶ παρακμάσαντα ὑπὸ τοῦ χρόνου.

ὑμᾶς δὲ χρὴ] B. τοῦτο κατὰ ἄθροισιν καὶ μερισμόν. ἐλλείποντα] στερούμενον.

v. 11. ἥβης ἀκμαίας] B. ἡλικίας ἀκμαζούσης καὶ πρὸς μάχην ἐπιτηδείας, ἀλλ' ἔτι μειράκιον ὄντα. Καὶ ἔξηβον χρόνῳ, ἀντὶ τοῦ, γέροντα ὄντα.

v. 12. βλάστημον] A. ἤτοι αὔξησιν καὶ προκοπὴν αὔξοντα καὶ βλαστάνοντα σωματικήν, ὡς ἀκμαῖον καὶ νεανικὸν εἶναι πρὸς μάχην.

βλάστημον ἀλδαίνοντα σώματος] B. ἤτοι τὴν αὔξησιν καὶ προκοπὴν αὔξοντα καὶ βλαστάνοντα σώματος, ὡς ἀκμαῖον καὶ νεανικὸν εἶναι πρὸς μάχας.

v. 13. ὥραν] A. Φροντίδα, ἡλικίαν. Ἵν' ᾖ ὁ νοῦς οὗτος, ἕκαστον ὑμῶν ἔχοντα Φροντίδα τῆς πόλεως, ἢ ἕκαστον κατὰ τὴν ἡλικίαν ἑαυτοῦ, βοηθεῖν τῇ πόλει, ὡς πρέπον ἐστίν.

ὥραν] B. Φροντίδα τῆς πόλεως. ἕκαστον] μειράκιον, γέροντα, νεανίσκον. ὥς τι συμπρεπὲς] καθὼς ἐστιν ἁρμόζον τῇ ἑαυτοῦ ἡλικίᾳ. Δέον δὲ εἰπεῖν καὶ τὸν ἀλδαίνοντα ἀσυνδέτως ἐξήνεγκε, ὥστε τοὺς μὲν γέροντας σὺν τοῖς μειρακίοις λιτὰς ποιεῖσθαι, τοὺς δὲ νέους μάχεσθαι.

v. 14. ἀρήγειν] B. βοηθεῖν.

v. 15. ἐξαλειφθῆναι] B. πεπαῦσθαι.

v. 16. τέκνοις τὲ] A. κοινὸν τὸ ἀρήγειν.

---

*) Quam hoc Jovis cognomen nusquam occurrat Abreſchius conj. Scholiaſten ſcripſiſſe Φίλιος, ξένιος.

τέκνοις] B. ἀρήγειν ἀπὸ κοινοῦ. γῇ τε μητρί, Φιλτάτῃ τροφῷ] βροτῶν· τουτέστι τῇ μητρὶ τῇ φιλτάτῃ τῶν ἐν ἀνθρώποις μητέρων.

v. 17. ἕρποντας] A. κυρίως ~~περὶ~~ ἐπὶ παίδων τὸ ἕρποντας.

ἡ] B. αὕτη. νέους] ὑμᾶς ὄντας.

v. 18. πανδοκοῦσα] A. ~~ὑποδεχομένη~~ ἐπιδεχομένη. Πάντα πόνον τῆς παιδικῆς ἡλικίας ὑποδεχομένη.

πανδοκοῦσα παιδίας ὅτλον] B. δεχομένη παιδεύσεως κακοπάθειαν, πόνον.

v. 19. οἰκιστῆρας ἀσπιδοφόρους] B. οἰκήτορας πολεμιστὰς καὶ ἀνδρείους.

v. 20. ὅπως γένοισθε] A. πιστοὶ δηλονότι, πρὸς ~~τὸν~~ ὑπὲρ αὐτῆς κίνδυνον πρόθυμοι.

πιστοὺς] B. βεβαίους. ὅπως γένοισθε πρὸς χρέος τόδε] ἵνα ὑπάρξητε πρὸς τὴν παροῦσαν χρείαν ἣν ὑμῶν ἔχει ἡ πόλις ὑπὲρ τῆς αὐτῆς σωτηρίας.

v. 21. ἐς τόδ' ἦμαρ εὖ ῥέπει θεὸς] B. μέχρι τῆσδε τῆς ἡμέρας καλῶς ἡμῖν ἐκ τύχης ἔχει τὰ πράγματα. φυλασσομ... ὑπὸ τοῦ θε...

v. 22. χρόνον] B. κατά. πυργηρουμένοις] πολιορκουμένοις.

v. 23. τὰ πλείω] B. κατά. ἐκ θεῶν] ἐκ τῆς αὐτῶν βοηθείας. κυρεῖ] ὑπάρχει.

v. 24. οἰωνῶν βοτὴρ] A. σκοπός, ὁ Τειρεσίας.

ὁ μάντις] B. ὁ Τειρεσίας. οἰωνῶν βοτὴρ] ποιμήν. Διὰ τὸ τὰς πτήσεις αὐτῶν ἀνιχνεύειν ἐν ταῖς μαντείαις.

v. 25. ἐν ὠσὶ νωμῶν] A. ἐξ ἀκοῆς γὰρ τὰς πτήσεις διέκρινεν, οὐχ ὁρῶν ὁ Τειρεσίας ἐπέβαλλε τῇ τέχνῃ, ~~ἤτοι~~ ἑτέρου ὑπαγορεύοντος, οὐκ αὐτὸς ὢν αὐτόπτης τῶν ὀρνέων. πυρὸς δίχα] οὐκ ἐμπύροις χρώμενος.

ἐν ὠσὶ νωμῶν] B. διεξάγων. Τὸ ἐν ὠσὶ καὶ φρεσὶ λέγει, ἐπειδὴ τυφλὸς ὢν ἠρώτα τὴν ἑαυτοῦ θυγατέρα πῶς αἱ ὄρνιθες ἵπτανται, καὶ παρ' αὐτῆς ἀκούων ἐλογίζετο κατὰ νοῦν, καὶ τὰς μαντείας ἐποίει. Τὸ δὲ πυρὸς δίχα εἶπε πρὸς τὸ συναγόμενον ἀπὸ τοῦ ἐν ὠσὶ καὶ φρεσὶ νωμῶν χρηστη-

ρίους ὄρνιθας, ἵν' ᾖ ὁ δι' ὀρνίθων μαντευόμενος, καὶ οὐ διὰ πυρός.

v. 26. χρηστηρίους] A. μαντευτικούς.

χρηστηρίους ὄρνιθας] B. τοὺς τῆς μαντείας εὐφόρους καὶ συντελεῖς.

v. 27. οὗτος] B. σκόπει τὴν σύνταξιν, εἰπὼν γὰρ ἄνω νῦν δέ, καὶ δέον οὕτω ποιήσασθαι τὴν ἀπόδοσιν· νῦν δὲ ὡς ὁ μάντις φησὶν ὑπὸ τοῦ πολεμίων ἐπιβουλευόμεθα, οὕτω δέον εἰπεῖν, τίνα διὰ μέσου ἐπανάληψιν ἐποίησε, καὶ ἄλλως τὴν σύνταξιν ἔτρεψεν. εὕρηται δὲ πολλὰ τοιαῦτα καὶ παρὰ λογοποιοῖς.

v. 28. προςβολὴν Ἀχαΐδα] B. ἐπίλευσιν τοῦ τῶν Ἀχαιῶν στρατοῦ.

v. 29. νυκτηγορεῖσθαι] A. ἐν νυκτὶ ἀγορεύεσθαι καὶ βουλεύεσθαι.

νυκτηγορεῖσθαι] B. ἐν νυκτὶ ἀγείρεσθαι *).

v. 30. ἀλλ' ἔς τ' ἐπάλξεις] A. ἀλλὰ πάντες σὺν παντευχίᾳ καὶ σὺν πᾶσι τοῖς ὅπλοις, ἤγουν ὡπλισμένοι, ὁρμᾶσθε, σοῦσθε ὁμοίως ἐς τὰς ἐπάλξεις καὶ τοὺς προμαχῶνας τῶν πύργων, καὶ ἐπὶ τὰς πύλας, καὶ ἐπὶ τοῖς σέλμασι καὶ ταῖς καθέδραις καὶ ταῖς κατασκευαῖς τῶν πύργων στάθητε, μίμνοντες δὲ καὶ ἐπιμένοντες καὶ καρτεροῦντες, θαρσεῖτε, μηδὲ λίαν φοβεῖσθε τὸν ὅμιλον καὶ τὸ πλῆθος τῶν ἐπηλύδων, ἤγουν τῶν ἀπὸ ξένης ἐλθόντων πολεμίων. Εὖ καὶ καλῶς ὁ θεὸς παράσχοι ἡμῖν, καὶ ἀγαθὰ πράξειεν. Ὅμιλος ἐτυμολογεῖται ἀπὸ τοῦ ὁμοῦ τὴν ἴλην ἔχειν.

ἐπάλξεις] B. τείχη. πύλας πυργωμάτων] ἐν γὰρ πύργοις αἱ πύλαι.

v. 31. σοῦσθε] B. ὁρμᾶσθε. παντευχίᾳ] πανοπλίᾳ.

---

*) Abreschius putabat Scholiasten hic in textu suo reperisse potius νυκτηγερεῖσθαι, quam vulgatum νυκτηγορεῖσθαι.

v. 32. πληροῦτε θωρακεῖα] A. τὰ τείχη, διὰ τὸ τὴν πόλιν ὡς θώρακα ἔχειν αὐτά. σέλμασι] ταῖς καθέδραις, μεταφορικῶς ἀπὸ τῶν νηῶν.

πληροῦτε θωρακεῖα] B. γεμίζετε ἑαυτῶν τὰς ἐπάλξεις. σέλμασι] βάσεσι, καθέδραις.

v. 34. εὐθαρσεῖτε] B. θαῤῥοῦντες ἀτρέπτως ἵστασθε. ἐπηλύδων] ξένων.

v. 35. εὖ τελεῖ θεὸς] A. καλὰ θεὸς παρέχει.

ταρβεῖτε] B. ἐκπλήττεσθε καὶ φοβεῖσθε. ὅμιλον] πλῆθυν. εὖ τελεῖ θεὸς] καλῶς ὁ θεὸς ἀεὶ ποιεῖ· ὥστε καὶ τὸν ἡμῶν ὄλεθρον οὐκ ἐθελήσει.

v. 36. σκοποὺς δὲ κἀγὼ] A. καὶ ἐγὼ δέ, φησὶν Ἐτεοκλῆς, ἔπεμψα σκοποὺς καὶ ἐπιτηρητὰς καὶ κατοπτῆρας τοῦ στρατοῦ τῶν Ἑλλήνων, οὕστινας πέποιθα καὶ θαῤῥῶ μὴ ματᾷν καὶ ματαιοπονεῖν ἐν τῇ ὁδῷ. Τοῦτ' ἔστι, μὴ μάτην ἀπελθεῖν, ἀλλὰ μαθεῖν ἅπαντα, καὶ κατοπτεῦσαι τὸν στρατὸν τῶν Ἑλλήνων. Καὶ ἀπὸ τούτων μαθὼν ἐγώ, οὐδαμῶς ἂν ληφθῶ καὶ κρατηθῶ τῶν Ἑλλήνων δόλῳ· τὸ δὲ μή, παρέλκον.

σκοποὺς] B. κατασκόπους. στρατοῦ] τῶν πολεμίων.

v. 37. ματᾷν ὁδῷ] B. ματαίως ἀνύσαι τὴν τῆς κατασκοπῆς πορείαν.

v. 38. ληφθῶ δόλῳ] B. κρατηθῶ δόλῳ τῷ τῶν πολεμίων.

v. 39. Ἐτεόκλεες, φέριστε] A. ἄγγελος ἐλθὼν φησὶ πρὸς τὸν Ἐτεοκλέα, ὦ φέριστε βασιλεῦ τῶν Καδμείων, ἥκω καὶ ἔρχομαι φέρων σοι σαφῆ καὶ φανερὰ πάντα τὰ ἐκεῖσε· καὶ αὐτὸς δ' ἐγώ εἰμι κατάσκοπος τῶν πραγμάτων, οὐχ ὑπ' ἄλλων ταῦτα μαθών.

φέριστε] B. ὑπέρτατε.

v. 40. ἥκω] B. ἦλθον. σαφῆ] φανερά. τἀκεῖθεν ἐκ στρατοῦ] τῶν πολεμίων. Τὸ ἐκεῖθεν καὶ τὸ στρατοῦ ἐκ παραλλήλου, μεθερμηνευτικὸν ὂν τοῦ στρατοῦ τὸ ἐκεῖθεν. φέρων] σοί.

v. 41. κατόπτης] B. θεατής. τῶν πραγμάτων] ἃ καθ' ἡμῶν οἱ πολέμιοι μέλλουσιν ἐργάζεσθαι.

v. 42. θούριοι λοχαγέται] A. ὁρμητικοὶ πρὸς πόλεμον. Λοχαγέται ἤγουν στρατηγοί.

θούριοι λοχαγέται] B. πολεμικοὶ στρατηγοί.

v. 43. ταυροσφαγοῦντες ἐς] A. οὕτω θύοντες ἐπάνω τῶν ἀσπίδων ἐμαντεύοντο. μελάνδετον σάκος] ἤτοι τὸ μελανθὲν τῷ αἵματι· ἢ τὸ ἐκ μελαινῶν βυρσῶν κατεσκευασμένον. Τὸ μελάνδετον δὲ καλῶς ἐπὶ ξίφους ῥηθείη, ἐπὶ δὲ σάκους παρέλκει τὸ δετόν, ὡς ἐπὶ τοῦ κελαινεφὲς τὸ νέφος. Ἢ τὸ περιφέρειαν σιδηρᾶν ἔχον· μέλας γὰρ ὁ σίδηρος.

ταυροσφαγοῦντες] B. ταύρους σφάττοντες. μελάνδετον σάκος] διὰ σιδήρου δεδεμένην ἀσπίδα.

v. 44. θιγγάνοντες] B. ψαύοντες. χερσί] ταῖς αὐτῶν. φόνου] αἵματος.

v. 45. Ἐνυώ] B. μάχην. φιλαίματον φόνον] τὸν αἵματι χαίροντα εὔφορον τοῦ φόνου θεόν· εὕρηται καὶ φόβον.

v. 46. ὡρκωμότησαν] A. ὅρκους ἐποίησαν εἰς τὸν Ἄρην τὲ καὶ τὴν Ἐνυώ, καὶ τὸν φιλαίματον Φόβον (Φόβος δὲ καὶ Δεῖμος θεράποντες Ἄρεως), τοῦτο ὤμοσαν ἢ ἀλαπάξειν καὶ κατασκάψειν τὴν πόλιν τῶν Θηβαίων, θέντες καὶ ποιήσαντες ταύτῃ τῇ πόλει κατασκαφάς· ἢ ἀποθανεῖν ἐν ταύτῃ τῇ γῇ.

ὡρκωμότησαν] B. ὤμοσαν. κατασκαφὰς] πορθήσεις καὶ ἀφανισμούς.

v. 47. λαπάζειν] B. ἐκπορθήσειν.

v. 48. τήνδε] B. τὴν τῶν Θηβαίων. φυράσειν φόνῳ] βάψειν τῷ αἵματι.

v. 49. μνημεῖα θ' αὐτῶν] A. περόνας ἢ τρίχας, ἤ τι τοιοῦτον. Ἔθος γὰρ ἦν τοὺς ἐν πολέμῳ τοῖς οἰκείοις πέμπειν σημεῖα, ἢ περόνας, ἢ ταινίας, ἢ βοστρύχους, ἤ τι τοιοῦτον.

μνημεῖα] B. ἐνθυμήσεις.

v. 50. ἔστεφον] A. ἀντὶ τοῦ ἐπλήρουν, πρὸς ἅρμα δὲ Ἀδράστου, ἐπεὶ Ἀμφιάραος αὐτοῖς ἐμαντεύσατο, μόνον Ἄδραστον σωθήσεσθαι. Τοῦτο δὲ ἀπὸ τῆς ἱστορίας ἔλαβεν, ὅτι ἐσώθη ὁ Ἄδραστος· ἐπεὶ πόθεν ᾔδεσαν ὅτι διαφεύξεται; Ἄλλως. Ὁ Ἀμφιάραος, εἷς τῶν Ἀργείων ὤν, οἷα μάντις, προεῖπεν αὐτὸν μόνον τὸν Ἄδραστον καὶ τὸ αὐτοῦ ἅρμα ὑποστρέψειν ἐκ Θηβῶν, τοὺς δὲ ἄλλους ἐκεῖσε ἀπολεῖσθαι. Διὰ τοῦτο γοῦν ἕκαστος τῶν Ἀργείων ἐζωγράφει τῷ ἅρματι τοῦ Ἀδράστου τὴν οἰκείαν μορφήν, ἵνα ἐὰν συμβῇ ἀπολωλέναι αὐτοὺς ἐκεῖσε, ὑποστρέψῃ δὲ ὁ Ἄδραστος μόνος μετὰ τοῦ οἰκείου ἅρματος, θεῶνται ἐν εἰκονίσμασιν ὑπό τε τῶν γονέων καὶ φίλων καὶ πολιτῶν.

ἔστεφον] B. περιετίθουν. Ὁ μάντις Ἀμφιάραος εἷς ὢν τῶν ἑπτὰ στρατηγῶν ἔφη καὶ αὐτὸν καὶ τοὺς ἄλλους ἓξ ἐν Θήβαις πεσεῖν, Ἄδραστον δὲ μόνον εἰς Ἄργος ἀναχωρήσειν. Διὰ τοῦτο ἕκαστος ἐδίδου αὐτῷ ἢ δακτύλιον ἢ ἄλλο τι ὃ εἶχεν ἀγαγεῖν Ἄργος, ἵνα οἱ σφῶν πατέρες ταῦτ' ἔχοντες μέμνωνται αὐτῶν.

v. 51. οἶκτος δ' οὔτις ἦν] A. οὐκ ἦν ἔλεος διὰ τῆς γλώττης αὐτῶν προϊὼν ~~ἐκ~~θηλύνων τὴν ὁρμήν. Ἤγουν, οὐκ ἦν παρ' αὐτοῖς φιλόψυχος λογισμός, οὐδ' οἶκτον ζωῆς ἐν γλώττῃ προέφερον, ἀνακόπτοντα αὐτοὺς τοῦ ἐγχειρήματος. Σιδηρόφρων γὰρ καὶ ἀκαμπὴς καὶ σκληρὸς θυμὸς αὐτῶν ἔπνει ἀναπτόμενος τῇ ἀνδρείᾳ, δεδορκότων καὶ βλεπόντων αὐτῶν Ἄρηγν, ἤτοι φονικὸν καὶ πολεμικὸν ὁρώντων, ὡς λεόντων.

λείβοντες] B. χέοντες. οἶκτος] ἔλεος. διὰ στόμα] ἑαυτῶν, ἡ διὰ οὐ μόνον ὅταν δηλοῖ αἰτίαν συντάσσεται αἰτιατικῇ, ἀλλὰ καὶ ὅταν δηλοῖ καὶ ἐνέργειαν, οὐ γὰρ μόνον φαμὲν ὅτι διὰ τῶν ῥητόρων πάνθ' ἡμῖν τὰ χρηστά, ἀλλὰ καὶ διὰ τοὺς ῥήτορας. Εὑρήσεις δὲ καὶ προϊὼν, διὰ στόμα πυριγενετᾶν χαλινῶν· οἱ πολλοὶ δὲ ἀγνοοῦντες ἀντὶ τῆς εἰς λαμβάνουσι, διὰ στόμα ἀντὶ τοῦ εἰς στόμα λέγοντες.

v. 52. σιδηρόφρων] B. σκληρὸς καὶ ἄκαμπτος. θυμὸς] αὐτῶν. φλέγων] θερμῶς κινουμένος.

v. 54. πύστις οὐκ ὄκνῳ χρον.] A. εἰς ἐπέκτασιν πολλοῦ καιροῦ. Μετ᾽ οὐ πολὺ δὲ ταῦτα γνώσῃ τῇ πείρᾳ. Ἡ περὶ τούτων ἀκοὴ οὐ βραδέως γέγονε· ταχὺ γὰρ ἤγγειλα.

τῶνδε πύστις] B. τούτων φήμη, ἀκοή. οὐκ ὄκνῳ χρονίζεται] οὐκ ἀναβολῇ βραδύνει.

v. 55. κληρουμένους δ᾽ ἔλειπον] A. κατέλειψα δὲ αὐτοὺς ἐκεῖσε κλῆρον ποιουμένους, ὅπως ἕκαστος αὐτῶν ἄγοι λόχον καὶ ἐνέδραν καὶ τάξιν πολεμικὴν πρὸς πύλας, πάλῳ καὶ κλήρῳ τοῦτο λαχών. Κλήρους γὰρ ποιησαμένων τῶν ἑπτὰ λοχαγῶν, μία πύλη ἑκάστῳ ἐδόθη πρὸς φυλακήν.

κληρουμένους] B. κλήρους βάλλοντας. ὡς] ἵνα. πάλῳ] κλήρῳ.

v. 56. λόχον] B. ἐνέδραν.

v. 57. ἐκκρίτους] B. ἐξειλεγμένους.

v. 58. τάγευσαι] B. ὡς ταγὸς καὶ ἡγεμὼν τῆς πόλεως τάξαι.

v. 59. ἐγγὺς] B. τῆς πόλεως. ἤδη] ἀπὸ τοῦ νῦν.

v. 60. ἀργηστὴς] A. λευκός.

κονίει] B. κόνιν ἐγείρει, ἀργηστὴς] λευκός.

v. 61. χραίνει] B. βρέχει. σταλαγμοῖς] ῥανίσι.

v. 62. σὺ δ᾽ ὥστε νηὸς] A. σὺ δ᾽ ὥσπερ ἀγαθὸς κυβερνήτης νεώς, φράξαι καὶ φρούρησον τὴν πόλιν. κεδνὸς] ἀσφαλής, βέβαιος.

ὡς] B. ὥσπερ. κεδνὸς οἰακοστρόφος] συνετὸς κυβερνήτης.

v. 63. καταιγίσαι] A. σφοδρῶς καταπνεῦσαι τὰς πνοὰς τοῦ πολέμου. Τροπικὸς δὲ ὁ λόγος· ὤφελε γὰρ εἰπεῖν πνοὰς ἀνέμου, ἀλλὰ περὶ πολέμου λέγων διὰ τοῦτο καὶ τὴν τροπὴν φυλάττει, νῆα μὲν τὴν πόλιν ὀνομάζων, πνοὰς δὲ Ἄρηος τὴν σφοδρότητα τοῦ πολέμου, κῦμα δὲ χερσαῖον τὴν σύῤῥοιαν τοῦ πλήθους τοῦ στρατοῦ τῶν ἐναντίων.

φράξαι] B. φύλαξον καὶ ἀσφαλίσαι. καταιγίσαι] καταβαλεῖν καὶ ἀνατρέψαι. Χρῆται δὲ δι᾽ ὅλου τῇ μεταφορᾷ.

v. 64.

v. 64. βοᾷ γὰρ κῦμα] A. Πρὸς τὸ πνεῦμα ἐπήγαγε τὸ κῦμα· παρακεκινδυνευμένως δὲ εἶπε κῦμα χερσαῖον.

κῦμα χερσαῖον στρατοῦ] B. ἐπειδὴ τὸ κῦμα θαλάσσης ἐστὶ, διὰ τοῦτο χερσαῖον εἶπε. Δηλοῖ δὲ ἐντεῦθεν τὴν σφοδρὰν τοῦ στρατοῦ ῥύμην.

v. 65. καὶ τῶνδε καιρὸν] A. τοῦτ᾽ ἔστι, μὴ ἐκπέσῃς τοῦ δέοντος χρόνου.

τόνδε καιρὸν] B. τὸν τῆς προσβολῆς ἐκείνων. ὅστις ὤκιστος] ταχύτατος, ἤγουν πρόλαβε ταχέως τὴν ἐκείνων ἔφοδον.

v. 66. κἀγὼ] B. καὶ ἐγὼ ἕξω τὰ ἐπίλοιπα ὀφθαλμὸν ἡμεροσκόπον πιστόν· τουτέστιν ἀπελθὼν αὖθις ἐκεῖσε καὶ ἕκαστα τῶν πραττομένων σκοπῶν, ἀγγελῶ σοι. Καλεῖται δὲ τὸν ὀφθαλμὸν ἡμεροσκόπον, ἐπειδὴ ὥσπερ τοὺς κατασκόπους ἔχομεν, οὕτω καὶ τοὺς οἰκείους ὀφθαλμούς. Τὸ δὲ πιστὸν λέγει, ὅτι ὁ ἰδών τι μᾶλλον τοῦ ἀκούσαντος ἐπίσταται, καὶ μαρτυρεῖ ἡ παροιμία, ὀφθαλμοὶ ὠτίων πιστότεροι. τὰ λοιπὰ] τούτων. πιστὸν] βέβαιον.

v. 67. ὀφθαλμὸν ἕξω] A. ἀσφαλῶς φυλάξω.

σαφηνίᾳ λόγου] B. ἀκριβεστάτῃ ἀγγελίᾳ τοῦ ἐμοῦ λόγου.

v. 68. τῶν θύραθεν] B. τῶν πολεμίων.

v. 69. πολισσοῦχοι θεοὶ] B. οἱ τὴν πόλιν συνέχοντες καὶ φυλάσσοντες.

v. 70. Ἐριννὺς] B. φθοροποιή. πατρὸς] τοῦ ἡμετέρου.

v. 71. πρυμνόθεν] B. ῥιζόθεν. πανώλεθρον] ποταπήν.

v. 72. Ἑλλάδος φθόγγον χέουσαν] A. ἤγουν τὴν μὴ βάρβαρον οὖσαν, ἀλλ᾽ Ἑλληνίδα καὶ αὐτήν.

ἐκθαμνίσητε] B. ἐκσπάσητε. δηάλωτον] ὑπὸ πολέμου ἠφανισμένον. Ἑλλάδος φθόγγον χέουσαν] διάλεκτον· ἤτοι Ἑλληνίδα οὖσαν.

v. 73. δόμους ἐφεστίους] B. τῶν πολιτῶν, ἢ ἐμῶν

v. 75. μήποτε σχέθειν] A. τὸ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ. Ἀντὶ τοῦ, μήποτε σχῆτε ἐν ζυγοῖς τοῖς δουλίοις τὴν ἐλευθέραν πόλιν.

ζυγοῖσι δουλείοισι] B. ἤτοι δουλείᾳ. μήποτε σχέθειν] ἐθελήσατε κρατηθῆναι.

v. 76. ξυνὰ] A. κοινωφελῆ καὶ ὑμῖν.

ἀλκὴ] B. δύναμις καὶ βοήθεια. ξυνὰ] ἡμῖν καὶ ὑμῖν.

v. 78. θρέομαι φοβερὰ μεγάλ' ἄχη] A. ἤτοι θρηνῶ, βοῶ φοβερὰς μεγάλας θρηνῳδίας. Εὐπτόητος γὰρ ἡ τῶν παρθένων ἡλικία πρὸς φόβον, μάλιστα πρὸς πολιορκίαν. Τὸ δὲ φοβερά, ἢ διὰ τὰ φοβερὰ ἄχη· ἢ φοβερὰ γινομένη, ὅ ἐστιν ἐπίτρομος.

θρέομαι] B. φοβοῦμαι. ἄχη] τὰ ἐπερχόμενα δηλονότι.

θρέομαι φοβερὰ] Γ. ὁ παρὼν χορός, συνέστηκεν ἐκ κώλων ρίδ'. Ὧν τὰ μέν ἐστι χοριαμβικά, τὰ δέ, εἰ βούλει, καὶ ἀντισπαστικὰ πενθημιμερῆ καὶ ἑφθημιμερῆ καὶ ἡμιόλια, καὶ δίμετρα ἀκατάληκτα, καὶ τρίμετρα, βραχυκατάληκτα, ὧν τελευταῖον Μνήστορές ἐστέ μοι. Οὕτω δὲ χρὴ μετρηθῆναι μᾶλλον, ἵν' εἴη κατάλληλα τὰ κῶλα, ὡς καὶ τὰ τῶν ἄλλων χορῶν.

v. 79. μεθεῖται στρατὸς στρατόπεδον λιπὼν] A. ἀφεῖται ὁ ὄχλος ἀπὸ τοῦ στρατοπέδου. Οἷον, ἤδη τὴν ὁρμὴν ποιοῦνται ἐπὶ τὴν πόλιν ἡμῶν οἱ πολέμιοι. Ταῦτα δὲ φανταζόμενοι λέγουσιν ὡς ἀληθῆ. Τὸ δὲ χ πρὸς τὴν διαφορὰν τοῦ στρατοῦ καὶ τοῦ στρατοπέδου· στρατόπεδον γὰρ καλεῖται τὸ ἐνδιαίτημα τοῦ στρατοῦ.

μεθεῖται] B. ἐκ τοῦ οἰκείου τόπου ἐφ' ἡμᾶς ὁρμᾶται. στρατόπεδον] τὸν τόπον ἐν ᾧ ἔκειτο.

v. 80. ῥεῖ πολὺς δ' ὧδε] A. ὁ ἱππικὸς στρατὸς συγκεχώρηται καὶ ἀφίεται, πρὸς τὴν πόλιν ὁρμᾷ, πρόδρομος, ἤτοι προπορευόμενος τῶν ἑτέρων· τὸ τοῦ στρατοῦ ὅλον, τουτέστιν, ἅπαν τὸ τοῦ στρατοῦ πλῆθος ῥεῖ, ὁρμᾷ, χέεται, κινεῖται. Ἀσυνδέτως ταῦτα. Πείθει δέ με ταῦτα σκοπεῖν ὁ ἐν τῷ ἀέρι ἀναφερόμενος κονιορτός, ὁ ἄναυδος καὶ ἄφωνος

φῶν, σαφὴς δὲ καὶ φανερὸς καὶ ἀληθὴς μηνυτὴς τούτων, ἤγουν, ἡ τοῦ κονιορτοῦ κίνησις, ἱππέων πλῆθος σημαίνει ἐπέρχεσθαι. Αἰθερία δὲ κόνις, ἡ αἰρομένη μέχρι τοῦ αἰθέρος, καίτοι ἄφωνος οὖσα, ἐναργής ἐστιν, ὥσπερ ἄγγελος, καὶ ἀληθής. φαντάζονται δὲ ταῦτα πάντα.

ῥεῖ] B. δίκην ῥεύματος ἐπεισι. πρόδρομος] προτρέχων, ποταπός.

v. 81. Αἰθερία κόνις] B. καὶ μέχρις ἀέρος φθανοῦσα ταῖς τῶν ἵππων ὁπλαῖς. με πείθει] ἐπειδὴ τὸ πείθειν διὰ λόγου γίνεται, διὰ τοῦτο εἶπε τὸ ἄναυδος.

v. 82. σαφὴς ἔτυμος ἄγγελος] B. φανερὸς ἀληθὴς μηνυτὴς, ὡς κατ' ἐμοῦ γίνεται.

v. 83. ἐλεδεμνάς] A. ὁ ἐλαύνων καὶ διεγείρων τῶν δεμνίων. πεδιοπλόκτυπος] καὶ τὸ τῆς γῆς δέ μου πέδον κατακτυπούμενον τοῖς ὅπλοις, ποιεῖ μου τοῖς ὠσὶ προσπελάζειν τὸν ἦχον.

ἐλεδεμνάς] B. ἐλαύνων ἐμὲ ἐκ τῶν δεμνίων καὶ οὐκ ἐῶν καθεύδειν, φόβον ἐμβαλών. πεδιοπλόκτυπος] κτύπον ἐν τῷ πεδίῳ τοῖς ὅπλοις ἐγείρουσα.

v. 84. βρέμει] A. ἠχεῖ τρόπον ποταμῶν τὰ πεδία τῆς γῆς μου.

ἐγχρίμπτεται βοά]. B. ἐπειδὴ καὶ πλησιάζει ἦχος. ποτᾶται] ἐναέριος φέρεται, ἠχεῖ ἡ βοὴ τῶν ὅπλων.

v. 85. ἀμαχέτου] B. πρὸς ὃ μὴ δύναταί τις μαχήσασθαι, ἤτοι κατασχεῖν φερόμενον. ὀροκτύπου] τοῦ κτύπον ἐν τῷ ὄρει ἐγείροντος τῇ φορᾷ. Ἢ τοῦ ἔχοντος ἐν τῷ ὄρει καὶ ὁρμᾷν.

v. 86. ἰὼ, ἰὼ, ἰὼ] B. ὢ ὢ ὤ. ὀρόμενον] ταρασσόμενον καὶ ἐγειρόμενον, φερόμενον. ἀλεύσατε] ἀποσοβήσατε.

v. 87. βοᾷ ὑπὲρ τειχέων ὁ] A. σὺν θορύβῳ καὶ ὄχλῳ ὁ Ἀργεῖος λαὸς ὁ λευκὰς ἀσπίδας ἔχων ὄρνυται καὶ διεγείρεται καὶ ὁρμᾷ ὑπεράνω τῶν τειχέων, εὐπρεπὴς, ἤτοι τοῖς ὅπλοις κεκοσμημένος, ἐπὶ τὴν πόλιν τρέπων, προδρα-

γὰρ ὡςανεὶ ὁ τῶν παρθένων χορὸς πῶς ὁ τῶν Ἀργείων ὄχλος ἄνοδαν ἐπὶ τῶν Θηβαϊκῶν τειχῶν μέλλει ποιήσασθαι.

βοῶ] B. ἐστίν.

v. 88. ὄρνυται] B. ὁρμᾶται. εὐτρεπὴς] ποταπός, ἕτοιμος.

v. 89. διώκων] B. ἐλαύνων, σπεύδων.

v. 90. ῥύσεται] B. ἡμᾶς τῶν τοιούτων.

ἐπαρκέσει] B. βοηθήσει ἡμῖν.

v. 91. πότερα δῆτ' ἐγὼ] A. πρὸς τὰ εἴδωλα τῶν θεῶν πέσω, παρακαλῶν καὶ δυσωπῶν αὐτούς, ἢ ἄλλο τι πράξω.

πότερα] B. ποιόν· ἐπειδὴ τὸ πότερα δυοτικὴν ἔμφασιν ἔχει. Φαμὲν γὰρ πότερα ποιήσω, τόδε ἢ τόδε; ἐνταῦθα τὸ μὲν ἓν σκέλος εἶπεν, ἐπειδὴ συντελεῖ, τὸ δὲ ἕτερον παρῆκεν, δέον εἰπεῖν, ἢ οὐ προςπέσω· ὥςτε πρὸς τὸ δαιμόνων πρῶτον ὑπόστιζε, ἵνα ἡ μὲν ὑποστιγμὴ εἴη διότι ὁ λόγος κρεμᾶται, ἡ δὲ στιγμή, διότι εἰ τὸν λόγον ἀπέδωκας, ἔστιξας ἂν ἐν τῷ τέλει τῆς ἀποδόσεως· τῶν δὲ μὴ ταῦτα δεχομένων βραχὺς λόγος, ἱκανὴν γὰρ τὴν ἐκ τῆς ἀγνοίας διδόασι δίκην. ποτιπέσω] προςπέσω.

v. 92. βρέτη] B. εἰκόνας.

v. 93. εὔεδροι] A. ἐπ' ἀγαθῷ ἱδρυμένοι. Ἢ ἐπὶ τῶν ἰδίων, φησί, καθέδρων καθεζόμενοι.

εὔεδροι] B. ὧν οἶκοι ἐν τοῖς ναοῖς.

v. 94. ἀκμάζει βρετέων ἔχεσθαι] A. τοῦτό φησι, καιρός ἐστι νῦν ἔχεσθαι βρετέων ἤτοι προςπίπτειν τοῖς εἰδώλοις τῶν θεῶν, καὶ παρακαλεῖν αὐτούς. Τί βραδύνομεν, καὶ οὐχ ἱκετεύομεν, ὦ ἀγάστονοι, ἡμεῖς αἱ ὑπὸ τοῦ στόνου ἀγόμεναι καὶ κατεχόμεναι, ἤ, λίαν θρηνοῦσαι. Ταῦτα δὲ τινὲς τῶν τοῦ χοροῦ γυναικῶν πρὸς τὰς ἑτέρας φασιν. Ἄλλως. Καιρὸς ἥκει, οἷον ἀκμῆς καὶ ὀξυλαβίας χρήζει τὰ πράγματα.

ἀκμάζει βρετέων ἔχεσθαι] B. ἀκμὴ καὶ καιρός ἐστιν εἰδώλων ἅπτεσθαι ἐπὶ δεήσει. ἀγάστονοι] ἄγαν στενάζουσαι μόνον, καὶ οὐχ ἱκετεύουσαι.

v. 96. ἀκούετ' ἢ] A. ἐπεὶ ἀγνῶτές εἰσι, τοῦτό φασιν. ἆρα φανταζόμεθα, ἢ ἀληθῶς ἀκούομεν.

v. 97. πέπλων καὶ στεφέων] A. πότε στέφη ῥίψομεν ἢ πέπλους ἐπὶ γῆς, ἢ νῦν, τραπεῖσαι ἐπὶ λιτανείαν τὴν περὶ ἡμῶν αὐτῶν καὶ τῆς πόλεως; παρετίθεσαν γὰρ καὶ πέπλους, καὶ ἐνέδυον καὶ πέπλους τὰ ἀγάλματα. Ὅμηρος, πέπλον ὅστις τοι χαριέστατος. (Iliad. VI. 271.)

πέπλων] B. τῶν ἐν τοῖς ἀγάλμασι. στεφέων] τῶν περὶ αὐτὰ στεφάνων. πότε] ἕξομεν. ἀμφὶ λιτὰν] περὶ παράκλησιν. ἕξομεν] οἱονεὶ διατεθῶμεν. Ὁ γὰρ περί τι διατιθεὶς ἄντικρυς τοῦτο κατέχει. Τὸ ἕξομεν οὕτω νόει, ὡς ἔφημεν, συνάπτων πρὸς τὸ ἀμφὶ λιτάν, τὸ δὲ ἀμφὶ λιτὰν πρὸς τὸ πέπλων καὶ στεφάνων· χρῶνται δὲ τούτῳ εἰς τοιαύτην σημασίαν καὶ οἱ ῥήτορες· καὶ μαρτυρεῖ ὁ Σύριος Λουκιανὸς λέγων, ἔπειτ' ἀμφὶ πλοῦν εἴχωμεν. Ἀγνοοῦντες δέ τινες τὸ ἕξομεν ἀντὶ τοῦ ἑξόμεθα λέγουσι, συνάπτοντες πρὸς τὸ πέπλων. Ἔθος ἦν τοῖς παλαιοῖς, ὁπότε ἱκέτευον τοὺς αὐτῶν θεούς, ἐν χερσὶν ἔχειν τοὺς αὐτῶν πέπλους καὶ στεφάνους, καὶ διὰ τούτων αὐτοὺς ἐξιλεοῦσθαι.

v. 99. κτύπον δέδορκα] A. μετήγαγε τὰς αἰσθήσεις πρὸς τὸ ἐνεργέστερον. Ὡς, Ἤκουσας ὁ κόραξ οἷος ἦλθ' ἐξ ὀρέου. Ὁ μέντοι ὀκτάσημος ῥυθμὸς ὡς καὶ παρ' Εὐριπίδῃ, (Phoen. 357.) Ἐγὼ δὲ οὔτε τοι πυρὸς ἀνῆψα φῶς νόμιμον ἐν γάμοις, πολύς ἐστιν ἐν θρηνῳδίᾳ, καὶ ἐπιτήδειος πρὸς θρήνους καὶ στεναγμούς.

κτύπον δέδορκα] B. κατανοῶ. Ὁ γὰρ κατανοῶ, τοῦτο δέδορκα τοῖς τοῦ νοῦ ὀφθαλμοῖς. πάταγος] κτύπος.

v. 100. τί ῥέξεις] A. τί ποιήσεις ὦ παλαίχθων Ἄρης, προδώσεις ἡμᾶς εἰς χεῖρας ἐχθρῶν;

v. 101. παλαίχθων] A. ἀντὶ τοῦ, ὁ ἐκ παλαιοῦ κληρωσάμενος τήνδε γῆν. Τιμᾶται γὰρ παρὰ Θηβαίοις ὁ Ἄρης. Διὸ καὶ ἄρειον τεῖχος καὶ Ἀρητιὰς κρήνη παρ' αὐτοῖς. Ἄρης αἰττικόν, ὦ Ἄρης κλητικόν· οἱ δὲ γράφουσιν, ὦ Ἀρη. Ἱερὰ δὲ Θήβη τοῦ Ἄρεως. Ἔστιν οὖν πάλαι τὴν γῆν κατέχων.

ῥέξεις] B. ποιήσεις. παλαίχθων Ἄρης] ὁ πάλαι καὶ ἐξ ἀρχῆς τὴν τῶν Θηβῶν χθόνα λαχὼν εἰς οἴκησιν.

Παρὰ Θηβαίοις ὁ Ἄρης τιμᾶται, Ἁρμονία γὰρ ἡ τούτων προμήτηρ, Ἀφροδίτης καὶ Ἄρεος ἦν παῖς· καλεῖται δὲ ἐνταῦθα καὶ ἄρειον τεῖχος, καὶ Ἀρητιὰς κρήνη, ἣν ὁ Ἄρης τηρεῖ καὶ ἐπισκοπεῖ. τὰν σὰν γᾶν] πόλιν δηλονότι.

v. 102. ἔπιδ' ἔπιδε πόλιν] A. ἠθικὸν τὸ δὶς ἀναφωνῆσαι. Δειλίαν γὰρ ἐμφαίνουσι διὰ τούτου.

χρυσοπήληξ] B. χρυσῆν περικεφαλαίαν ἔχων. ἔπιδε] ἤτοι εὐμενῶς βλέψον.

v. 103. εὐφιλήταν] A. εὖ πεφιλημένην.

εὐφιλήταν] B. ἀγαπητήν.

v. 104. πολισσοῦχοι χθονὸς] B. οἱ τὴν πόλιν καὶ τὴν περὶ αὐτὴν γῆν συνέχοντες.

v. 105. ἴθ', ἴτε πάντες] A. τινὲς ἴτ' ἴτε φασί· διὰ δὲ τὸ κακόφωνον εἶναι τὸ τ, τὸ θ προελήφθη τῷ ποιητῇ. Ἄλλοι δὲ ἴθι ἑνικῶς λέγουσι, πρὸς τὸν Ἄρην τοῦτο ἀποτείνοντες, τὸ δὲ ἕτερον εἰς τοὺς θεούς. Ὁ δὲ νοῦς ἐστὶ τοιοῦτος, ἔλθετε ὦ θεοὶ σύμπαντες ἴδετε καὶ θεάσασθε τὸν ἱκέσιον λόχον τῶν παρθένων, ἤγουν τὸ πλῆθος καὶ τὴν συνάθροισιν τῶν παρθένων γυναικῶν, τὴν ἱκετεύουσαν ὑμᾶς ὑπὲρ τοῦ μὴ γενέσθαι δούλας αὐτὰς τοῖς ἐχθροῖς. Ἄλλως. Σαφὲς ἐνταῦθα ὅτι ἐκ παρθένων ἐστὶν ὁ χορός. Ἐπίδετε, φησίν, ἡμᾶς ἱκετευούσας τρόπον δούλων. Ἱκετεύομεν γὰρ ὑπὲρ τοῦ μὴ εἰς δουλείαν ἀχθῆναι.

v. 106. παρθένων] B. ἡμῶν. ἱκέσιον λόχον] παράκλητον συνεδρίαν, ἀγοράν. δουλοσύνας ὕπερ] δουλείας ὑπὲρ τοῦ μὴ δουλεῦσαι.

v. 108. κῦμα γὰρ περὶ πτόλιν δοχμολόφων ἀνδρῶν] A. ταῦτα τροπικῶς εἶπεν. Ἤτοι, ὀργὴ καὶ θυμὸς τῶν δοχμολόφων ἀνδρῶν ταῖς πνοαῖς ταῖς ἐκπεμπομέναις τοῦ στόματος αὐτῶν, καχλάζει καὶ τῶν ῥινῶν ἔξωθεν. Δοχμολόφων δέ, τῶν ἐπινευόντων τοὺς λόφους, ἤτοι τὰ κράνη αὐτά· ἐν γὰρ τῇ κινήσει συμβαίνει πλαγιάζεσθαι τοὺς λόφους. Ἢ δοχμολόφων, τῶν κορυθαιόλων· καὶ Ὅμηρος ἔφη, κορυθαίολος Ἕκτωρ. Τὸ γὰρ κινούμενον κράνος τῇδε κἀκεῖσε,

+ δοχμολόφων οὖν τῶν ἐπινευόντων τοῖς λόφοις

δόχμιον γίνεται τε καὶ λέγεται· ἡ δὲ κίνησις κατηγορεῖται τοῦ ἐμπράκτου. + Ἄλλοι δέ δοχμολόφων φασί, διότι οἱ πολεμοῦντες κόρυθας ὑπὲρ τῆς κεφαλῆς ἐπεφέροντο, τρεῖς λόφους ἐχούσας, νεύοντας τῇδε κἀκεῖσε.

v. 109. δοχμολόφων] B. ἤτοι τῶν ἐχόντων τοὺς λόφους δοχμίους ἐν τῷ κινεῖσθαι. Λόφος δέ ἐστιν ἡ λεγομένη ἵππουρις, ἣν ἄνω τοῦ κράνους πηγνύουσιν.

v. 110. καχλάζει πνοαῖς] A. ταῖς πνοαῖς τῶν ἀνδρῶν καχλάζει, ὥσπερ κῦμα· καχλάζει δὲ οὐ Βορέου ἢ Νότου πνοῇ, ἀλλὰ τῇ τοῦ Ἄρεως.

καχλάζει] B. ἠχεῖ. ὀρόμενον] διεγειρόμενον.

v. 111. παντελὲς] A. πάντων ἔχων τέλος. πάντως ἄρηξον δαΐων ἅλωσιν] πάντως καὶ ἡμῖν βοήθησον, ὥστε μὴ ὑπὸ τὴν πολεμίων ἅλωσιν γενέσθαι.

παντελὲς] B. τὸ παντελὲς ἢ πρὸς τὸ Ζεῦ νοητέον οὕτω, ὦ Ζεῦ παντελὲς ἤτοι, ὦ πάντα τελῶν, ἢ ὁ κατὰ πάντα τέλειος· ἢ πρὸς τὸ ἄρηξον, οὕτω, ἄρηξον παντελές. ἤγουν διόλου. πάντως] ἀληθές.

v. 112. ἄρηξον] B. βοήθησον ἡμῖν. δαΐων ἅλωσιν] τὴν τῶν πολεμίων καταστροφήν.

v. 114. φόβος δ' ἀρηΐων] A. λείπει ἡ ὑπό. Ὁ ὑπὸ τῶν ἀρηΐων ὅπλων φόβος ταράσσει.

κυκλοῦνται] B. κυκλοῦσι. φόβος] ἡμῖν. ἀρηΐων] πολεμικῶν.

v. 115. διάδετοι δὲ γενύων] A. ἢ στομάτων. κινύρονται φόνον] ἤτοι ἦχόν τινα φονικὸν καὶ φονεργάτην ἐκπέμπουσιν. Ἄλλως. Θρηνοῦσιν ἡμῶν τὴν ἀναίρεσιν καὶ οἷον προφωνοῦσιν οἱ ἐν ταῖς γένυσι τῶν ἵππων χαλινοί.

διάδετοι γενύων ἱππείων] B. πανταχόθεν δεδεμένοι ἱππικῶν στομάτων.

v. 116. κινύρονται] B. ἠχοῦσιν ἡμῖν.

v. 117. ἀγήνορες πρέποντες στρατοῦ] B. ἄγαν ἀνδρεῖαι, ἔξοχοι· πρέπουσι γὰρ ἐν τοῖς ἄλλοις οἱ ἔξοχοι προύχοντες.

v. 118. δορυσσόοις] A. ταῖς διὰ τῶν δοράτων σωζούσαις πανοπλίαις, πολεμικαῖς πανοπλίαις.

δορυσσόοις σαγαῖς] B. πολεμικαῖς πανοπλίαις. Δορυσσόος πανοπλία ἡ ἐν τῷ δορὶ καὶ ἐν τῷ πολέμῳ σώους διατηροῦσα τοὺς ἔχοντας.

v. 119. πάλῳ] B. κλήρῳ.

v. 120. σύ τ' ὦ Διογενὲς] A. σύ τε ὦ κράτος ἐν πολέμοις Ἀθηνᾶ. Ὑπὸ δὲ τῆς ἀγωνίας οὐχ ἕνα θεὸν ἐπικαλοῦνται, ὡς παρθένοι. Καὶ ταῦτα δὲ δόχμιά ἐστι καὶ ἴσα, ἐάν τις αὐτὰ ὀκτασήμως βαίνῃ. Ῥυθμοὶ γάρ εἰσι· βαίνονται δὲ οἱ ῥυθμοί, διαιρεῖται δὲ τὰ μέτρα, καὶ συμβαίνεται.

Διογενὲς] B. ἐκ Διὸς γεννηθέν. Φιλόμαχον] πολεμικόν.

v. 121. ῥυσίπτολις] B. ῥυομένη τὴν πόλιν. Ἵππειος] ἱππικός· ἢ διὰ τὸ ὕδωρ ταχύ, ἢ διότι τῷ Πέλοπι πρῶτος ἅρμα πάρεσχεν.

v. 122. ἄναξ ἰχθυβ.] A. καὶ σὺ ὦ Πόσειδον, ὃς ἀνάσσεις ἐπὶ θήρᾳ ἰχθύων.

v. 123. ἰχθυβόλῳ μηχανᾷ] B. τῷ κάμακι ἢ τῇ τριαίνῃ.

v. 124. ἐπίλυσιν δίδου] A. πάλιν δὶς εἶπε τὸ ἐπίλυσιν. Τεταραγμένης καὶ ψυχῆς ταῦτα ἤθη, καὶ ἐμφάσεως ἕνεκα λεγόμενα.

ἐπίλυσιν] B. ἀπαλλαγήν. Φόβων] τῶν νῦν. δίδου] ἡμῖν.

v. 125. Κάδμου ἐπώνυμον] B. Καδμεῖοι οἱ Θηβαῖοι.

v. 127. κήδεσαί τ' ἐναργῶς] A. κηδεστὴς ἐναργῶς γένου. Ἁρμονίαν γὰρ τὴν Ἀφροδίτης καὶ Ἄρεως εἶχεν ὁ Κάδμος· ἢ ἀντὶ τοῦ, Φρόντισον ἡμῶν καὶ τῆς πόλεως ἐναργῶς.

κήδεσαι τ' ἐναργῶς] B. Φρόντισον φανερῶς.

v. 128. καὶ Κύπρις, ἅτε γένους] A. Κύπρις ἡ Ἀφροδίτη λέγεται· ταύτης δὲ καὶ Ἄρεως θυγάτηρ ἡ Ἁρμονία ἐγένετο, ἣν ὁ Κάδμος ἔλαβεν εἰς γυναῖκα. Ἀφ' ἧς οἱ ἀπὸ τοῦ Κάδμου πάντες γεγόνασι. Φησὶν οὖν ὁ χορὸς πρὸς

τὴν Ἀφροδίτην καὶ τὴν ταύτης θυγατέρα Ἁρμονίαν, βοήθησον ἡμῖν, ὅτι ἀπὸ τοῦ αἵματος τοῦ σοῦ ἐγεννήθημεν, ἀντὶ τοῦ ἀπὸ σοῦ καταγόμεθα.

Κύπρις] Β. ὦ. ἅτε] ἥτις. γένους] τοῦ ἡμετέρου. προμάτωρ] ἐξ Ἄρεος καὶ Ἀφροδίτης Ἁρμονία, ἡ Κάδμου γυνή.

v. 129. ἄλευσον] Β. ἀποσόβησον τὰ παρόντα. σέθεν] σοῦ. ἐξ αἵματος] τοῦ γένους, ἤτοι τῆς Ἁρμονίας τῆς σῆς θυγατρός.

v. 130. θεοκλύτοις] Α. μεγάλαις, ἃς καὶ ὁ θεὸς ἀκούσειεν.

λιταῖς σε θεοκλύτοις ἀπύουσαι] Β. παρακλήσεσιν αἷς ἄνθρωποι τοὺς θεοὺς καλοῦσιν εἰς ἔλεον ἐπικαλούμεναι.

v. 131. πελαζόμεθα] Β. τῷ σῷ βωμῷ πλησιάζομεν.

v. 132. Λύκει' ἄναξ, λύκειος γενοῦ] Α. Λύκειόν φασι τὸν Ἀπόλλωνα, ἢ διὰ τὸ ἐν τῇ Λυκίᾳ τῇ πόλει τιμᾶσθαι αὐτόν, ἢ διὰ τὸ ἀνατίθεσθαι αὐτῷ λύκον ὡς ἱερόν, ἢ διὰ τὸ λύκους ἀνελεῖν. Ἢ, ὅ γε κρεῖττόν ἐστι, διὰ τὸ λυκόφως ποιεῖν, τῆς νυκτὸς ὑποχωρησάσης. Ἀπόλλων γὰρ ὁ Ἥλιος. Ἄλλως. Πολέμιος· οἷον, ὥσπερ λύκος, αὐτοῖς ἐφόρμησον, ἀνθ' ὧν ἡμεῖς νῦν θρηνοῦμεν. Οὕτως τινὲς τὸ λύκειος. Ἢ, ἐπιβλαβὴς τοῖς πολεμίοις ἐπὶ τῆς αὐτῆς τῶν στόνων γενοῦ, οἷον ἐπὶ τοῦ πολέμου.

Λύκει' ἄναξ] Β. ὁ λύκον ὀλέσας ποτέ. Λύκειος γενοῦ] φθορεύς, καὶ οἷος ἐφάνης λύκῳ ποτέ.

v. 133. στρατῷ δαΐῳ] Β. τῷ τῶν πολεμίων. στόνων αὐτᾶς] τῶν ἡμετέρων στεναγμάτων ἀκροατής.

v. 134. Λητογένεια] Β. ἐκ Λητοῦς γεννηθεῖσα.

v. 135. εὖ πυκάζου] Α. ἤτοι ἐντέχνως καὶ ἐπιστημόνως ἔντεινε τὸ τόξον. Τὸ γὰρ πύκα ἀντὶ τοῦ ἐπιστημόνως παραλαμβάνεται.

εὖ πυκάζου] Β. εὐτρέπιζε κατὰ τῶν πολεμίων. ὀλιναγμόν

v. 137. ὀττοβον ἁρμάτων] Α. ἀκούω, φησί, τὸν τῶν χνοῶν κτύπον.

ὄττοβον] B. κτύπον. ἁρμάτων] τῶν πολεμίων.

v. 138. πότνια Ἥρα] B. σεβασμία. Τὸ πότνια Ἥρα καὶ τὸ Ἄρτεμι φίλα ἐπιφωνήματά ἐστι πρὸς τοὺς θεοὺς διὰ μέσου τῶν στεναγμάτων λεγόμενα, εἰς οἶκτον αὐτοὺς προκαλούμενα· τοιαῦτα δὲ καὶ προϊὼν εὑρήσεις.

v. 139. ἔλακον ἀξόνων] A. παρὰ τὸ τοῦ Ὁμήρου, μέγα δ' ἔβραχε φήγινος ἄξων. (Il. V. 838.) Τοῦτο ἄξων εἴρηται. Χνόαι δέ εἰσι τὰ ἀκραξόνια, περὶ ἃ αἱ χοινικίδες, αἳ καὶ παραξονίτιδες λέγονται. Λέγουσι δὲ καὶ μετὰ τοῦ ι οἱ ποιηταὶ τὸ χνοῖαι.

ἔλακον] B. ἤχησαν. ἀξόνων] τῶν ἐν τοῖς ἅρμασι, βριθομένων] βαρυνομένων τοῖς ἐφεστῶσι. χνόαι] αἱ ὀπαί, ἤτοι τὰ ἅρματα περιφραστικῶς.

v. 141. δορυτίνακτος δ' αἰθὴρ] B. διὰ τῶν δοράτων τῶν πολεμίων κινούμενος ὁ ἀὴρ ταράσσεται.

v. 142. ἄμμιν] B. ἡμῖν.

v. 143. ποῖ δ' ὅτι τέλος] B. ποῦ; εἰς νίκην ἢ εἰς ὄλεθρον. θεὸς] τύχη.

v. 144. ἀκροβόλων δ' ἐπάλξεων λιθὰς] A. ἀκροβολίζεσθαι ἐστι τὸ ἐν πολέμοις κατάρχεσθαι. λιθὰς] λιθάς, ἤτοι σωρὸς λίθων, ἔρχεται ἐπὶ τῶν ἐπάλξεων, ἤτοι τῶν μικρῶν πυργισκίων τῶν ἀκροβόλων, ἤτοι τῶν πόῤῥωθεν βαλλομένων, διὰ τὸ ἐν ἄκρῳ τῶν τειχῶν καὶ ἄνωθεν ἵστασθαι.

λιθὰς] B. σωρεία λίθων. ἔρχεται] τὸ ἔρχεται, εἰ μὲν νοήσεις ἀπὸ Θηβαίων πρὸς τοὺς πολεμίους, τὸ ἀκροβόλων ἀντὶ τοῦ ἐξ ἄκρων τοῦ τείχους εἰς τρῶσιν τῶν πολεμίων πεμπομένων ἐρεῖς. Εἰ δὲ ἀπὸ τῶν πολεμίων πρὸς τοὺς Θηβαίους, ἀκροβόλων ἀντὶ τοῦ εἰς τρῶσιν τῶν ἐν τοῖς ἄκροις ἑσταμένων τοῦ τείχους πεμπομένων ἐκ πολεμίων· ταῦτα δὲ λέγει ὁ χορὸς οὐχ ὅτι ἀληθῶς ἐγίνετο, ἀλλ' Αἰσχύλος ἐξεπιτηδὲς τοῦτο ποιεῖ τὴν τῶν γυναικῶν παριστῶν φύσιν, ἡνίκα ταραχθεῖεν φόβῳ, καὶ τὰ οὐκ ὄντα φανταζομένων.

v. 145. ὦ φίλ' Ἄπολλον] B. ὦ Ἄπολλον, καὶ δέον εἰπεῖν ὦ Ζεῦ, τέλος ἡμῖν πολεμόκραντον ἁγνὸν καὶ ἀνκί-

μακτον δός· ὁ δὲ οὐχ οὕτως ἔφη, ἀλλὰ πρὸς τὸ τέλος τὸν λόγον ἐποιήσατο. Ἐστὶ δὲ τὸ αὐτό.

v. 146. κόναβος ἐν πύλαις] A. κόναβος καὶ ἦχος καὶ κτύπος τῶν σακέων καὶ ἀσπίδων τῶν ὑπὸ χαλκοῦ συνδεδεμένων, ἐν μάχαις τε τέλος καὶ πλήρωμα ζωῆς (ἤτοι θάνατος) ἀγνόν, ἐν τῷ πολέμῳ πληρωθέν, ἢ ὑπὸ τοῦ πολέμου γενόμενον. Ἐπεὶ γὰρ μιαρὸς ὁ ἐν πολέμῳ φόνος, ἀγνὸν μᾶλλον τοῦτον ἔφησεν, ἐπεὶ οἱ πολεμίους ἀποκτείναντες, καθαροί εἰσι μᾶλλον ἢ οἱ φίλους ἀνελόντες. Τέλος δὲ ὁ φόνος καὶ ὁ πόλεμος· τέλος γάρ τινες τοῦ βιότου ἐν τούτῳ πολλάκις εὑρίσκουσι. Τέλος δὲ τῆς τοῦ ἀνθρώπου ζωῆς ὁ θάνατος.

κόναβος] B. κτύπος ἐστί. χαλκοδέτων σακέων] ἐκ σιδήρου δεδεσμένων ἀσπίδων.

v. 147. Διόθεν] B. ἐκ τοῦ Διός. πολεμόκραντον] τὸν πόλεμον κράναν καὶ τελειῶσαν. ἀγνὸν] καθαρόν, ἀναίμακτον.

v. 148. μάκαιρ' ἄνασσ' Ὄγκα] A. Ὄγκα ἡ Ἀθηνᾶ παρὰ Θηβαίοις ἐτιμᾶτο. Ἐπεύχεται δέ, τὴν ἐπιχώριον Ἀθηνᾶν καλῶν εἰς βοήθειαν, ὡς ὁ Θετταλὸς τὸν Δία, λέγων, [Il. Π. 233.] Ζεῦ ἄνα Δωδωναῖε. Καὶ ὁ Λύκιος τὸν Ἀπόλλωνα, [Il. Π. 514.] Κλῦθι ἄναξ ὅς που Λυκίης ἐν πίονι δήμῳ Εἷς. Καὶ ὁ Ἰδαῖος, Ζεῦ πάτερ Ἴδηθεν μεδέων. (Odyss. Λ. 525.) Ὀγκαία τοίνυν ἡ Ἀθηνᾶ τιμᾶται παρὰ Θηβαίοις. Ὄγκα δὲ παρὰ Φοίνιξιν ἡ Ἀθηνᾶ, καὶ Ὀγκαῖαι πύλαι. Μέμνηται τούτου καὶ Ἀντίμαχος καὶ Ῥιανός. Φοῖνιξ δὲ τὸ γένος ἄνωθεν ὁ Κάδμος ἐτύγχανεν ὁ τῶν Θηβαίων οἰκιστής, διὸ καὶ ὡς ἐκ Φοινίκων κατηγμένος, Ὄγκαν Ἀθηνᾶν παρὰ Θηβαίοις τιμᾶσθαι ἐποίησε.

v. 149. πρὸ πόλεως ἑπτάπυλον ἕδος ῥύου] A. οὕτως ῥητέον, ὦ μάκαιρ' ἄνασσα Ὄγκα, ὦ μακαρία θεά, Ἀθηνᾶ πρὸ τῆς πόλεως γενομένη, βοήθησον αὐτῇ. Κάλλιον δὲ εἰπεῖν, τὸ πρὸ τῆς πόλεως, οὕτως, ὦ Ὄγκα Ἀθηνᾶ ἡ πρὸ τῆς πόλεως, ἤτοι οὖσα ἐζωγραφημένη πρὸ τῆς πόλεως, ἤγουν ἔμπροσθεν, ῥύου τὸ ἑπτάπυλον ἕδος, ἤτοι τὴν ἑπτάπυλον πόλιν τῶν Θηβαίων. Γίνωσκε γὰρ ὅτι ἐζωγράφουν

ταύτην πρὸ τῶν πυλῶν τῆς πόλεως. Ἣν καὶ ὁ Λυκόφρων πυλαίτιδα λέγει, διὰ τὸ ἄνωθεν ἵστασθαι ταύτην τῶν τῆς πόλεως πυλῶν.

Ὄγκα] B. Ἀθηνᾶ Φοινίκων γλώττη. ἑπτάπυλον ἕδος] τὰς Θήβας.

v. 150. παναλκεῖς θεοὶ] A. κατὰ πάντα βοηθοί. Τοῦτο γὰρ ἴδιον θεῶν.

παναλκεῖς] B. παντοδύναμοι.

v. 152. τέλειοι] B. ἀνελλιπεῖς· ἀνελλιπὲς γὰρ τὸ θεῖον.

v. 154. δορύπονον] B. ποταπήν, αἰχμάλωτον.

v. 155. ἑτεροφώνῳ στρατῷ] A. τῷ μὴ βοιωτιάζοντι. Ἐπειδὴ γὰρ Ἕλληνες καὶ οἱ Ἀργεῖοι, οὐκ εἶπεν βαρβαροφώνῳ. Ἄλλως. Τῷ ἔχοντι ἄνδρας ἐκ πολλῶν ἐθνῶν. Ὅμηρος, Ἄλλη δ' ἄλλων γλῶσσα. (Il. B. 804.)

ἑτεροφώνῳ] A. ἀλλογλώσσῳ.

v. 156. κλύετε παρθένων] A. ἀκούετε ἡμῶν τῶν παρθένων, δικαίως εἰς οὐρανὸν ἀνεχουσῶν τὰς χεῖρας. Τοῦτο δὲ τὴν ἐκ ψυχῆς ἱκετείαν δηλοῖ· καὶ Ὅμηρος, Χεῖρας ἀνασχόντες, μεγάλ' εὐχετόωντο. (Il. Θ. 347.)

πανδίκους] B. δικαίας, ὑπὲρ τῆς πατρίδος αὐτῶν φερομένας. χειροτόνους λιτὰς] μετὰ χειρῶν τάσεως γενομένας.

v. 159. λυτήριοι ἀμφιβάντες] A. ὦ θεοὶ περὶ τὴν πόλιν ἐλθόντες λυτήριοι, ἤτοι ἀφανισταὶ τῶν κακῶν, καὶ σωτῆρες, ἐξ ἔργων αὐτῶν δείξατε ὅτι φιλοπόλιες ἐστέ, ἤτοι τὴν ἡμετέραν ἀγαπῶντες πόλιν. Ἄλλως. Ἀμφιβάντες, παρὰ τό, Ὃς Χρύσην ἀμφιβέβηκας. (Il. A. 37.)

v. 160. ὡς] B. ὅτι. φιλοπόλιες] ἐστέ.

v. 161. μέλεσθ' ἱερῶν δημίων] A. ἤτοι, φροντίζετε τῶν ἀνακειμένων καὶ ἀνατεθειμένων ἐν ταῖς ὑμῶν ναοῖς ἱερῶν, δημίων, τῶν ἀπὸ τοῦ δήμου. Κοινῇ γὰρ πάντες ἐκείνοις ἀνετίθουν χρήματα· περιφραστικῶς οὖν εἶπε τοῦτο, μέλλων εἰπεῖν, φροντίζετε τῶν ναῶν ὑμῶν, μὴ κατα-

σκαφθῶσιν ὑπὸ τῶν πολεμίων, καὶ ἀναφαιρεθῇ τὰ ἐν αὐτοῖς ἀναθήματα. Ἄλλως. Μελέτην ἔχετε τῶν ἱερῶν δημοσίων.

μέλεσθε] B. φροντίζετε. ἱερῶν δημίων] τῶν δημοσίᾳ γινομένων ὑμῖν παρὰ τῶν πολιτῶν θυμάτων.

v. 162. ἀρήξατε] B. ἡμῖν.

v. 163. Φιλοθύτων] A. τῶν προσφίλων μετὰ θυμάτων ἡμῖν μυστηρίων.

v. 164. μνήστορές ἐστε] B. μνείαν καὶ ἐνθύμησιν ἔχοντες.

v. 165. ὑμᾶς ἐρωτῶ θρέμματ᾽ οὐκ ἀνασχετά, ἢ ταῦτ᾽ ἄριστα] A. καθ᾽ ὑπόκρισιν, ἢ ἐν ἐρωτήσει μετ᾽ ἐπιτιμήσεως ἀναγνωστέον. Ὁ Ἐτεοκλῆς ἀκούσας τῶν παρθένων ὀδυρομένων καὶ παρακαλουσῶν τοὺς θεούς, φησὶ πρὸς αὐτάς, ἐρωτῶ ὑμᾶς θρέμματα οὐκ ἀνασχετά, ἤτοι ἐμοὶ φορτικὰ καὶ βάρος ἐτώσιον νομιζόμενα, μὴ ἀνεχόμενα καὶ μὴ βασταζόμενα παρ᾽ ἐμοί, ἄρα ταῦτα, ἃ ποιεῖτε, σωτήρια τῷ στρατῷ καὶ τῇ πόλει τυγχάνουσι; δηλονότι τὸ πεσούσας ὑμᾶς πρὸς τὰ εἴδωλα τῶν πολισσούχων θεῶν, αὔειν, ἤτοι βοᾷν καὶ θρηνεῖν καὶ φωνεῖν, σωφρόνων μισήματα, τοῦτ᾽ ἔστι τὰ μισούμενα τοῖς σώφροσιν. Ἄλλως. Εἰώθασιν οἱ ποιηταὶ δόγματά τινα εἰς ὠφέλειαν τῶν ἀκουόντων εἰσφέρειν. Οὕτως καὶ ὁ Αἰσχύλος ἐνταῦθα εἰσάγει τὸν Ἐτεοκλέα ἀπαγορεύοντα μετὰ ἀπειλῆς, μὴ ἀπάγειν τὸν ὄχλον εἰς δειλίαν, ὥστε διὰ φόβον αὐτοὺς φυγεῖν. Ἀλόγοις δὲ ζώοις παρέβαλε τὰς παρθένους, ὅτι ἐν φαντασίᾳ γεγόνασι πρῶτον μὲν γυναικείᾳ καὶ δειλῇ, δεύτερον δὲ οὐκ ἀληθεῖ. Εἰσὶ γὰρ καὶ φαντασίαι ἀληθεῖς.

θρέμματ᾽ οὐκ ἀνασχετὰ] B. γεννήματα ἃ οὐ δύναταί τις ὑπομένειν.

ὑμᾶς ἐρωτῶ] Γ. εἴσθεσις διπλῆς, ἧς προτίθεται ἡ μονοστροφικὴ αὕτη περίοδος, στίχων οὖσα ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κα΄.

v. 166. ἢ] B. ὄντως, ἄρα. ταῦτα] ἃ ποιεῖτε.

v. 167. πυργηρουμένῳ] B. πολιορκουμένῳ, ἢ τῷ ἐν πύργοις ἱσταμένῳ.

v. 168. βρέτη] B. εἴδωλα. πολισσούχων] τῶν τὴν πόλιν συνεχόντων.

v. 169. αὔειν, λακάζειν] A. ταῦτα ἐπὶ τῶν ὀρνέων λέγεται. Ἀλόγοις οὖν ζώοις παρενέβαλε τὰς παρθένους. Λακάζειν δέ, τὸ ἠχεῖν, γίνεται ἀπὸ τοῦ λήκω ῥήματος, κατὰ τροπὴν τοῦ η εἰς α, καὶ κατὰ παραγωγήν. σωφρόνων μισήματα] ταῦτα, τὸ προσπίπτειν τοῖς ξοάνοις, καὶ βοᾷν. Ταῦτα οὖν ἃ πράττετε, μισήσειαν ἂν οἱ εὖ φρονοῦντες ἄνδρες.

αὔειν] B. βοᾷν. σωφρόνων μισήματα] ἃ οἱ σώφρονες ἄνδρες μισοῦσιν.

v. 170. εὐεστοῖ] A. εὐδαιμονία, εὐετηρία.

εὐεστοῖ] B. εὐτυχίᾳ.

v. 172. οὐχ ὁμιλητὸν θράσος] A. ἐν θορύβοις οὐ καθεκτόν.

κρατοῦσα] B. νικῶσα. οὐχ ὁμιλητὸν θράσος] οὐκ οἷά τε ὁμιλεῖσθαι ὑπ' ἀσχέτου θρασυνομένη χαρᾶς.

v. 173. οἴκῳ] B. τῆς αὐτῆς. πλέον] τοῦ δέοντος.

v. 174. διαδρόμους φυγὰς] B. διὰ πάσης τῆς πόλεως ὑφ' ὑμῶν γενομένας.

v. 175. διεῤῥοθήσατε] A. διὰ τοῦ θορύβου ἐμβεβλήκατε. κάκην] δειλίαν.

θεῖσαι] B. ποιήσασαι. διεῤῥοθήσατε] ἐνεβάλετε. ἄψυχον κάκην] δειλίαν. Ὥσπερ γὰρ τὴν ἀνδρείαν εὔψυχόν φαμεν, οὕτω καὶ τὴν δειλίαν ἄψυχον.

v. 176. τὰ τῶν θύραθεν] B. τὰ τῶν πολεμίων. ὡς ἄριστα] λίαν. ὀφέλλετε] αὔξετε ἀνυποστάτους ἐκείνους οἷς ποιεῖτε δεικνύουσαι, ἢ ὅτι κατεπτοηκότας ἡμᾶς ἂν αἴσθονται, πολὺ μᾶλλον θρασυνθήσονται.

v. 177. αὐτοὶ δ' ὑπ' αὐτῶν ἔνδοθεν] A. αὐτοὶ δὲ καὶ ἡμεῖς ὑπ' αὐτῶν (ἤτοι ὑφ' ὑμῶν τῶν γυναικῶν, δεικτικῶς) πορθούμεθα. Τοῦτ' ἔστι, καὶ μὴ πολεμούμενοι πολεμούμεθα. Γράφεται καί, ὑφ' αὐτῶν, ἤτοι αὐτοὶ δι' ἑαυτῶν.

v. 178. συνναίων] B. συγκατοικῶν.

v. 179. κ' εἰ μή τις ἀρχῆς τῆς ἐμῆς] A. τοῦτό φησιν ὁ Ἐτεοκλῆς πρὸς τὸν χορόν, ὅτι ἐὰν μήτις ἀκούσεται τῆς ἐμῆς ἐξουσίας, καὶ τὸ ἐμὸν ποιήσῃ πρόσταγμα, εἴτε ἀνήρ, εἴτε γυνή, εἴτε τι τούτων μεταίχμιον καὶ μέσον, ὀλεθρία ψῆφος κατ' αὐτοῦ συμβουλεύσεται. Τὸν θάνατον δὲ λιθόλευστον, τὸν διὰ βολῆς λίθων γινόμενον, οὔτι μὴ φύγῃ, οὐδαμῶς ἐκφύγῃ. Τὸ δὲ μή, παρέλκον.

ἀρχῆς τῆς ἐμῆς] B. ἤγουν ὃ ἐγὼ προστάσσω.

v. 180. μεταίχμιον] A. καὶ τὸ μέσον λέγεται μεταίχμιον. Εἰπὼν οὖν ἄνδρα καὶ γυναῖκα, ἀναγκαίως δίδωσι νοῆσαι τὸ τούτων μέσον, καὶ παῖδα νεογνὸν πρὸς τὴν τῶν ἑκατέρων ἡλικίαν. Ἄλλως. Νέος ἢ γέρων. Ἀκαίρως δὲ ἡ λέξις τὸ μεταίχμιον. Καὶ δηλοῖ τὸν ἀληθῶς ὀργιζόμενον. Ἄλλως. Κεκινδύνευται τῷ Αἰσχύλῳ ἐνταῦθα τὸ μεταίχμιον. Γένους γὰρ ὄντος τοῦ ἀνδρὸς καὶ τῆς γυναικός, μέσον ἄλλο εἴη. Εἰ μὴ ἄρα τίς λέγοι ὅτι ὀργιζόμενος οὕτως εἴρηκεν, ὡς καὶ παρὰ Δράκοντι τῷ νομοθέτῃ. Ἐκεῖνος γὰρ ὑπὲρ τοῦ μηδὲν ἁμαρτάνειν, φησί, κἂν ὄστρακον ἢ τὸ ἀποκτεῖναν, κἂν ξύλον, κἂν σίδηρος, κἂν χαλκός, συνεκβάλλεσθαι.

χὤ τι τῶν μεταίχμιον] B. ὅπερ τῶν γυναικῶν καὶ τῶν ἀνδρῶν μέσον. Τοῦτο δέ φησιν οὐχ ὅτι ἐστί τι γένος ἀνδρῶν μεταξὺ καὶ γυναικῶν, ἀλλ' ἵνα δείξῃ τὸ τῆς προσταγῆς ἀκριβές. Οἱ δὲ τοὺς εὐνούχους λέγοντες ἐρρώσθωσαν.

v. 182. δήμου δ' οὔτι] A. τὸν ἐκ δήμου συστῆσαι μόρον.

λευστῆρα] B. λιθαστικόν. οὔτι] οὐδαμῶς.

v. 183. μέλει γὰρ] A. ἀνδρὶ γὰρ διὰ φροντίδος ἐστὶ τὰ ἔξωθεν, μὴ γυνὴ περὶ τούτων βουλευέτω. Ἔνδον δὲ οὖσα ἡσύχαζε, καὶ μὴ βλάβην ποίει τῇ πόλει, δειλαινομένη καὶ κλαίουσα καὶ τοὺς πολίτας θορυβοῦσα.

μέλει] B. διὰ φροντίδος ἐστί.

v. 184. βλάβην τίθει] B. ποίει, πρὸς τοὺς πολίτας, ὀλολύζουσα καὶ σπαραττομένη.

v. 186. ὦ φίλον] A. ἀπολογοῦνται διότι ἐθορύβησαν.

ἔδεισα] B. ἐφοβήθην.

ὦ φίλον] Γ. ὅμοια χρὴ εἶναι τοῖς ἑξῆς τρίμετρα βραχυκατάληκτα.

v. 187. ἁρματόκτυπον ὄττοβον] B. τὸν ἁρμάτων γινόμενον κτύπον. ὄττοβον] σημείωσαι τὴν σύνταξιν, πρῶτον μὲν γὰρ πρὸς τὸ ἀκούσασα συνέταξε τὸ ὄττοβον, εἶτα ἐνήλλαξε διὰ τοῦ ὅτι, καὶ πάλιν τῇ προτέρᾳ συντάξει ἐχρήσατο, ἀπὸ κοινοῦ πρὸς τὸ χαλινῶν τὸ ὄττοβον ἐκδεχόμενος.

v. 188. σύριγγες ἔκλαγξαν] A. περιφραστικῶς τοὺς τροχούς φησι. Σύριγγες δέ εἰσι τὰ ξύλα τὰ μέσον τοῦ περιφεροῦς ξύλου τοῦ τροχοῦ διαπερονούμενα. Τὸ μὲν γὰρ αὐτῆς ἐστι μέγα, τὸ δὲ ἕτερον τούτων μικρότερον, ἄλλο δὲ αὐτοῦ δευτέρου μικρότερον, λόγον τῶν αὐλῶν τῶν συρίγγων ἐπέχοντα. ἑλίτροχοι] περὶ ἃς ἑλίσσονται οἱ τροχοί. ἱππικῶν] ἱππικὰ πηδάλια λέγει καὶ τοὺς χαλινούς. Ὥσπερ τὸ πηδάλιον ἐν τῇ νηΐ, οὕτω καὶ ὁ χαλινὸς ἐν τῷ ἵππῳ.

σύριγγες ἔκλαγξαν] B. αἱ ὀπαὶ τοῦ ἄξονος ἤχησαν. ἑλίτροχοι] αἱ συνελοῦσαι τοὺς τροχοὺς δι' ὧν τὸ ἅρμα ἐλαύνεται. ἱππικῶν τ' ἀΰπνων] τῶν μὴ τοὺς ἵππους ἐώντων ἠρεμεῖν, ἀλλ' ἐλαυνόντων δρόμον.

v. 189. ἀΰπνων] A. τῶν μὴ ἐώντων με ἠρεμεῖν.

v. 190. πηδαλίων διὰ στόμα] B. τῶν ἵππων, καθάπερ τὴν ναῦν τὰ πηδάλια· ἔστι δὲ τὸ διὰ στόμα πρὸς τὸ πηδάλιον.

v. 191. πυριγενετᾶν χαλινῶν] B. τῶν ἐκ πυρός χαλκευθέντων. Τὸν ὄττοβον ἀπὸ κοινοῦ λάμβανε.

v. 192. τί οὖν; ὁ ναύτης] A. ὁ Ἐτεοκλῆς, εἰπόντος τοῦ χοροῦ ὅτι διὰ τοῦτο ἔφυγον πρὸς τοὺς ναοὺς τῶν θεῶν, ὅτι ἐφοβήθην ἀκούσασα τὸν κτύπον τῶν ἁρμάτων καὶ τῶν χαλινῶν τῶν ἵππων, φησὶ πρὸς αὐτόν, τί οὖν, ὁ ναύτης ἄρα τῆς νηὸς καταποντιζομένης ἐν τῇ θαλάσσῃ, εὗρε μηχανὴν σωτηρίας, φυγὼν ἀπὸ πρύμνης εἰς πρῷραν; οὕτως

οὖν

οὖν οὐδὲ ὑμεῖς μηχανὴν σωτηρίας εὑρήσετε περιϊοῦσαι τὴν πόλιν, καὶ καταλείψασαι τὰ οἰκεῖα οἰκήματα.

τί οὖν] B. ἔστω τοῦτο ὃ λέγεις. ἆρα] ἐκ παραλλήλου. ἐς πρῷραν φυγὼν] καθάπερ ὑμεῖς ἄνω καὶ κάτω τῆς πόλεως ἰοῦσαι.

τί οὖν; ὁ ναύτης] Γ. Ἰαμβικοὶ τρίμετροι στίχοι γ'.

v. 193. πρύμνηθεν] B. ἀπὸ τῆς πρύμνης. μηχανὴν σωτηρίας] μέθοδον τοῦ πῶς δεῖ σεσῶσθαι.

v. 194. καμούσης] B. χειμαζομένης. πρός] ἐν.

v. 195. ἀλλ' ἐπὶ δαιμόνων πρόδρομος ἦλθον] A. ὅτε βρόμος καὶ ἦχος καὶ κτύπος γέγονεν ἐν πύλαις (τοῦτο δὲ ἔξωθεν, νιφάδος νιφομένης ὀλοῆς) τότε δὴ ἦλθον πρὸς ἀρχαῖα καὶ πατρῷα εἴδωλα τῶν θεῶν, θαῤῥῶν τοῖς θεοῖς· τότε ἤρθην πρὸς μακάρων λιτάς· ἀσυνδέτως ταῦτα. Ἢ οὕτως, ἐπὶ τὰ δαιμόνων ἦλθον βρέτη, διότι βρόμος ἐν πύλαις νιφάδος ὀλοῆς νιφομένης, ἤγουν συχνῶν βελῶν καταφερομένων πρὸς τὴν πόλιν, καὶ οὕτω τὸ ἑξῆς· τότε δὴ ἦλθον πρὸς μακάρων λιτάς.

ἀλλ'] B. οὐ μάτην ἐφερόμην πρὸς τὴν πόλιν. ἀρχαῖα βρέτη] τὰ ἐξ ἀρχῆς ὄντα τῇ πόλει ἀγάλματα.

v. 196. ἀρχαῖα βρέτη] A. ἤγουν τὰ πατρῷα εἴδωλα τῶν θεῶν. Ἄλλως. Ἀρχαῖα, βασιλικὰ παρὰ τὴν ἀρχήν. νιφάδος] νιφάδα φησὶ τὸ τῶν πολεμίων πλῆθος.

πίσυνος] B. θαῤῥοῦσα. νιφάδος ὅτ' ὀλοᾶς] βλέπων καὶ λίθων σωρείας ἐπ' ὀλεθρίαν.

v. 197. νιφομένης] B. δίκην χιόνος πιπτούσης. βρόμος] ἦχος ἐγένετο.

v. 198. ἤρθην] B. διηγέρθην. λιτὰς] δεήσεις.

v. 200. ὑπερέχοιεν ἀλκὰν] A. τὴν ἑαυτῶν ἀλκὴν ὑπὲρ ἡμῶν ἔχοιεν.

ἀλκὰν] B. βοήθειαν.

v. 201. πύργον στέγειν εὔχεσθε] A. τὸν πύργον, ἤτοι τὰ ἡμέτερα τείχη, μένειν ἀσφαλῶς, καὶ στέγειν καὶ ὑπομένειν τὸ πολεμικὸν δόρυ. Οὐκ οὖν ταῦτα, ἃ φής, ἔσται πρὸς θεῶν, τὸ ἀλκὴν καὶ βοήθειαν παρέχειν ἡμῖν.

Ἄλλως. Τοῦτο εὔχεσθε, διαμένειν ἡμῶν τὰ τείχη ἁπλῶς, ὥστε τὸ δόρυ στέγειν καὶ ἀπείργειν τοὺς πολεμίους.

πύργον] B. ἤτοι τὴν πόλιν, ἀπὸ μέρους. στέγειν] ὑπομένειν.

πύργον στέγειν] Γ. Ἰαμβικοὶ στίχοι τρεῖς.

v. 202. ἀλλ' οὖν θεοὺς] A. οὐκ ἀλόγως λέγει, τοὺς τῆς πόλεως θεοὺς φεύγειν, πορθηθείσης αὐτῆς. Λέγεται γὰρ ὅτι ὅτε ἔμελλε πορθηθῆναι ἡ Τροία, ἐφάνησαν οἱ θεοὶ τοῖς Τρωσὶν ἀνελόμενοι ἐκ τῶν ναῶν τὰ ἀγάλματα αὐτῶν.

v. 203. ἁλούσης] B. πορθουμένης. λόγος] Φήμη ἐστί.

v. 204. μήποτ' ἐμὸν κατ' αἰῶνα] A. μηδέποτε αὕτη ἡ πανήγυρις τῶν θεῶν, ἤγουν ἡ συναγωγὴ τῶν ἐνταῦθα ὄντων, καταλείποι τὴν πόλιν κατ' ἐμὸν αἰῶνα καὶ χρόνον, ἤγουν ἡμῶν ζώντων, ἢ ἐπὶ τοῦ ἐμοῦ βίου. Ἄλλως. Μηδέποτε, φησίν, ἐπὶ τοῦ ἐμοῦ βίου καταλείποιεν τὴν πόλιν οἱ θεοί. Εὑρὼν δὲ ὁ Αἰσχύλος παρὰ τῷ Ὁμήρῳ [Il. VII. 298.] τό, Θεῖον δύσονται ἀγῶνα, τὴν τῶν θεῶν εἰς τὸ αὐτὸ συναγωγήν, πανήγυριν τραγικώτερον εἴρηκεν.

ἐμὸν κατ' αἰῶνα] B. ἤγουν κατὰ τὴν ἐμὴν ζωήν.

v. 205. πανήγυρις] B. ἡ πλῆθυς.

v. 206. ἀστυδρομουμένην] B ὑπὸ τῶν ἀστῶν περιερχομένην. Οἱ γὰρ τῆς ἁλούσης πόλεως πολῖται ἄνω καὶ κάτω πρὸς αὐτὴν χωροῦσι, γυναῖκας, χρήματα, ἐσθῆτας, τἄλλα σώζειν θέλοντες. στράτευμα] τὸ στράτευμα διὰ τοὺς πολεμίους νόει, οὕτω, μηδὲ ἐπίδοιμι τὸ στράτευμα τῶν πολεμίων ἁπτόμενον τῆς πόλεως ἐν πυρὶ δαΐῳ, ἤτοι καῖον αὐτήν.

v. 207. ἁπτόμενον] A. γράφεται τυφόμενον. Οἷον καιόμενον πολεμίῳ πυρί.

ἁπτόμενον] B. ἅπτεσθαι. δαΐῳ] πολεμικῷ.

v. 208. βουλεύου κακῶς] B. διὰ θρήνων καὶ σπαραγμάτων τοὺς πολίτας κατακλῶσα καὶ πρὸς δειλίαν ἐπάγουσα.

v. 209. πειθαρχία γάρ ἐστι] A. πάνυ εὐφυῶς ὁ Αἰσχύλος τὴν πειθαρχίαν, ὡς γυναῖκα, ὠνόμασε μητέρα τῆς εὐπραξίας τῆς σωτῆρος, λέγων, ἡ πειθαρχία γυνή ἐστι μήτηρ τῆς σωτῆρος εὐπραξίας. Οὗτος λέγεται λόγος ἐμφαίνων ὅτι καλόν ἐστι τὸ πειθαρχεῖν. Πειθόμεναι γὰρ αἱ πόλεις τοῖς κρατοῦσιν, εὖ πράττουσιν. Ἄλλως. Γυνὴ σωτῆρος. Λείπει Διός· ἵνα ᾖ, γυνὴ Διὸς σωτῆρος.

πειθαρχία] B. ἡ εὐπείθεια. Ἐνταῦθ' Αἰσχύλος σωματοποιεῖ τὴν πειθαρχίαν. Λέγει δὲ ὡς ὁ πειθόμενος τῷ τὰ λῷστα συμβουλεύοντι, οὗτος ἄριστα πράσσει.

v. 210. ὧδ' ἔχει λόγος] A. οἰκείως ἔχουσα πρὸς τὸ σώζεσθαι.

σωτῆρος] B. σωστικῆς. ὧδε] οὕτως.

v. 211. ἔστι θεοῖς δ' ἔτ' ἰσχὺς] A. ὁ χορός φησι πρὸς τὸν Ἐτεοκλέα, ἀληθές ἐστιν ὅτι ἡ πειθαρχία μήτηρ τῆς σωστικῆς εὐπραξίας πέφυκεν· ἔστι δὲ καὶ τοῖς θεοῖς δύναμις ὑπερέχουσα πάντα. Πολλάκις δὲ ἡ τῶν θεῶν ἰσχὺς τὴν ἀμήχανον νεφέλην καὶ ἐκ χαλεπῆς δύης κρεμαμένην ὕπερθεν τῶν ὀμμάτων, ὀρθοῖ, καὶ ἀποσοβεῖ αὐτήν.

ἔστι] B. καλῶς εἶπας τοῦτο. καθυπερτέρα] ὑψηλοτέρα τῆς πειθαρχίας.

v. 212. ἀμήχανον] B. εἰς ἣν οὐκ ἔχει τις μηχανήσασθαι.

v. 213. ἐκ χαλεπᾶς δύας] B. κακῆς τύχης. ὕπερθε] ὑπεράνω.

v. 214. κρημναμέναν] B. ὑπερκειμένην. νεφέλαν ὀρθοῖ] τὴν τῆς ἀθυμίας σκοτουμένην ἐγείρει καὶ εἰς τοὐναντία τρέπει.

v. 215. σφάγια] B. θύματα. Τὰ σφάγια καὶ χρηστήρια ἐκ παραλλήλου· οὐ γὰρ μόνον χρηστήρια τὰ μαντεύματα, ἀλλὰ καὶ τὰ θύματα· ἢ ὅτι θύοντες τοῖς θεοῖς καὶ αὐτῶν περὶ τοῦ δεομένου τὰς μαντείας δεχόμεθα, ἢ ὅτι μέρος μαντικῆς ἐστὶ τὸ καὶ διὰ σφαγίων τὰς μαντείας ποιεῖσθαι, ὁρῶντας τὴν τοῦ ζώου χολὴν, καὶ τὸ ἧπαρ, καὶ τὴν κύστιν.

v. 216. ἔρδειν] B. ποιεῖν. πειρωμένων] πεῖραν λαμβανόντων καὶ ἐγχειρούντων αὐτοῖς πρὸς πόλεμον.

v. 217. σὸν δ' αὖ] A. γυναικός ἐστι τοῦτο.

σὸν] B. ἔστι. ἔσω δόμων] ἐντὸς τῶν δόμων.

v. 218. διὰ θεῶν, πόλιν] A. διὰ τῆς ἐπικουρίας τῶν θεῶν νεμόμεθα τὴν πόλιν ἀδάμαστον, μὴ δαμαζομένην παρὰ τῶν πολεμίων καὶ καταπονουμένην, τὸν ὄχλον δὲ τῶν δυσμενέων καὶ τῶν ἐχθρῶν ἀποστέγει καὶ ὑπομένει καὶ καρτερεῖ ὁ πύργος καὶ τὸ τεῖχος τῆς πόλεως.

διὰ θεῶν] B. διὰ τῆς αὐτῶν βοηθείας. νεμόμεθα] οἰκοῦμεν. ἀδάμαστον] ποταπήν, ἀπόρθητον.

v. 219. ὄχλων] B. εἰ δὲ τὸ ὄχλων μικρογραφήσεις, τὸ ἀποστέγει ἀντὶ τοῦ ὑπομένει μόνον ἐρεῖς, τὴν ἀπὸ ἀργὴν λαμβάνων, τὸ δὲ διὰ θεῶν κατὰ κοινοῦ. Τὸ δέ, τί τάδε, εἰ μὲν στίξεις εἰς τὸ τί, τὸ τάδε νέμεσις στυγεῖ κατ' ἐρώτησιν εἴποις οὕτω, τί φῇς, τάδε τὸ διὰ τῆς βοηθείας τῶν θεῶν οἰκεῖν καὶ σώαν ἔχειν τὴν πόλιν μεμπτόν ἐστιν. Εἰ δὲ οὐ στίξεις, καθ' ὁμαλισμὸν εἴποις ἀντὶ τοῦ, τί ταῦτα ἃ ποιῶ, λέγω δὴ τὸ δεῖσθαι τῶν θεῶν, μεμπτὰ λογίζονται· εἰκότως δὲ εἶπε τὸ νέμεσις στυγεῖ καὶ οὐκ αὐτὸ μισεῖς, βαρὺς γὰρ ἂν εἶχεν ὁ λόγος εἰ αὐτοπροσώπως πρὸς αὐτὸν ἐτείνετο. πύργος ἀποστέγει] ἤγουν ἀπὸ μακρὰν ἐκείνων ὑπομένει, τουτέστιν οὐχ ὑπ' ἐκείνων.

v. 220. τί τάδε νέμεσις στυγεῖ;] A. ὁ χορός φησι πρὸς τὸν Ἐτεοκλέα, τί τάδε, ἃ φημι περὶ τῶν θεῶν, εὐεργέτας τούτους ἀποκαλῶν, στυγεῖ ἡ νέμεσις, ἤτοι ἡ ἀπὸ σοῦ μέμψις; ὁ δὲ πρὸς αὐτήν, οὐ φθονῶ.

τί τάδε νέμεσις στυγεῖ] B. ἤτοι μεμπτά ἐστι.

v. 221. οὔτι φθονῶ] A. οὐδαμῶς νεμεσῶ σοι τοῦ τιμᾶν τοὺς θεούς, καὶ οὐδεὶς ταῦτα σὲ ποιοῦσαν μισήσειεν· ἀλλ' ἵνα μὴ τοὺς πολίτας ποιῇς δειλούς, ἴσθι καὶ ὕπαρχε ἕκηλος καὶ ἥσυχος, καὶ μὴ λίαν φοβοῦ.

φθονῶ] B. μέμφομαι.

v. 222. ὡς] B. ἵνα. κακοσπλάγχνους] δειλούς. τιθῇς] ποιῇ.

v. 223. ἕκηλος ἴσθι] A. γράφεται καὶ εὔκηλος. Τὸ γὰρ υ μέτρου ἕνεκα ποτὲ παραλαμβάνεται.

εὔκηλος ἴσθι] B. ἥσυχος ἔσο.

v. 224. ποταίνιον κλύουσα] A. ὁ χορὸς πάλιν ἀνελθὼν εἰς τὸ τεῖχος τῆς πόλεως, φησί, νεωστὶ γεγενημένον καὶ πρόσφατον κτύπον καὶ ἦχον ἀκούσασα, σὺν φόβῳ παρεγενόμην εἰς ταύτην τὴν ἀκρόπολιν, ἕδος τίμιον.

ποταίνιον] B. πρόσφατον. πάταγον] κτύπον. ἅμα] σύν.

v. 226. τίμιον ἕδος] B. διὰ τὸ τοὺς θεοὺς ἐνταῦθα ἱδρῦσθαι. Ἢ ὅτι τὸ τῆς Ἀθηνᾶς ἄγαλμα ἐνταῦθα ἦν. Εὕρηται γὰρ ἕδος καὶ τὸ ἄγαλμα καὶ παρὰ ποιηταῖς καὶ λογοποιοῖς.

v. 227. μὴ νῦν ἐὰν θνήσκοντας] A. Ἐτεοκλῆς φησι πρὸς τὸν χορὸν ἐπὶ τῆς ἀκροπόλεως ἱστάμενον, μὴ ἀρπαλίζετε ἐν κωκυτοῖς. Μὴ ἀρπάζητε τὸ θρηνεῖν, ἐάν τινας ἀκούσητε σφαττομένους ἢ ἡττημένους.

v. 228. πύθησθε] B. μάθητε. κωκυτοῖσιν ἀρπαλίζετε] θρήνοις ὁρμᾶτε.

v. 229. Ἄρης βόσκεται] A. ἐν τούτῳ γὰρ τῷ ὀδύρεσθαι καὶ θρηνεῖν βόσκεται ὁ Ἄρης, ἤτοι τρέφεται ἐν αἵμασι τῶν σφαττομένων τῷ φόβῳ τῶν βροτῶν. Χαυνούμενοι γὰρ ὑπὸ τῶν θρήνων καὶ τῶν ὀδυρμῶν, οὐκέτι κυρίως μαχόμενοι ἵστανται ἀνδρείως, καὶ κατὰ τῶν ἀντιπάλων ἀνδρικῶς στρατευόμενοι, ἀλλὰ τὰ νῶτα κλίνοντες ἀναιροῦνται εὐθύς.

τούτῳ] B. δέον οὕτω εἰπεῖν τούτῳ εἶπεν πρὸς τὸ φόνῳ, ὥσπερ ἐστὶ καὶ τὸ ξύλινον μόρον ἣν παγίδα καλέουσιν. Ἢ μὲν συνάπτετο τούτῳ πρὸς τὸ φόνῳ, ἀλλ' οὕτω λέγε, ἐν τούτῳ γὰρ τῷ κωκυτοῖσιν ἀρπαλίζειν βόσκεται ὁ Ἄρης, ἐν τῷ φόνῳ τῶν βροτῶν.

v. 230. καὶ μὴν ἀκούω] B. πῶς οὖν μὴ θρηνῶ;

v. 231. μὴ νῦν ἀκούουσα] A. κἂν ἀκούῃς, προσποιοῦ μὴ ἀκούειν.

ἐμφανῶς] B. φανερῶς. μὴ ἄκου' ἄγαν] ἀλλ' ἐθελοκώφει.

v. 232. ὡς κυκλ.] A. ὡς κυκλούντων τὴν πόλιν τῶν πολεμίων, σείεται, φησίν, ἡ ἡμετέρα γῆ.

ὡς κυκλουμένων] B. ἡμῶν ἀπὸ τῶν πολεμίων.

v. 233. οὐκοῦν] B. τὸ λοιπόν.

v. 234. δέδοικα] B. Φοβοῦμαι. ἀραγμὸς ὀφέλλεται] κτύπος αὐξάνεται.

v. 235. τῶνδ'] B. ὧν λέγεις.

v. 236. ὦ ξυντέλεια] A. τὸ κοινὸν ἄθροισμα τῶν θεῶν, μεταφορικῶς. Κυρίως γὰρ ἡ τῶν στρατιωτῶν ἄθροισις· τέλος γὰρ τὸ τάγμα. Ὅμηρος, (Il. X. 56.) Ἐλθεῖν ἐς Φυλάκων ἱερὸν τέλος.

ξυντέλεια] B. ἄθροισμα τῶν θεῶν, ἐκ μεταφορᾶς τῆς εἰς τὸ κοινὸν εἰςφορᾶς, ἣν καλοῦσι ξυντέλειαν.

v. 237. οὐκ ἐς φθόρον] B. οὐκ εἰς φθορὰν ἀπελθοῦσα ἀφώνως μενεῖς. Εἰώθαμεν δὲ τοιούτοις λόγοις πρὸς τοὺς ἐνοχλοῦντας χρῆσθαι. φθόρον] φθοράν. ἀνασχήσῃ] ὑπομενεῖς.

v. 238. θεοὶ πολῖται] A. τοὺς ἰδίους καὶ πατρῴους ἐπικαλοῦνται θεούς, μὴ εἰς δουλείαν ἐμπεσεῖν.

μή με δουλείας τυχεῖν] B. θελήσητε.

v. 239 αὐτὴ σὺ δουλοῖς] A. θρηνοῦσα δηλονότι καὶ κράζουσα σὺ ἡμᾶς δούλους ποιεῖς.

πόλιν] B. πᾶσαν.

v. 240. παγκρατὲς] B. πανίσχυρε. Τὸ παγκρατές, εἰ μὲν πρὸς τὸ ὦ Ζεῦ συνάψεις, ἀρσενικὴ κλητική ἐστιν, εἰ δὲ πρὸς τὸ βέλος οὐδετέρα εὐθεῖα.

v. 241. ὤπασας] B. παρέσχες τῷ βίῳ.

v. 242. μοχθηρὸν] B. ὤπασε. ὥσπερ ἄνδρας] μοχθηροὺς ὤπασε.

v. 243. παλινστομεῖς] A. δυςφημεῖς, καίτοι τῶν ἀγαλμάτων ἐχομένη.

παλινστομεῖς] B. ἤγουν πάλιν στωμυλεύεις. θιγγάνουσα] ψαύουσα.

v. 244. ἀψυχίᾳ γὰρ] A. ὑπὸ φόβου συναρπάζομαι.

ἀψυχίᾳ] B. δειλίᾳ.

v. 245. αἰτουμένῳ] A. εἰ δοίης καὶ παράσχοις τέλος τῇ αἰτήσει, ἀβαρές σοι ἐστίν. Ἤτοι, ἐὰν ἐμοὶ ζητοῦν-

τί σοι) σιωπᾷν παράσχοις τέλος, καὶ ποιήσῃς τὸ ἐμὸν θέλημα, ἀβαρές σοι ἐστί. τέλος] γράφεται λόγον.

αἰτουμένῳ] B. εἰ παράσχοις ἐμοὶ αἰτουμένῳ τι κοῦφον καὶ ἀβαρές σοι, τέλος μοι δοίης τὸ πεπληρῶσθαι λέγω τὴν αἴτησιν. Ἢ οὕτω, εἰ αἰτουμένῳ ἐμοὶ δοίης τέλος τῆς αἰτήσεως, κοῦφον καὶ ἀβαρὲς ἔσται σοί.

v. 246. λέγοις ἂν] A. λέγε, φησί, ταχέως. Καὶ ἐὰν δυνατὸν ᾖ, γνώσομαι σιγᾷν, ἢ ὑπακούειν· γνώσομαι γὰρ εἰ δυνατόν μοι ποιεῖν ὃ κελεύεις.

λέγοις ἂν] B. τὴν αἴτησιν. τάχ' ἂν εἴσομαι] εἰ κοῦφον τὸ τῆς αἰτήσεως τέλος.

v. 247. τάλαινα] B. ἀθλία.

v. 248. σιγῶ· σὺν ἄλλοις] A. ὁ χορός φησι πρὸς τὸν Ἐτεοκλέα, ὅτι τὸ σὸν βούλημα ποιῶ, ἰδοὺ σιγῶ· σὺν τοῖς ἄλλοις πᾶσι πείσομαι καὶ πάθω τὸ μόρσιμον, ἤγουν τὸ πεπρωμένον. Τοῦτ' ἔστι, τὸ εἱμαρμένον μετὰ πάντων τῶν ἄλλων πείσομαι ἐγώ, εἴτι μοι ἀπόκειται.

τὸ μόρσιμον] B. τὸ μεμοιρασμένον.

v. 249. τοῦτ' ἀντ' ἐκείνων] A. εἰπόντος τοῦ χοροῦ σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον, φησὶν Ἐτεοκλῆς πρὸς αὐτόν, ὅτι καὶ τοῦτο τὸ ἔπος, τό, ὅτι σὺν τοῖς ἄλλοις πείσομαι τὸ μόρσιμον, προκέκρικα ἐκείνων, ἤτοι τῶν ἄλλων ὧν εἴρηκας. Ἄλλως. Ἀντ' ἐκείνων, ἤγουν ἀνθ' ὧν ἄλλων δυσφήμως εἴρηκας, τοῦτο μᾶλλον παρὰ σοῦ αἱροῦμαι. Ἄλλως. Τοῦτο μᾶλλον ἢ τὰ προειρημένα ἐπαινῶ.

τοῦτο] B. ὃ λέγεις. ἀντ' ἐκείνων] ὧν ἐποίεις κλαίουσα πρὸς τὰ ἀγάλματα.

v. 250. καὶ πρός γε] A. σὺν τούτοις δὲ οἷς τὴν ψυχήν μου κατέθελξας, ἐκστὰς ἀπὸ τῶν ἀγαλμάτων τῶν θεῶν, καὶ μὴ ἐχόμενος αὐτῶν, ὡς περὶ τοῦ θανεῖν δεδοικώς, εὔχου τοὺς θεοὺς βοηθεῖν ἡμῖν.

τούτοις] B. οἷς νῦν προὔκρινας.

v. 253. ὀλολυγμὸν] A. καὶ πρῶτον ἐμοῦ εὐξαμένου, εἶτα σὺ ὕμνησον ὀλολυγμὸν ἱερόν, ἤτοι ὕμνον, καὶ εὐχὴν ἱεράν, ἐξευμενίζουσαν τοὺς θεούς. Ἄλλως. Διέστειλε

τὸν ὀλολυγμὸν τοῦ παιῶνος. Καὶ γὰρ μόνῃ τῇ Ἀθηνᾷ, δαίμονι οὔσῃ πολεμικῇ, ὀλολύζουσι, τοῖς δὲ ἄλλοις θεοῖς παιωνίζουσιν. Ὁ γοῦν ποιητὴς (Il. VI. 301.) ἐπὶ τῶν Τρωϊάδων φησίν, Αἱ δ' ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον. Καὶ ἐπὶ τῶν Ἑλληνίδων, (Il. Ω. 166.) αἱ δ' ὀλόλυξαν θυγατέρες τὲ νυοί τε. Ἡ δὲ διάνοια ἁπλῆ φησὶν οὕτω, κἀμοῦ εὐχομένου ἀκούσασα· πῶς δέ, ἐπιφέρει. Νικήσας φησὶ τρόπαια ἀναθήσειν αὐτοῖς τοῖς θεοῖς, καὶ θυσίας ποιήσειν. Οὐ γὰρ ματαίας οὐδὲ γυναικείας εὐχὰς ἐπιτελέσω. Ἀλλὰ παρὰ ταῖς θυσίαις δεῖ σε ὀλολύζειν, ὡς ἔθος Ἑλληνικόν.

ὀλολυγμὸν ἱερὸν εὐμενῆ παιώνισον] B. μετὰ συντριβῆς εὐχὴν ἐξιλαστικὴν ᾆσον.

v. 254. Ἑλληνικὸν νόμισμα] A. ἤτοι κατὰ τὸν νόμον τὸν Ἑλληνικὸν τῆς βοῆς τῆς παρὰ ταῖς θυσίαις γινομένης. Ἢ, ὡς νενόμισται τοῖς Ἕλλησι παρὰ ταῖς θυσίαις ὀλολύζειν. θυστάδος βοῆς] θυστάδος, τῆς παρὰ ταῖς θυσίαις γινομένης. Ἀφ' ἧς ἐνίοτε καὶ ἡ βάκχη. Σημαίνει γὰρ τοῦτο καὶ τὴν καθαρὰν ἐσθῆτα, ὡς παρ' Εὐριπίδῃ. Ἢ, ἣ νενόμισται τοῖς Ἕλλησιν ἐν μάχαις· ἤ, ὡς νενομισμένον Ἕλλησιν παρὰ τὰς θυσίας ὀλολύζειν. Ἄλλως. θυστάδος βοῆς, ἐνθουσιαστικῆς.

Ἑλληνικῆς νόμισμα] B. ὡς εἰώθασιν ποιεῖν Ἕλληνες. θυστάδος βοῆς] τῆς περὶ τὰς θυσίας γενομένης.

v. 255. θάρσος φίλοις] A. ἤτοι διὰ τῶν τοιούτων εὐχῶν θάρσος ἐμποιοῦσα τοῖς φίλοις, καὶ λύουσα τὸν ἐν αὐτοῖς ἐνόντα τῶν πολεμίων φόβον. Τὸ γὰρ εὔχεσθαι τοῖς θεοῖς, θάρσος ἐμποιεῖ τοῖς φίλοις· κατὰ δέ τινας, πολέμιον φόβον τὸν ὀλολυγμὸν ἐξηγήσατο; ἐν τῷ, λύουσα πολέμιον φόβον. Καὶ γὰρ πολέμιον φόβον λέγει τὴν ἣν ἐποίει ὁ χορὸς πρὸς τοὺς θεοὺς θρηνώδη ὀλολυγήν, ἣ τοὺς πολίτας δεινῶς κατεπολέμει καὶ ἐξετάραττε. Τοῦτ' ἐστι, τὸν φόβον ὃν ὁ χορὸς ἐποίει τῷ ὀλολύζειν καὶ κλαίειν.

θάρσος φίλοις] B. τὸ γὰρ μετὰ σιγῆς ὕμνους πρὸς θεοὺς ποιεῖσθαι καὶ ἐξευμενίζειν διὰ θυσίας αὐτοὺς τῇ πόλει, ὥσπερ εἰώθασιν ποιεῖν Ἕλληνες; καιρῶν ὁμοίων ἐπιστάντων,

τοῦτο θάρσος ἐστὶ τοῖς οἰκείοις, καὶ τοῦ πολεμίων ἀπαλλαγὴ φόβου, ὥσπερ ἐστὶ τοὔμπαλιν δειλίας ἐμποιητικὸν τὸ χωρεῖν ἄνω καὶ κάτω θρήνοις καὶ ὀδυρμοῖς, καὶ τὸ ζῆν ἀπολέγεσθαι.

v. 256. πολισσούχοις] B. τοῖς τῆς πόλεως φύλαξι.

v. 257. πεδιονόμοις] A. ἤτοι τοῖς κλῆρον τῶν ἀλσῶν καὶ τῶν πεδίων ἀφωρισμένων ἔχουσιν ἑαυτοῖς. Ἄλση γὰρ καὶ παραδείσους καὶ πεδία λιπαρὰ οἱ πολῖται ἐκτέμνοντες τῶν ἰδίων κτημάτων, ταῦτα τοῖς θεοῖς ἀνετίθεσαν.

πεδιονόμοις] B. τοῖς κατοικοῦσιν ἐν τῷ πεδίῳ. ἀγορᾶς ἐπισκόποις] τοῖς ἐν ἀγορᾷ τοὺς ναοὺς ἔχουσι.

v. 258. οὐδ' ἀπ' Ἰσμηνοῦ λέγω] A. καλῶς εἶπεν, οὐκ ἀριθμῶ τοὺς ἀπὸ τῶν Θηβῶν, τῆς ἐμῆς δηλαδὴ πόλεως (Ἰσμηνὸς γὰρ ποταμὸς τῶν Θηβῶν) ὡς δήλου ὄντος ὅτι τιμῶνται καὶ ὑπ' ἐμοῦ ἐγγράφονται τοῖς τιμωμένοις. Πῶς γὰρ οὔ; ὅτι τοῖς τοῦ Ἰσμηνοῦ θύω πᾶσι, τῶν πραγμάτων εὐτυχῶς ἀποβάντων. Ἄλλως. Οὐδὲν λέγω τοὺς θεοὺς τοὺς ἀπὸ τοῦ Ἰσμηνοῦ, ἀλλὰ μόνον τοὺς ἀπὸ τῆς Δίρκης. Ἐτιμῶντο γὰρ καὶ αὐτοὶ οἱ ἀπὸ τοῦ Ἰσμηνοῦ παρὰ τοῖς Θηβαίοις· κατέλειψε δὲ εἰπεῖν ἅπαντας, διὰ τὸ θαῤῥεῖν καὶ ἐν ὀλίγαις δεήσεσιν εἰσακουσθῆναι. Ἄλλως. Οὐδ' ἀπ' Ἰσμηνοῦ λέγω, ἀντὶ τοῦ, σὺν τῷ Ἰσμηνῷ· κατὰ σχῆμα δὲ ἡ φωνή. Οἷον, λέγω ὅτι σὺν τῷ Ἰσμηνῷ. Θύω οὖν αὐτοῖς πᾶσι, τῶν πραγμάτων εὐτυχῶς ἀποβάντων. Ἄλλως. Καινῶς εἶπεν, οὐκ ἀριθμῶ τὸν Ἰσμηνόν, ὡς δήλου ὄντος ὅτι τιμᾶται καὶ ἐγγράφεται τοῖς τιμωμένοις.

Δίρκης τε πηγαῖς] B. ταῖς ἐν αὐταῖς Νύμφαις. οὐδ' ἀπ' Ἰσμηνοῦ λέγω] οὐδ' ἀφαιρῶ τοῦ λόγου καὶ τῆς εὐχῆς τὸν Ἰσμηνόν, καὶ τοὺς ἐν αὐτῷ θεούς. Πρῶτον καθολικῶς εἶπεν τοῖς τῆς χώρας θεοῖς, εἶτα μερικῶς ἐπήνεγκε, πολισσούχοις λέγων καὶ πεδιονόμοις καὶ ἀγορᾶς ἐπισκόποις. Ἐπεὶ δὲ καὶ τοὺς ἐκτὸς τῆς πόλεως εἰπεῖν ἔδει, περιεκτικὸν γὰρ ἡ χώρα τῆς πόλεως, οὐκ εἴρηκε καὶ τοῖς ἐν ταῖς πηγαῖς τῆς Δίρκης θεοῖς, ἀλλὰ ταῖς πηγαῖς τῆς Δίρκης μόνον ἔφη, τουτέστι ταῖς ἐν αὐταῖς κατοικούσαις Νύμφαις· εἶτα πάλιν ἐνήλλαξε τὴν σύνταξιν, καὶ φησίν, οὐδ' ἀπ' Ἰσμηνοῦ λέγω,

οὐκ ἀφαιρῶ τοῦ λόγου καὶ τῆς εὐχῆς τὸν Ἰσμηνὸν καὶ τοὺς ἐν αὐτῷ θεούς.

v. 259. εὖ ξυντυχόντων] B. τῶν πραγμάτων.

v. 260. ἑστίας] B. τοὺς βωμούς.

v. 261. ἐπεύχομαι θήσειν] A. λείπει ἡμᾶς.
ὧδε] B. ὡς ἔφην.

v. 262. τρόπαια] A. παρατηρητέον ὅτι οὐδέπω ἦν ἡ τῶν τροπαίων ὀνομασία κατὰ τὸν Ἐτεοκλέα· ὥστε ἀνεβίβασε τὰ κατὰ τὸν χρόνον ὁ Αἰσχύλος. Ἐσθήματα ἀναθήσω πρὸ τῶν ναῶν, τὰ λάφυρα.

θήσειν] B. ἡμᾶς. τρόπαια] τῆς νίκης. πολεμίων δ' ἐσθήματα] τὰς πανοπλίας.

v. 263. δαΐων] B. τῶν πολεμίων. δουρίπληκτα] διὰ τοῦ ἐμοῦ δορὸς σκυλευθέντα. ἁγνοῖς] καθαροῖς θήσειν.

v. 264. τοιαῦτα] B. οἷα ἐμοῦ ἤκουσας. φιλοστόνως] θρηνητικῶς.

v. 265. ποιφύγμασι] A. οἷον ἐκφοβήμασι, τοῖς δυναμένοις ἐκπλῆξαι τοὺς ἀκούοντας.

ματαίοις] B. ἀνωφελέσι. ποιφύγμασιν] θρήνοις, βοαῖς.

v. 266. οὐ γάρ τι μᾶλλον] B. τὸ οὐ γὰρ θρηνοῦσα μᾶλλον ἢ μὴ θρηνοῦσα, ἐκφύγῃς ὃ σοι παθεῖν πέπρωται. Ἀλλ' εἰ καὶ διὰ παντὸς θρήνοις ἐκδοίης σαυτήν, οὐδέν σοι τοῦτο λυσιτελήσει πρὸς τὸ μὴ παθεῖν σε τὰ πεπρωμένα. μόρσιμον] μεμοιρασμένον.

v. 267. ἐγὼ δ' ἐπ' ἄνδρας] A. ἡ ἐπὶ πρὸς τὸ ἐχθροῖς. Ἐγὼ δὲ παραγενόμενος ἐπ' ἄνδρας ἓξ σὺν ἐμοὶ ἑβδόμῳ, τάξω εἰς ἑπτατειχεῖς ἐξόδους, ἤτοι εἰς τὰς ἑπτὰ πύλας πόλεως, ἀντηρέτας καὶ ἀντιμάχους τοῖς ἐχθροῖς (ἀπὸ τοῦ ἀνταίρω ῥήματος) πρὶν ἱκέσθαι καὶ παραγενέσθαι πρὸς ἡμᾶς λόγους μηνυτὰς συνεχεῖς καὶ κατεπείγοντας ἡμῶν τὴν ἔξοδον, ἡμᾶς ἐκεῖσε ἀπελθεῖν. Ἄλλως. Ἐγὼ δὲ σὺν ἐμαυτῷ ἄλλους ἓξ (ὥστε ἐστὶν αὐτὸς ἕβδομος) ἀντιστάτας τοῖς πολεμίοις ποιήσομαι ταῖς ἑπτὰ πύλαις, καὶ σπεύσω ἐγὼ τάξαι λοχαγοὺς πρὶν ἢ τὰ πράγματα κατεπείξῃ, ὥστε δι' ἀγγέλων συχνῶν ἐξάγειν τὸ στράτευμα.

ἐγὼ δ' ἐπ' ἄνδρας] B. οὕτως σύνταςσε, ἐγὼ δὲ μολὼν ἐπ' ἄνδρας ἕξ, τάξω αὐτοὺς τὸν μέγαν τρόπον ἐς ἑπταπείχεις ἐξόδους σὺν ἐμοὶ ἑβδόμῳ, ἀντηρέτας τοῖς ἐχθροῖς· μὴ λάβοις δὲ εἰς τὸ τὸν μέγαν τρόπον ἔξωθεν κατά, ἀλλ' ὡς φαμεν τάττω τάξιν, οὕτω καὶ τούτων.

v. 268. ἀντηρέτας] B. ἀντιπάλους. τὸν μέγαν τρόπον] τὸ γὰρ διατάττειν στρατηγοὺς καὶ στρατεύματα μεγιστόν ἐστι καὶ τοῦ βασιλέως ἄξιον.

v. 270. σπερχνοὺς] B. ταχεῖς, σπουδαίους.

v. 271. φλέγειν] B. ἐκκαίειν, δαμάζειν.

v. 272. μέλει, φόβῳ δ' οὐχ] A. φησὶν ὁ χορός, μέλει ἡ ψυχή μου, ἤτοι φροντίζει ὧν εἶπεν ὁ Ἐτεοκλῆς· ἀλλ' ὁ ἐν ἐμοὶ φόβος οὐκ ἠρεμεῖν ἐᾷ καὶ ἡσυχάζειν ἐμέ. Ἡ δὲ ἐν τῇ καρδίᾳ μου μέριμνα τὸν ἐμὸν φόβον ἀνανεοῦται τὸν ἀμφὶ τείχη λεών.

μέλει] B. φροντίς ἐστί μοι ὧν εἶπον. οὐχ ὑπνώσσει κέαρ] οὐ καταραθυμήσει καὶ οἱονεὶ τοῦ φροντίζειν χαλάσῃ, μὴ νήφῃ τοῦ φόβου πείθοντος, ἀλλὰ πρὸς δάκρυα καὶ οἰμωγὰς ἔχειν παρασκευάζοντος· αἱ γὰρ ἐν τῇ ψυχῇ μου φροντίδες φόβον ἀνάπτουσι τὸν ἀμφιτειχῆ λεών, τουτέστι φοβοῦμαι. Ἐστὶ δὲ ὁ φόβος οὐχ ἕτερος, ἀλλ' ἢ ὁ πέριξ τῶν πολεμίων στρατός, οὗτος γὰρ ἐμβάλλει τὸν φόβον, περιϊστάμενος καὶ πολιορκῶν τὴν πόλιν. Οὕτω λέγε καὶ μὴ λάμβανε ἔξωθεν ἀμαθῶς τὸ διά, λέγων, διὰ τὸν ἀμφιτειχῆ λαόν.

v. 273. γείτονες] A. αἱ δ' ἐν τῇ καρδίᾳ μέριμναι ἀνάπτουσι τὸν ἐν ἐμοὶ φόβον. Ἡ καρδία μου, φησί, δέδοικε τὸν πολιορκοῦντα στρατόν, ὡς δράκοντα ὑπὲρ τῶν νεοσσῶν πελειάς.

v. 274. ζωπυροῦσι] B. ἀνάπτουσι.

v. 275. ἀμφὶ] B. περί.

v. 276. δράκοντα δ' ὥστις] A. δέδοικε γὰρ ἡ καρδία μου. Τὸν γὰρ δὲ σύνδεσμον ἀντὶ τοῦ γὰρ νοητέον.

v. 277. λεχέων δυσευνήτορας πάντροφος πελειὰς] A. λεχέων, τουτ' ἔστι, νεμομένων ἐπὶ τῆς καλιᾶς. Ταύτην γὰρ λέχος εἶπεν. Οἷον τῶν ἐν ὡρισμένῳ τόπῳ μενόντων,

καὶ μήπω δυναμένων ἵπτασθαι· δυςευνήτορας δὲ, δυςευνήτους, διὰ τὸν φόβον τοῦ δράκοντος. Πάντροφον δὲ τὴν πελειάδα φησὶν, ὅτι πάντα τὰ ὄρνεα ἅπαξ τοῦ ἔτους τίκτει, ἡ δὲ περιστερὰ ἀεί· διὸ ἀνάκειται τῇ Ἀφροδίτῃ. Περιστερὰ δὲ εἴρηται ἡ περισσὰ ἐρῶσα, πλεονάζοντος τοῦ τ κατὰ τὸ μέσον.

ὑπερδέδοικε] B. ἀπὸ τούτου λάμβανε τὸ ἔξωθεν τὸ δέδοικα, ἵνα ᾖ οὕτως, δέδοικα ὑπὲρ τοῦ λαοῦ.

δυςευνήτειρα] B. ἄγρυπνος διὰ τὸν φόβον.

v. 279. πάντροφος πελειὰς] B. ἡ δι' ὅλου τοῦ ἔτους τίκτουσα, διὸ καὶ ἀνάκειται τῇ Ἀφροδίτῃ.

v. 280. τοὶ μὲν] B. ἄλλοι.

v. 281. πανδημεὶ] B. καὶ τὰ συστήματα καὶ πλήθη.

v. 283. ἀμφιβόλοισι] A. πάντοθεν βαλλομένοις· ἢ ἀμφοτέρωθεν.

τοὶ] B. ἄλλοι. ἀμφιβόλοισι] τὸ ἀμφιβόλοις οὐχ ὥς φασί τινες, τοῖς ἀμφοτέρωθεν βαλλομένοις· ἀλλὰ ἀμφιβόλοις πολίταις τοῖς ἀμφίβολον καὶ οὐ βέβαιον ἔχουσι τὸ εἶναι πολίταις, ἀλλὰ μέσοις οὖσι καὶ κινδυνεύουσιν ἐκπεσεῖν τοῦ προςρήματος διὰ τὸν ἐπηρτημένον τῇ πόλει κίνδυνον.

v. 284. ἰάπτουσι] A. μετὰ βλάβης βάλλουσι.

ἰάπτουσι] B. πέμπουσι.

v. 285. χερμάδα] B. χεροπληθῆ λίθον. ὀκριόεσσαν] χαλεπήν.

v. 286. παντὶ τρόπῳ] B. πάσῃ μηχανῇ καὶ σπουδῇ. διογενεῖς] οἱ ἐκ Διὸς ἔχοντες τὸ γένος ἅτε πατρὸς ἀνδρῶν τε θεῶν τε.

v. 288. καδμογενῆ] A. ἀπὸ Κάδμου γὰρ οἱ Θηβαῖοι.

ῥύεσθε] B. κίνδυνον.

v. 289. ποῖον δ' ἀμείψεσθε] A. ποῖον δὲ πέδον ἕτερον (ἤγουν ποίαν γῆν) ἀμείψεσθε ἄρειον καὶ βέλτιον καὶ κρεῖττον ταύτης τῆς γῆς· ἀντὶ τοῦ ποῖον ἄλλο γῆς δάπεδον οἰκήσετε· ἐχθροῖς ἀφέντες καὶ καταλείψαντες καὶ δόντες

τὴν αἶαν, καὶ τὴν γῆν βαθύχθονα καὶ λιπαράν· ὕδωρ τε πάλιν τὸ τῆς Δίρκης τῆς πηγῆς ἀφέντες τὸ εὐτρεφέστατον τῶν ποταμῶν ὁπόσων ἵησι καὶ ἐκπέμπει ὁ Ποσειδῶν ὁ γαιήοχος, οἱ παῖδές τε τῆς Τηθύος ἤγουν τῆς γῆς. Ἄλλως. Ἀντὶ τοῦ, ποῖον οἰκήσετε δάπεδον, ἐντεῦθεν μεταστάντες. Εἴρηται δὴ καὶ ἐν Ξοανηφόροις Σοφοκλέους, ὡς οἱ θεοὶ ἀπὸ τῆς Ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα, εἰδότες ὅτι ἁλίσκεται. Ἐὰν ταύτην, φησί, τὴν γῆν προδῶτε τοῖς πολεμίοις, ποίαν βελτίονα αὐτῆς εὑρήσετε;

v. 290. Ἄρειον] B. κρεῖττον.

v. 291. βαθύχθονα] A. εὔγειον.

βαθύχθονα] B. λιπαράν· τὴν εἰς βάθος δεχομένην τὰ πέρατα.

v. 294. ὅσων ἵησι Ποσειδῶν] A. τὸν Ποσειδῶνα λέγει ἐκπέμπειν τοὺς ποταμούς, ὅτι ὑγρᾶς οὐσίας δεσπότης οὗτός ἐστιν. Ἢ, ὅτι ἐκ τῆς θαλάσσης οἱ ὄμβροι ἀναδίδονται, εἶθ' οὕτως ῥήγνυνται. Ἐκ δὲ τούτων οἱ χείμαῤῥοι γίνονται. Τηθύος δὲ παῖδας πάλιν τοὺς ποταμοὺς ὀνομάζει. Μυθεύεται γὰρ ὅτι ὁ Οὐρανὸς συμμιγεὶς τῇ Γῇ, ἀπέτεκε τὸν Ὠκεανὸν καὶ τὴν Τηθὺν, καὶ ἄλλους οὐκ ὀλίγους παῖδάς τε καὶ θυγατέρας. Ὁ δὲ Ὠκεανὸς μιγεὶς Τηθύϊ τῇ αὐτοῦ ἀδελφῇ, ἐγέννησε τοὺς ποταμοὺς καὶ τὰς πηγὰς τὰς οὔσας ἐν τῷ κόσμῳ, καὶ οὕτως λέγονται οἱ ποταμοὶ παῖδες Τηθύος.

ὅσων ἵησι] B. ἐκπέμπει. Σπογγοειδοῦς γὰρ οὔσης τῆς γῆς, ἐκ τῆς θαλάττης εἰς τοὺς πόρους αὐτῆς εἰσιὸν ὕδωρ, εἰ μὲν στενοί τινες τύχοιεν ὄντες οἱ πόροι, ὥσπερ διηθίζεται τοῦτο καὶ γλυκὺ ἐκ τῆς γῆς ἀναῤῥήγνυται· εἰ δ' αὖ εὐρεῖς, ἁλμυρόν, πλὴν ὅσον οὐχ οἷον ἦν ἐξ ἀρχῆς, ἀλλὰ πολὺ τῆς ἀρχαίας ποιότητος παραλλάττειν, ὥστε καὶ οἱ εἰςβάλλοντες εἰς αὐτὴν ποταμοί, ἐξ ὧν ἔφαμεν πόρων, πάλιν εἰς αὐτοὺς ἀποκαθίστανται.

v. 297. πρὸς τάδ' ὦ πολιοῦχοι θεοί] A. πρὸς ταῦτα ὦ πολιοῦχοι θεοί, τοῖς μὲν ἔξω πύργων, ἤτοι τοῖς πολεμίοις, ἐμβαλόντες ἄταν καὶ βλάβην τὴν τοὺς ἄνδρας φθείρουσαν, καὶ τὴν ποιοῦσαν ῥίπτειν τὰ ὅπλα,

ἄροισθε κῦδος, ἤτοι ἕξετε δόξαν. Τοῖς δὲ πολίταις στάθητε εὔεδροί τε καὶ καλῶς ἡδρασμένοι καὶ εὐστήρικτοι, καὶ ἀμετάκλιτοι φύλακες τῆς πόλεως, οἱονεὶ δυσωπηθέντες ταῖς ὀξυγόοις λιταῖς ἡμῶν. Ἄλλως. Πρὸς τάδε, ἀντὶ τοῦ διὰ ταῦτα. Πρὸς ταῦτα ὦ πολῖται θεοὶ τοῖς μὲν ἔξω τοῦ τείχους Ἀχαιοῖς ἄτην ἐμποιήσατε, ὥς τε αὐτοὺς τὰ ὅπλα ῥίψαι· τούτου δὲ γενομένου, πρὸς ἡμῶν τῶν πολιτῶν πάνυ ἂν ὑμνήσθε παρὰ τῶν πολιτῶν.

v. 298. τοῖσι μὲν ἔξω] B. τοῖς πολεμίοις.

v. 300. ῥίψοπλον ἄταν] B. τὴν ῥίψαι παρασκευάσασαν αὐτοὺς τὰ ὅπλα.

v. 301. ἄροιτε] B. λάβοιτε ἄν.

v. 302. κῦδος] B. δόξαν.

v. 303. ῥυτῆρες] B. φύλακες.

v. 304. εὔεδροι] B. εὐκάθεδροι.

v. 305. ὀξυγόοις λιταῖσι] A. διὰ τὰς ὀξυθρηνήτους λιτὰς ἡμῶν.

λιταῖσιν] B. ἡμῶν.

v. 306. ὠγυγίαν] B. ἀρχαίαν.

v. 307. δορὸς ἄγραν] A. διὰ δόρατος ἀγρευθεῖσαν.

προϊάψαι] B. δοῦναι.

v. 308. ψαφαρᾷ σποδῷ] A. ἀσθενεῖ, ἐλαφρᾷ.

ψαφαρᾷ σποδῷ] B. λεπτῇ γῇ, ἤτοι τῷ Ἄργει· λεπτόγειον γὰρ τοῦτο, διὸ καὶ διψηρόν.

v. 309. θεόθεν] B. βουλεύσει θεῶν.

v. 311. τὰς δὲ κεχειρωμένας] A. τὰς δὲ νέας καὶ γηραιὰς ἄγεσθαι κεχειρωμένας ἀπὸ τῶν πλοκάμων, ἱππηδὸν ἤτοι δίκην ἵππων, τοῦτ' ἔστι μετὰ ἀνάγκης. Οἱ γὰρ ἵπποι μετὰ ἀνάγκης ἕλκονται. Καὶ Ὅμηρός φησιν, (Il. E. 366.) (οὐκ) ἄκοντε πετέσθην. Ἄλλως. Ἱππηδὸν ἄγεσθαι, ὑπὸ ἵππων σύρεσθαι τῶν πλοκάμων μετὰ ἀνάγκης.

κεχειρωμένας] B. κεκρατημένας.

v. 312. ἒ ἒ ἒ] A. διέκοψε τὸν λόγον τῷ θρήνῳ.

εὐεδροι τε: εὐεδροι σταθητε: συναπτε τὸ ποῖον ἀμείψεσθε γαίας πεδον·

καὶ γὰρ οἱ ἵπποι ἀνάγκῃ τινὶ ἕλκονται.

v. 313. ἱππηδὸν] B. δίκην ἵππου.

v. 314. περιερῥηγμένων] B. ἐσχισμένων.

v. 315. βοᾷ δ' ἐκκενουμένα] A. θρηνεῖ δὲ ἡ πόλις ἐκκενουμένη, τῆς λαΐδος, ἀντὶ τοῦ ληΐδος, ἤγουν τῆς λείας τουτέστι τῶν πολιτῶν, ὀλλυμένης καὶ φθειρομένης, τῆς μιξοθρόου, ἤτοι τῆς θροῦν καὶ βοὴν ποιουμένης ἀνάμικτον· γυναῖκες γὰρ καὶ παῖδες ἀκμάζοντες καὶ ἀρτιγενῆ βρέφη καὶ ἄνδρες καὶ γέροντες ἐποιοῦντο τὸν θρῆνον σύμμικτον.

v. 316. λαΐδος] B. ληΐδος, λαοῦ. μιξοθρόου] τῶν μεμιγμένων θρόων ἀποτυχούσης ἅτε ἐξ ἀνδρῶν καὶ γυναικῶν καὶ γερόντων καὶ παίδων οὔσης.

v. 317. τύχας] B. τὰς μελλούσας δηλονότι. προταρβῶ] πρὸ τοῦ γενέσθαι φοβοῦμαι.

v. 318. κλαυτὸν δ' ἀρτιτρόποις] A. ἄξιον μεγάλου κλαυθμοῦ ταῖς κόραις ταῖς ἄρτι δρεπομέναις τὴν παρθενίαν, πρὸ τοῦ ἐλθεῖν εἰς ὥραν γάμου, αἰχμαλωτισθῆναι καὶ δούλας εἰς τὴν ξένην χώραν ἀπελθεῖν. Ἄλλως. Κλαυτὸν δὲ καὶ θρήνου ἄξιον ἔσεται ταῖς ἀρτιτρόποις, ταῖς ἄρτι ἀπὸ τῆς παιδικῆς ἡλικίας, ἐπὶ τὴν τελειοτέραν τραπείσαις, ἀπὸ τῶν ἑαυτῶν δωμάτων διαμεῖψαι, καὶ ὁδεῦσαι ὁδὸν στυγερὰν καὶ μίσους ἀξίαν. Ἤτοι διακορηθῆναι καὶ διαπαρθενευθῆναι ὑπὸ τῶν ἐχθρῶν τῶν ὠμοδρόπων. Ἄλλως. Εἰ μὲν διὰ τοῦ τ ἀρτιτρόποις, ταῖς νεωστὶ τραπείσαις ἀπὸ τῆς παιδικῆς ἡλικίας, καὶ ἡβησάσαις· εἰ δὲ διὰ τοῦ δ ἀρτιδρόποις, ταῖς ἄρτι δρεπομέναις. Ταῖς δὲ παρὰ τὴν ἀκμήν, φησί, διακορευομέναις ἔσται κλαυθμός, ἢ ταῖς διαμειβούσαις τὴν τῆς αἰχμαλωσίας ὁδόν, ἔσται δάκρυα. ὠμοδρόπων νομίμων προπάροιθεν] κλαυτόν ἐστι τὸ διαπαρθενευθῆναι ὑπὸ τῶν ἐχθρῶν τῶν ὠμοδρόπων, προπάροιθεν νομίμων, ἤτοι τοῦ νενομισμένου καιροῦ, δρεπομένων καὶ τρυγωμένων. Τὰ γὰρ ἔξω τοῦ καιροῦ δρεπόμενα καὶ μήπω πεπανθῆναι τῷ χρόνῳ φθάσαντα, πάντως ἀγλευκῆ τυγχάνουσι, καὶ πικρίας πολλῆς ἀνάμεστα. Ἄλλως. Ὠμοδρόπων. Ὑπὸ τῶν ἐχθρῶν τῶν τὴν παρθενίαν αὐτῶν καὶ ἥβην ὠμὴν καὶ ἄωρον δρεπομένων, πρὸ τῶν νομίμων γάμων.

ὑπὸ τῶν αὐτῶν δρεπομένων τὴν ἥβην πρὸ τῶν νομίμων γάμων.

κλαυτὸν] B. ἄξιον θρήνων. ἀρτιτρόποις] ταῖς νέαις ταῖς ἄρτι τρεπομέναις ἀπὸ τῆς παιδικῆς ἡλικίας πρὸς τὴν τελειοτέραν. ὠμοδρόπων] τὸ παρθένους ἀτίμως ἐκ τῶν δωμάτων ἑλκομένας, διαμεῖψαι στυγερὰν ὁδόν, ἤτοι ἐφθάρθαι πρὸ τοῦ νενομισμένου χρόνου, ἐπειδὴ παρὰ τάξιν γέγονεν, ἄξιον ἐστι θρήνου. Ἢ τὸ διαμεῖψαι στυγερὰν ὁδὸν ἀντὶ τοῦ ἀτίμως δημοσίᾳ ἕλκεσθαι, ὅπερ ἐστὶ λυπηρὸν ταῖς οἰκουρούσαις καὶ παρθενευούσαις γυναιξίν. Δέον εἰπεῖν ὠμοδρόπως, ὠμοδρόπων εἶπε πρὸς τὸ νομίμων.

v. 319. νομίμων] B. ὧν ἂν κατὰ νόμους ἔτυχον. διαμεῖψαι] ὁδεῦσαι.

v. 320. δωμάτων] B. ἀπό. στυγερὰν] ἄτιμον.

v. 321. τί; τὸν φθίμενον] A. τί γὰρ δεῖ πολλὰ λέγειν; ὁ προτεθνηκώς, εὐτυχῶς πράσσει πλέον τοῦ ζῶντος. Οἱ τελευτήσαντες, φησί, καὶ μὴ τοιαύτης πειρώμενοι συμφορᾶς, ἄμεινον ἡμῶν πράττουσιν.

τί] B. φημὶ τοῦτο. τὸν φθίμενον] νεκρόν.

v. 322. βέλτερα τῶνδε] B. καλλίω τῶν ἐν ταῖς πολιορκίαις.

v. 323. δαμασθῇ] B. πορθηθῇ.

v. 324. πράσσει] B. πάσχει.

v. 326. τὰ δὲ πυρφορεῖ] B. ἄλλος δὲ τῆς πόλεως οἷον οἴκους καίει καὶ πῦρ φέρουσι.

v. 327. καπνῷ δὲ] A. χαλεπώτερος γὰρ ὁ καπνὸς τῶν ἑλεπόλεων καὶ πετροβολισμῶν· καὶ πόρθησιν πολλῷ δεινοτέραν τῆς ἐκ τῶν τοιούτων πορθήσεως ὑπαινίττεται.

χραίνεται] B. μελαίνεται.

v. 328. λαοδάμας] B. ὄλεθρος τοῦ λαοῦ.

v. 329. εὐσέβειαν] B. τὰ ἱερὰ καὶ τὴν εἰς θεοὺς τιμήν.

v. 330. κορκορυγαί] A. ταραχαί. κεκωμῴδηται δὲ ἡ λέξις. (Aristoph. Nub. 386. Pac. 989. Lysist. 491. ed. Lips.)

κορκορυγαί] B. ἄσημοι βοαί. κορκορυγὴ γὰρ κυρίως τὸ ἐν τοῖς νεοσφαγέσι τῶν ζώων ἔσωθεν ἀπὸ τῶν ἐντέρων ἦχουν

ἠχοῦν πνεῦμα πρὸς τὴν σφαγὴν ἀπάντων, ἢ τὸ τῆς ἀρτηρίας πνεῦμα τῆς πλησίον οὔσης τῆς τὴν σφαγὴν δεχομένης φλεβός· ὀρκάνη γὰρ εἶδος δικτύου. ἀνὰ ἄστυ] γίνονται.

v. 331. ὀρκάνη] A. τὸ θηρευτικὸν δίκτυον, ὃ καὶ σαργάνη καλεῖται.

ποτὶ πτόλιν] B. ἐστίν. ὀρκάνα] συνέχουσα ἢ πύργον περιλαμβάνουσα. Ἢ τὸ πυργῶτις ἀντὶ τοῦ μεγάλη.

v. 332. πρὸς ἀνδρὸς δ' ἀνὴρ δορὶ καίνεται] A. παρὰ τὸ Ὁμηρικόν, — ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιζεν. [Il. IV. 472.]

v. 333. βλαχαὶ δ' αἱματόεσσαι] A. ἡ βληχὴ κυρίως ἐπὶ τῶν προβάτων λέγεται ἢ λαμβάνεται, ἠχώ τινα καὶ φωνὴν ποιὰν ἄσημον ἐκπεμπόντων. Ἐξελάβετο δὲ τοῦτο ὁ ποιητὴς καὶ ἐπὶ τῶν νεογνῶν καὶ ἀρτιγενῶν καὶ ἀτελῶν βρεφῶν, ὡς τοιᾷδε τῇ φωνῇ, ἀσήμῳ δηλαδὴ καὶ ἀνάρθρῳ, χρωμένων. Ἃ παρὰ τῶν πολεμίων ἁρπαζόμενα ἀπὸ μαστῶν, αἱμάσσεται, ὥστ' ἄναρθρον φωνὴν καὶ προβατώδη προΐεσθαι.

βληχαὶ δ' αἱματόεσσαι] B. ἄσημοι βοαὶ ἀπὸ αἵματος καὶ φόνου γενόμεναι.

v. 334. τῶν ἐπιμαστιδίων] B. νηπίων.

v. 335. ἀρτιτρεφεῖς] B. ἀρτιτρεφῶν, ἤτοι νεογνῶν, ἔδει εἰπεῖν πρὸς τὸ μαστιδίων, ἐπήνεγκε δὲ πρὸς τὸ βληχαὶ αἵτινες τῶν νηπίων ἦσαν.

v. 336. ὁμαίμονες] A. συγγενεῖς. Ἕλληνες γὰρ πάντες· οἷον μετὰ αἵματος γινόμεναι. Ἢ τῶν ὁμαιμόνων καὶ συγγενῶν, καὶ ἐξ ἑνὸς γένους.

ἁρπαγαὶ δὲ διαδρομᾶν ὁμαίμονες] B. φυγῶν, ὁ γὰρ ἁρπάζων τι φεύγει μήπως καταληφθῇ, ὅθεν ὁμαίμονα τὴν φυγὴν τῆς ἁρπαγῆς εἶπε.

v. 337. ξυμβολεῖ] B. συναντᾷ.

v. 339. ξύννομον] A. κοινωνόν.

v. 340. οὔτε μεῖον, οὔτ' ἶσον] A. διὰ τούτων τοὺς πλεονεκτοῦντας ἐμφαίνει. Ὁ γὰρ μήτε ἔλασσον μήτε ἴσον

τῷ προλαβόντι λαβεῖν αἱρούμενος, φαίνεται πλείονος ὀρεγόμενος. Τινὲς δὲ τὸ λελιμμένοι διὰ τοῦ ι γράφουσιν, οἷον λελιμμένοι καὶ ἐπιθυμοῦντες· ὤφειλε δὲ πρὸς τοῦτο, μείονος καὶ ἴσου, γράφεσθαι, ἀλλὰ λαμβάνουσιν ἔξωθεν τὸ λαβεῖν, καὶ λέγουσιν, οὔτε μεῖον οὔτε ἶσον ἐπιθυμοῦντες λαβεῖν. Λεληιμμένοι οὖν διὰ τοῦ η, ἐκ τοῦ λήβω τὸ λαμβάνω. Τὸ δὲ λελιμμένοι διὰ τοῦ ι, ἐκ τοῦ λίπτω τὸ ἐπιθυμῶ.

λελιμμένοι] B. ἐπιθυμοῦντες λαβεῖν.

v. 341. τίν' ἐκ τῶνδ' εἰκάσαι] A. τί δεῖ ὑπονοῆσαι ἐκ τούτων, ἢ πένθη καὶ συμφοράς;

τίν' ἐκ τῶνδε] B. τῶν ἐν ἁλώσεσι συμβαινόντων· λέγει δὲ ὅτι πάνθ' ὅσα ἂν εἴπωμεν ἐλάττω τῶν τότε συμβαινόντων ἐροῦμεν.

v. 342. παντοδαπὸς δὲ καρπὸς] B. σῖτος, κριθή, κέγχρος, πάνθ' ὁμοῦ χρήματα.

χαμάδις] B. ἐπίγειος. ἀλγύνει] λυπεῖ. κυρήσας] τίνι, τοῦτο δὲ ἄλλως εἰπεῖν ἔδει, οὐ γὰρ ὁ καρπὸς ἐντυγχάνει τινι, ἀλλὰ τῷ καρπῷ τις ἐντυγχάνει.

v. 343. πικρὸν δ' ὄμμα] A. πικρὰ θέα τῶν παρθένων ἀποσπωμένων ἐκ τῶν θαλάμων.

πικρὸν δ' ὄμμα] B. τὸ δὲ πικρὸν ὄμμα διὰ τοῦτο φησίν, ὅτι σκυλευόμεναι θρῆνον ἐγείρουσι, καὶ τὸ αὐτῶν ὄμμα ἐκτήκουσι γόοις κατ' Εὐριπίδην, ἢ ὅτι ὁρῶντες αὐτὰς ἕτεροι ἀθλίως ἑλκομένας, δακρύων σταλαγμοὺς ἐξ ὀφθαλμῶν καθίασιν. θαλαμηπόλων] νέων νυμφῶν ἢ οἰκούρων, θάλαμος γὰρ οὐ μόνον ὁ παστός, ἀλλὰ καὶ ὁ οἶκος.

v. 345. πολλὰ δ' ἀκριτόφυρτος] A. ἡ πολλὴ δὲ δόσις καὶ καρπὸς τῆς γῆς, ἡ ἀκριτόφυρτος καὶ ἀναμεμιγμένη, φέρεται ἐν τοῖς τοῦ πολέμου ῥεύμασιν. οὐτιδανοῖς] ἀχρείοις· ἤτοι ἀνευφράντοις.

ἀκριτόφυρτος] B. ἀδιαίρετος.

v. 346. οὐτιδανοῖς ἐν ῥοθίοισι] A. οἱ γὰρ Δωριεῖς τὸ γένος δένος λέγουσι, καὶ τὴν γῆν δᾶν, καὶ τὸν γνόφον δνόφον. Εὐφυῶς δὲ ὁ ποιητὴς τῷ ῥοθίοισι προςέθηκε τὸ οὐτιδανοῖς, ἐπειδὴ γὰρ τὰ ῥόθια καὶ τὰ τῆς θαλάσσης ὑγρὰ κέλευθα,

δι᾽ αὐτῶν γὰρ ὁ πλοῦς, τὰ ζωαρκῆ κομίζεται ταῖς πόλεσιν, ἐξ ὧν αὐταὶ συνίστανται, ὁ ποιητὴς ἐνταῦθα εἰπὼν ῥοθίοισιν, ἵνα μήτις ἐπ᾽ ὠφελείᾳ νοήσῃ, οὐτιδανοῖς προςέθηκε. Ἄλλως. Ἐπειδὴ τὰ κύματα ἔσθ᾽ ὅτε ὠφέλειαν παρέχεται ταῖς πόλεσι· δι᾽ αὐτῶν γὰρ ὁ πλοῦς τὰ ἐπιτήδεια κομίζει· προςέθηκεν ἐπίτηδες τὸ οὐτιδανοῖς, οἷον ἀχρείοις. Τροπικῶς δὲ ῥόθια εἶπε τὰ συνεχῆ κινήματα τῶν πολεμίων. Ἄλλως. Ταῖς ὑβριστικαῖς κινήσεσι τῶν πολεμίων· Ἢ τούτους ῥόθια φησίν, ἐπειδὴ συντόνως πολεμοῦσι. Ἄλλως. Ὡς ἐπὶ ναυαγίοις.

γᾶς δόσις] B. σῖτος.

v. 348. δμωΐδες] B. ἐν γὰρ τῇ ἁλώσει οὐ μόνον γραῖαι γυναῖκες δουλείας ἀνάγκῃ φέρονται, ἀλλ᾽ ἴδοις ἂν καὶ νέας δούλας γενομένας, ἄρτι πρῶτον δυστυχησάσας τλήμονας καὶ ἀθλίας εἰς τὴν αὐτῶν εὐνὴν αἰχμάλωτον, ζώντων τῶν οἰκείων ἀνδρῶν καὶ ὁρώντων αὐτὰς ὑφ᾽ ἑτέρων εἰς μίξιν βιαζομένας, ἅτε δυνατωτέρων· καὶ οὕτω μὲν εἴποις λαμβάνων τὴν εἰς ἔξωθεν εἰς τὸ εὐνήν· ἑτέρως δὲ οὕτω, δοῦλαι δὲ εἰσὶ τότε νέαι γυναῖκες, ἐκ νέου δυστυχήσασαι τλήμονες καὶ ἀθλίαι, εὐτυχούντων τῶν οἰκείων ἀνδρῶν τὴν αὐτῶν εὐνὴν αἰχμάλωτον, τουτέστιν ὁρώντων αὐτὰς ὑπὸ τῶν πολεμίων πασχούσας ἄθεσμα καὶ οὐ δυναμένων ἀμύνειν, μεῖζον γὰρ αὐτῶν ἰσχύουσιν οὗτοι, ὃ καὶ κρεῖττον. Μὴ ξενισθῇς δέ, εἰ τὸ εὐτυχῆσαι ἐπὶ κακοῦ λαμβάνεις, δέον ἐπὶ καλοῦ, ὡς καὶ τὸ ὄνομα αὐτοῦ μαρτυρεῖ. Οὐ γὰρ μόνον εὐτυχῆσαι λέγομεν χρήματα, ἀλλὰ καὶ εὐτυχῆσαι ἵππου ἀπώλειαν οἱονεὶ κτήσασθαι· ἐστὶ δὲ ἡ τοιαύτη εὐτυχία οὐ κυρίως, ἀλλὰ παρακεκινδυνευμένη.

v. 349. εὐνὰν αἰχμάλωτον] A. μεταστᾶσαι εἰς δουλείαν, οἴσουσι τὴν τῶν πολεμίων εὐνήν.

v. 350. εὐτυχοῦντος] B. κτωμένου.

v. 351. ὑπερτέρου] B. κρείττονος.

v. 352. νύκτερον τέλος] B. ἤτοι δυστυχίαν περιφραστικῶς, ἥτις ἀμαυροῖ τοὺς ἔχοντας.

v. 353. ἐπιῤῥόθιον] B. αὐξητικόν.

v. 354. στρατοῦ] B. τῶν πολεμίων.

v. 355. πευθὼ] B. ἀγγελίαν.

v. 356. χνόας ποδῶν] A. μεταφορικῶς εἶπε τὰ ἄκρα τῶν ποδῶν. Ἄλλως. Τὸ συνεχὲς κίνημα τῶν ποδῶν παραβόλως χνόας εἶπεν· τὸ γὰρ ἄκρον τὸ ἐντιθέμενον τῇ χοινικίδι, χνόη καλεῖται.

διώκων] B. φέρων. πομπίμους] ὁδευτικάς. χνόας] τὰ ἄκρα, ἤτοι τοὺς πόδας.

v. 357. καὶ μὴν ἄναξ] A. καὶ μὴν αὐτὸς ὁ Ἐτεοκλῆς ἐπείγεται, ἀκουσόμενος τὰ παρὰ τοῦ ἀγγέλου λεγόμενα, ὡς ταῦτα ἀρτίως ἀκουσόμενος, ὥστε κολλῆσαι τῇ διανοίᾳ ἢ ταῖς ὠσίν, ἀκούσαντα.

v. 358. ἀρτίκολλον] A. ἐν συναφῇ ἁρμόδιον, ἢ τὸν ἀρτίως κολλώμενον.

εἰσ'] B. πορεύεται. ἀρτίκολλον] ποταπόν, ὁλόκληρον.

v. 359. σπουδὴ δὲ] A. ἔοικε δέ, φησί, καὶ ὁ ἄγγελος ἐκ τῆς ἄγαν ἐπιφαινομένης σπουδῆς μὴ ἡδρασμένον ἔχειν τὸν αὐτοῦ πόδα, ἀλλ' ἄστατον. Ἄλλως. Ἡ τούτου δὲ σπουδὴ οὔπω τέλος ἔχει, ἀλλ' ἐπείγεται· τὸ γὰρ ἀπηρτισμένον, καὶ τέλος ἔχει, μεθ' ὃ οὐκ ἄλλο πρακτέον.

οὐκ ἀπαρτίζει] B. ἄρτιον καὶ ὁλόκληρον ποιεῖ, καὶ εἰς τὸ καθεστηκὸς ἄγει.

v. 360. λέγοιμ' ἂν] A. ὁ ἄγγελος ὁ παρὰ τοῦ Ἐτεοκλέους ἀποσταλεὶς κατάσκοπος τῶν πολεμίων, ἐλθών, φησί, λέγοιμ' ἂν πάντα τὰ τῶν ἐναντίων, καλῶς ταῦτα γινώσκων, πῶς τε ἕκαστος ἔλαβε κλῆρον ἐν ταῖς πύλαις. Ἐπειδὴ γὰρ ἑπτάπυλος ἦν ἡ πόλις τῶν Θηβαίων, κλήρους ἔβαλλον οἱ πρώτιστοι τῶν ἄλλων στρατηγοὶ τῶν Ἀργείων, ποίαν ἂν πύλην λάβοι ἕκαστος. Ἰδὼν οὖν ἅπαντα ἔρχεται καὶ ἀπαγγέλλει ταῦτα, καὶ φησιν ὅτι ὁ Τυδεὺς ἄρτι μὲν βρέμει καὶ ἠχεῖ, καὶ ὀργίλον καὶ μανικὸν πνέει πρὸς ταῖς πύλαις ταῖς Προιτίσιν (αἱ γὰρ οὕτω καλούμεναι πύλαι ἔλαχον αὐτῷ) ὁ δὲ Ἀμφιάραος ὁ μάντις οὐκ ἀφίησιν αὐτὸν περᾶν τὸν Ἰσμηνὸν ποταμόν, λέγων ὅτι οὐ καλὰ θύματα γίνεται.

Ὁ δὲ Τυδεὺς μαινόμενός καὶ μάχης ἐπιθυμῶν, βοᾷ, καὶ μαίνεται, ὥσπερ ὁ δράκων τῷ τοῦ ἡλίου ὑπεκκαύματι, τότε γὰρ μάλιστα μαίνεται. Θένει δὲ καὶ τύπτει ἐν ὀνείδει, ἤτοι βάλλει ὀνειδισμοῖς, τὸν μάντιν Οἰκλείδην τὸν υἱὸν τοῦ Οἰκλέους τὸν Ἀμφιάραον.

v. 361. ὡς] B. καθά.

v. 362. Τυδεὺς] A. αἰδεσθεὶς τὰ Ὁμηρικὰ ἐγκώμια, πρῶτον αὐτὸν καταλέγει ὁ Αἰσχύλος. μεσημβριναῖς] τότε γὰρ μάλιστα μαίνεται.

Προιτίσι] B. ταῖς ἀπὸ Προίτου.

v. 363. βρέμει] B. μαίνεται, ὁρμᾷ.

v. 364. ὁ μάντις] B. Ἀμφιάρεως. σφάγια] τὰ θύματα.

v. 365. μαργῶν] B. μαινόμενος. λελιμμένος] ἐπιθυμῶν.

v. 366. μεσημβριναῖς] B. Φύσει γὰρ ψυχρὸς ὢν ὄφις ἐν μεσημβρίᾳ ἀκμάζοντος τοῦ ἡλίου θερμαινόμενος, εὐκίνητός ἐστι καὶ συριγμοῖς προσέχει. κλαγγαῖσιν] ἤχοις, ἐστὶ δὲ ποιὰ φωνὴ κυρίως ἐπὶ οἰστῶν καὶ ἐπὶ γεράνων λεγομένη ὡς Ὅμηρός φησι.

v. 367. θείνει] B. τύπτει. ὀνείδει] ἐν. Οἰκλείδην] τὸν υἱὸν τοῦ Οἰκλέους.

v. 368. σαίνειν] A. ἐκκλίνειν.

σαίνειν] B. εὐλαβεῖσθαι. ἀψυχίᾳ] δειλίᾳ.

v. 369. τοιαῦτ' αὐτῶν] A. τοιαῦτα φωνῶν σείει καὶ κινεῖ τρεῖς κατασκίους λόφους. Ἡ γὰρ τούτου περικεφαλαία τρεῖς λόφους ἦν ἔχουσα· χαίτωμα δὲ ταύτας εἴρηκε, διὰ τὸ δίκην χαίτης ἐπικαμπῶς ἵστασθαι ἄνωθεν, ἢ διὰ τὸ τρίχας ἐξ ἵππων χαίτης ἔχειν ἄνωθεν. Ἀπὸ δὲ τῆς ἀσπίδος τούτου οἱ κώδωνες οἱ χαλκήλατοι καὶ ἀπὸ τοῦ χαλκοῦ κατεσκευασμένοι κλάζουσι φόβον. τρεῖς κατασκίους] νεωτερικὸν τοῦτο.

αὐτῶν] B. κατὰ τοῦ μάντεως βοῶν. κατασκίους] σκιὰν ἔχοντας ἀπὸ τῆς ἐν αὐτοῖς οὔσης ἱππούρεως, ἣν καὶ

χαίτωμα καλεῖ, ἐπειδὴ καὶ κράνος εἶπε, χαίτη γὰρ τῆς κεφαλῆς ἡ θρίξ.

v. 370. ὑπ' ἀσπίδος] B. ὑποκάτω.

v. 371. κλάζουσι] B. ἐκπέμπουσιν, ἠχοῦσιν.

v. 372. ἔχει δ' ὑπέρφρον] A. ἔχει δὲ ἐπὶ τῆς ἀσπίδος ὑπέρφρον καὶ ὑπερήφανον σημεῖον τοῦτο, κατεσκευασμένον οὐρανὸν λάμποντα ἐν ἄστροις. Ἡ λαμπρὰ δὲ πανσέληνος ἡ οὖσα φέγγος τὸ τιμιώτατον τῶν ἄστρων, πρέπει ἐν μέσῳ τῷ σάκει, καὶ ἐν μέσῃ τῇ ἀσπίδι.

ὑπέρφρον] B. σοβαρόν. σῆμ'] σημεῖον. Ἰστέον ὅτι ὁ Τυδεὺς ὑποκάτω μὲν τῆς ἀσπίδος κώδωνας εἶχε προσπεπηγμένους, ἵν' ὄχλον παρέχῃ, καὶ φοβερὸς δοκῇ τοῖς ἀκούουσιν. Ἐπάνω δέ τοι, οὗ ἦν τὸ σημεῖον, ἡ μὲν ἐπιφάνεια πᾶσα μέλαινα ἦν, εἶτα κατεσκεύασεν ἐν ἐπιχρύσῳ χαλκῷ πέριξ μὲν ἀντ' οὐρανοῦ ἐντὸς δίκην ἄστρων φολίδας διεσταμένας ἀπ' ἀλλήλων, ἐν δὲ τῷ ὀμφαλῷ φολίδα ἑτέραν εὐρεῖαν ἐν ὁμοιώματι σελήνης ὁλοτελοῦς· προσβαλόντος δὲ τοῦ ἡλίου τῷ τοιαύτῳ ἐπιχρύσῳ χαλκῷ, αἴγλη τις ἐντεῦθεν ἀπήντα τοῖς ὁρῶσι καὶ οὐ προσβλέπειν ἠδύναντο· ὅτι δὲ ἦν πᾶσα ἡ ἐπιφάνεια μέλαινα, δῆλον ἐκ τοῦ, Καὶ νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος.

v. 373. φλέγονθ'] B. ἐκλάμποντα. τετυγμένον] κατεσκευασμένον.

ἐν τῷ μέσῳ τῷ σάκους v. 374. ἐν μέσῳ σάκει] B. ἐν τῷ ὀμφαλῷ.

v. 375. πρέσβιστον ἄστρων] A. καὶ Πίνδαρος (Olymp. I. 6, fragm. p. 59. 60. ed. Heyne) ἄστρον τὸν ἥλιόν φησι. νυκτὸς ὀφθαλμὸς] ἑρμηνευτικόν ἐστι τοῦτο. Τῆς νυκτὸς γὰρ ὀφθαλμὸς ἡ σελήνη ἐστίν, ὥσπερ καὶ τῆς ἡμέρας ὁ ἥλιος.

πρέσβιστον] B. ὑπέρτατον. πρέπει] λάμπει.

v. 376. τοιαῦτ' ἀλύων] A. τοιαῦτα ἀλύων ταῖς ὑπερκόμποις καὶ κενοδόξοις σαγαῖς καὶ πανοπλίαις, βοᾷ παρὰ ταῖς χείλεσι τοῦ Ἰσμηνοῦ ποταμοῦ. Τὸ δὲ ἑξῆς, † οὕτως ἀσθμαίνει καὶ σπεύδει ὡς ἵππος πολεμιστής, σάλπιγγος ἀκούων, ἐπιθυμῶν πολέμου, ὅτε εἴργεται πρὸς τοῦ ἐπιβά-

† ὑπὸ χαλινοῦ

του· τὸ δὲ, ἵππος ὣς καταςθμαίνων μένει, ἀντίστροφή ἐστιν, ἀντὶ τοῦ ὡς ἵππος.

ἀλύων] B. ἀδημονῶν, δυςχεραίνων ὅτιπερ οὐκ ἐᾷ ὁ μάντις περᾶν. σαγαῖς] πανοπλίαις.

v. 378. καταςθμαίνων] B. καταφρυαττόμενος. μένει] ἐκδέχεται τὸν πόλεμον ὁ Τυδεύς.

v. 379. ὁρμαίνων] B. σφαδάζων. μένει] ἐκδέχεται.

v. 380. τίν' ἀντιτάξεις] A. ἀντὶ τοῦ, τίνα ὦ Ἐτεόκλεις, ἀντιπαρατάξεις καὶ ἀντιστήσεις τούτῳ ἀντίμαχον; τίς βέβαιος καὶ ἀξιόχρεως (τοῦτο γὰρ δηλοῖ τὸ Φερέγγυος) προΐστασθαι τῶν Προίτου πυλῶν, λυθέντων τῶν κλείθρων, ἤτοι ἀνοιχθέντων τῶν πυλῶν; ἢ τὸ Φερέγγυος, οὕτως ῥητέον τίνα ἀντιτάξεις τούτῳ ὥστε προΐστασθαι τῶν τοῦ Προίτου πυλῶν, λυθέντων τῶν κλείθρων, ἤτοι ἀνοιγεισῶν τῶν πυλῶν. Τὸ δὲ ἑξῆς, τίς Φερέγγυος, ἀντὶ τοῦ, τίς Φέρων τὸ ἵστασθαι αὐτοῦ πλησίον; γύη γὰρ λέγεται τὸ πλησίον.

ἀντιτάξεις] B. ἀντιθήσεις. τίς Προίτου πυλῶν] ἐντεῦθεν δείκνυσιν ὅτι εἰς ταύτην Τυδεὺς τέτακται.

v. 381. προςατεῖν] B. φυλάσσειν, ὑπερμαχεῖν. Φερέγγυος] ἀσφαλής, ἀξιόχρεως.

v. 382. κόσμον] B. διακόσμησιν, καθ' ὥπλισμ. τρέσαιμ'] δειλιάσαιμι.

v. 383. οὐδ' ἑλκοποιά] A. ταῦτα παρ' Ἀλκαίου εἴρηται. Οὐ τιτρώσκει τὰ ἐπίσημα ὅπλα, οὐδὲ αὐτὰ καθ' ἑαυτὰ δύναμιν ἔχει, εἰ μὴ ἄρα ὁ Φέρων αὐτὰ δύναμιν ἔχοι, καὶ γενναῖος ᾖ.

v. 384. δάκνουσι] B. λυποῦσι.

v. 385. καὶ νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος] A. κυρεῖν καὶ ὑπάρχειν, τάχα ἂν αὕτη ἡ νὺξ τινὶ γένοιτο. Οὕτως γὰρ εἰπεῖν ὤφειλεν· εἶπε δὲ, τάχα ἂν ἡ ἄνοια μάντις τινὶ γένοιτο· ἐπιφέρει δὲ ὥςπερ ἐξηγούμενος, εἰ γὰρ Φέροντι σῆμα τοῦτο τὸ ὑπέρκομπον, ἤτοι τῷ ἔχοντι ἐπὶ τῆς ἀσπίδος τὴν νύκτα ἐζωγραφημένην, ἐπ' ὀφθαλμοῖς πέσοι ἡ

χαίτωμα καλεῖ, ἐπειδὴ καὶ κράνος εἶπε, χαίτη γὰρ τῆς κεφαλῆς ἡ θρίξ.

v. 370. ὑπ' ἀσπίδος] B. ὑποκάτω.

v. 371. κλάζουσι] B. ἐκπέμπουσιν, ἠχοῦσιν.

v. 372. ἔχει δ' ὑπέρφρον] A. ἔχει δὲ ἐπὶ τῆς ἀσπίδος ὑπέρφρον καὶ ὑπερήφανον σημεῖον τοῦτο, κατεσκευασμένον οὐρανὸν λάμποντα ἐν ἄστροις. Ἡ λαμπρὰ δὲ πανσέληνος ἡ οὖσα φέγγος τὸ τιμιώτατον τῶν ἄστρων, πρέπει ἐν μέσῳ τῷ σάκει, καὶ ἐν μέσῃ τῇ ἀσπίδι.

ὑπέρφρον] B. σοβαρόν. σῆμ'] σημεῖον. Ἰστέον ὅτι ὁ Τυδεὺς ὑποκάτω μὲν τῆς ἀσπίδας κώδωνας εἶχε προσπεπηγμένους, ἵν' ὄχλον παρέχῃ, καὶ φοβερὸς δοκῇ τοῖς ἀκούουσιν. Ἐπάνω δέ τοι, οὗ ἦν τὸ σημεῖον, ἡ μὲν ἐπιφάνεια πᾶσα μέλαινα ἦν, εἶτα κατεσκεύασεν ἐν ἐπιχρύσῳ χαλκῷ πέριξ μὲν ἀντ' οὐρανοῦ ἐντὸς δίκην ἄστρων φωλίδας διεσταμένας ἀπ' ἀλλήλων, ἐν δὲ τῷ ὀμφαλῷ φωλίδα ἑτέραν εὐρεῖαν ἐν ὁμοιώματι σελήνης ὁλοτελοῦς· προσβαλόντος δὲ τοῦ ἡλίου τῷ τοιαύτῳ ἐπιχρύσῳ χαλκῷ, αἴγλη τις ἐντεῦθεν ἀπήντα τοῖς ὁρῶσι καὶ οὐ προσβλέπειν ἠδύναντο· ὅτι δὲ ἦν πᾶσα ἡ ἐπιφάνεια μέλαινα, δῆλον ἐκ τοῦ, Καὶ νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος.

v. 373. φλέγονθ'] B. ἐκλάμποντα. τετυγμένον] κατεσκευασμένον.

ἐν τῷ μέσῳ τοῦ σάκους v. 374. ἐν μέσῳ σάκει] B. ἐν τῷ ὀμφαλῷ.

v. 375. πρέσβιστον ἄστρων] A. καὶ Πίνδαρος (Olymp. I. 6. fragm. p. 59. 60. ed. Heyne) ἄστρον τὸν ἥλιόν φησι. νυκτὸς ὀφθαλμὸς] ἑφερμηνευτικόν ἐστι τοῦτο. Τῆς νυκτὸς γὰρ ὀφθαλμὸς ἡ σελήνη ἐστίν, ὥσπερ καὶ τῆς ἡμέρας ὁ ἥλιος.

πρέσβιστον] B. ὑπέρτατον. πρέπει] λάμπει.

v. 376. τοιαῦτ' ἀλύων] A. τοιαῦτα ἀλύων ταῖς ὑπερκόμποις καὶ κενοδόξοις σαγαῖς καὶ πανοπλίαις, βοᾷ παρὰ τοῖς χείλεσι τοῦ Ἰσμηνοῦ ποταμοῦ. Τὸ δὲ ἑξῆς, οὕτως ἀσθμαίνει καὶ σπεύδει ὡς ἵππος πολεμιστής, σάλπιγγος ἀκούων, ἐπιθυμῶν πολέμου, ὅτε εἴργεται πρὸς τοῦ ἐπιβά-

ἀποχαλιν

του· τὸ δὲ, ἵππος ὡς κατασθμαίνων, μένει, ἀντιστροφή ἐστιν, ἀντὶ τοῦ ὡς ἵππος.

ἀλύων] B. ἀδημονῶν, δυσχεραίνων ὅτιπερ οὐκ ἐᾷ ὁ μάντις περᾷν. σαγαῖς] πανοπλίαις.

v. 378. κατασθμαίνων] B. καταφρυαττόμενος. μένει] ἐκδέχεται τὸν πόλεμον ὁ Τυδεύς.

v. 379. ὁρμαίνων] B. σφαδάζων. μένει] ἐκδέχεται.

v. 380. τίν' ἀντιτάξεις] A. ἀντὶ τοῦ, τίνα ὦ Ἐτεόκλεις, ἀντιπαρατάξεις καὶ ἀντιστήσεις τούτῳ ἀντίμαχον; τίς βέβαιος καὶ ἀξιόχρεως (τοῦτο γὰρ δηλοῖ τὸ φερέγγυος) προΐστασθαι τῶν Προίτου πυλῶν, λυθέντων τῶν κλείθρων, ἤτοι ἀνοιχθέντων τῶν πυλῶν; ἢ τὸ φερέγγυος, οὕτως ῥητέον τίνα ἀντιτάξεις τούτῳ ὥστε προΐστασθαι τῶν τοῦ Προίτου πυλῶν, λυθέντων τῶν κλείθρων, ἤτοι ἀνοιγεισῶν τῶν πυλῶν. Τὸ δὲ ἑξῆς, τίς φερέγγυος, ἀντὶ τοῦ, τίς φέρων τὸ ἵστασθαι αὐτοῦ πλησίον; γύη γὰρ λέγεται τὸ πλησίον.

ἀντιτάξεις] B. ἀντιθήσεις. τίς Προίτου πυλῶν] ἐντεῦθεν δείκνυσιν ὅτι εἰς ταύτην Τυδεὺς τέτακται.

v. 381. προστατεῖν] B. φυλάσσειν, ὑπερμαχεῖν. φερέγγυος] ἀσφαλής, ἀξιόχρεως.

v. 382. κόσμον] B. διὰ κόσμησιν, καθ' ὅπλισιν. τρέσαιμ'] δειλιάσαιμι.

v. 383. οὐδ' ἑλκοποιά] A. ταῦτα παρ' Ἀλκαίου εἴρηται. Οὐ τιτρώσκει τὰ ἐπίσημα ὅπλα, οὐδὲ αὐτὰ καθ' ἑαυτὰ δύναμιν ἔχει, εἰ μὴ ἄρα ὁ φέρων αὐτὰ δύναμιν ἔχοι, καὶ γενναῖος ᾖ.

v. 384. δάκνουσι] B. λυποῦσι.

v. 385. καὶ νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος] A. κυρεῖν καὶ ὑπάρχειν, τάχα ἂν αὐτὴ ἡ νὺξ τινὶ γένοιτο. Οὕτως γὰρ εἰπεῖν ὤφειλεν· εἶπε δὲ, τάχα ἂν ἡ ἄνοια μάντις τινὶ γένοιτο· ἐπιφέρει δὲ ὥσπερ ἐξηγούμενος, εἰ γὰρ φέροντι σῆμα τοῦτο τὸ ὑπέρκομπον, ἤτοι τῷ ἔχοντι ἐπὶ τῆς ἀσπίδος τὴν νύκτα ἐζωγραφημένην, ἐπ' ὀφθαλμοῖς πέσοι ἡ

νὺξ (ἤγουν, ἐὰν καλυφθῇ τῇ νυκτὶ τοῦ θανάτου) γένοιτο ἂν τοῦτο τὸ σῆμα ἐπώνυμον τῇ αὐτοῦ ἀναιρέσει. Ἄλλως. Ὁ νοῦς, ταύτην δὲ ἣν λέγεις εἶναι νύκτα ἐπὶ τῆς ἀσπίδος, τάχα προμαντεύσεται τῷ φοροῦντι, ὅτι χωρήσει ὑπὸ νύκτα.

v. 386. μαρμαίρουσαν] B. ἐκλάμπουσαν. κυρεῖν] ὑπάρχειν.

v. 387. τάχ' ἂν γένοιτο] B. ἡ σύνταξις· τάχα ἂν καὶ ἴσως γένοιτο ἄν τινι ἤγουν τῷ Τυδεῖ ἡ ἄνοια μάντις, καὶ προμηνύτριά τινος κακοῦ, ἣν λέγεις νύκτα ὑπάρχειν ἐπὶ τῆς ἀσπίδος ἐν τοῖς ἄστροις τοῦ οὐρανοῦ ἐκλάμπουσαν, ταύτην γὰρ ἄνοιαν καλεῖ ὡς ἀπονενοημένην καὶ δίχα νοῦ ἐνσημανθεῖσαν.

v. 389. ὑπέρκομπον] B. σοβαρόν.

v. 391. κ' αὐτὸς καθ' αὑτοῦ] A. ὅτι φέρει ἐπὶ τῆς ἀσπίδος νύκτα καὶ τὴν πανσέληνον.

v. 392. κεδνὸν] B. συνετόν. Ὅρα ὡς εἰκότως αἱρεῖται τοὺς ἀντιπάλους Ἐτεοκλῆς, καὶ μᾶλλον ἐναντίους οἷς ὁ ἄγγελος περὶ τῶν Ἀργείων διέξεισιν. Ὁ μὲν γὰρ ὑπέρφρονας αὐτοὺς καὶ τὰ μεγάλα φυσῶντας ὑπ' ἀνοίας φησὶν, Ἐτεοκλῆς δὲ σώφρονας αὐτοῖς καὶ συνετοὺς ἀντιτάττει.

v. 393. τόνδ' ἀντιτάξω] A. καλῶς ἀντέταξε τὸν μὴ τοῖς ἤθεσιν αὐτοῦ συμφωνοῦντα, ἀλλ' ἐναντίον. Αἰσχύνης δὲ θρόνον αὐτὴν τὴν αἰδῶ ὀνομάζει. ὑπέρφρονας δὲ λόγους τοὺς ὑπερηφάνους φησίν. Οἷον, οὔτε ὑπερήφανα λέγει ὡς ὁ Τυδεὺς, ἀλλὰ καὶ μισεῖ τοὺς ὑπερηφάνους.

προστατεῖν] B. προστάτην.

v. 394. μάλ' εὐγενῆ] B. οὐκ ἐθέλοντα ὑπὲρ ἄνθρωπον φρονεῖν. τὸν αἰσχύνης θρόνον τιμῶντα] ἵνα μὴ περιπέσῃ αἰσχύνῃ καταγωνισθείς.

v. 396. αἰσχρῶν γὰρ ἀργὸς] A. ἀργός ἐστι τῶν κακῶν λόγων, ἢ τῶν ἔργων. Φιλεῖ δὲ τὸ μὴ εἶναι κακός, ἢ τῷ τρόπῳ, ἢ ὡς Ὅμηρος, ἀντὶ τοῦ δειλός.

ἀργὸς] B. ἀμέτοχος. κακὸς] δειλός.

v. 398. κάρτα δ' ἐστ' ἐγχώριος] A. γνήσιος πολίτης ἐκ τῶν σπαρτῶν, οὐ τῶν μετὰ Κάδμου ἐπηλύδων.

ἀνεῖται] B. ἀνέφυσεν, ἀνεβλάστησε, ἢ καταλέλειπται.

v. 399. ἔργον δ' ἐν] A. ἐν τοῖς τοῦ Ἄρεως κύβοις κρινεῖ αὐτοὺς ὁ πόλεμος.

ἐν κύβοις] B. ἐν τοῖς ἀγῶσιν τοὺς κύβους καλεῖ, διὰ τὸ τῆς νίκης ἀμφίβολον.

v. 400. δίκη δ' ὁμαίμων] A. τὸ τῆς συγγενείας δίκαιον στέλλει αὐτὸν ἐς τὴν μάχην.

ὁμαίμων] B. γράφεται καὶ ὁ δαίμων καὶ ὁμαίμων, καὶ πρὸς μὲν τὸ ὁμαίμων οὕτως ἐρεῖς, προπέμπει αὐτὸν δίκη ὁμαίμων, τουτέστιν, ἐπειδὴ ὑπὲρ τῆς ἐνεγκούσης στρατεύει, οἰκείως καὶ δικαίως στρατεύει· τὸ δὲ δαίμων πρόφανές ἐστιν, ὁ δαίμων γὰρ καὶ ἡ τύχη προπέμπει αὐτὸν ἐν δίκῃ, ἢ ἡ Δίκη ἡ θεά. νιν] αὐτόν. προστέλλεται] προπέμπει.

v. 401. τεκούσῃ] B. μὴ εἴποις τὸ τεκούσῃ ἀντὶ τοῦ τῆς τεκούσης, ἀλλ' ὥσπερ φαμὲν ἀφαιρῶ σοι τόδε, οὕτω καὶ εἴργω σοι τόδε.

v. 402. ἀμὸν] B. ἐμόν.

v. 403. ὡς δικαίως πόλεως] A. ὅτι δικαίως προμάχεται τῆς πόλεως.

ὡς] B. ὅτι.

v. 405. ὑπὲρ φίλων ὀλομένων] A. ἢ ὑπὲρ περισσοῦ.

v. 407. οὕτως] B. ὡς εὔχῃ.

v. 408. Ἠλεκτραῖσιν] B. ταῖς ἀπὸ Ἠλέκτρας καλουμέναις. εἴληχε] διὰ κλήρου τέτακται.

v. 409. γίγας ὅδ' ἄλλος] A. Καπανέα ἐγκωμιάζων καὶ τὸ μέγεθος αὐτοῦ, φησί, γίγας ὅδ' ἄλλος. φαίνεται οὖν ὅτι ἐνέλιπεν ἐν τοῖς περὶ Τυδέως εἰπεῖν ὅτι γίγας ἐστὶν ἢ γίγασιν ὅμοιος. τοῦ πάρος λελεγμένου] τοῦ Τυδέως. Ὅμηρος, (Il. v. 801.) Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής.

v. 410. ὁ κόμπος] B. αὐτοῦ.

v. 411. κράνοι] B. τελειώσει.

v. 413. οὐδέ τὴν Διὸς Ἔριν] A. ἤτοι οὐδὲ τὴν ὀργὴν καὶ τὸν θυμὸν τοῦ Διὸς τῇ γῇ ἐπελθόντα φησὶν ἐμποδὼν σχέθειν, καὶ κρατήσειν, ἤτοι ποιήσειν αὐτὸν μακρὰν τῆς πόλεως. Ἄλλως. Οὐδὲ τὸν τοῦ Διὸς σκηπτὸν εἰς γῆν κατενεχθέντα, ἢ αὐτοῦ τοῦ Διὸς φιλονεικήσαντος, ἐμποδὼν γενήσεσθαι αὐτῷ, λέγει.

οὐδὲ τὴν Διὸς Ἔριν] B. τὸ οὐδὲ τὴν Διὸς Ἔριν διπλῶς νόει, ἢ τὴν θεὰν Ἔριν τὴν θυγατέρα Διός, ἢ ἀντὶ τοῦ οὐδὲ τὸ Δία αὐτὸν ἐλθόντα ἐξ οὐρανοῦ, καὶ ἐρίσαντα αὐτῷ δυνηθῆναι κωλύσαι αὐτὸν μὴ πορθῆσαι τὴν πόλιν.

v. 414. σκήψασαν] B. ἐπελθοῦσαν. ἐμποδὼν σχέθειν] κωλύσειν αὐτὸν τῆς πορθήσεως.

v. 415. τὰς δ' ἀστραπάς] A. τὰς δ' ἀστραπάς τε καὶ τὰς κεραυνίας βολὰς τοῦ Διὸς παρείκασε καὶ ὡμοίωσε μεσημβρινοῖς θάλπεσιν, ἤτοι, ἔφησε δύνασθαι φέρειν καὶ ὑπομένειν τὰς τοῦ Διὸς ἀστραπὰς καὶ τοὺς κεραυνούς, ὥσπερ τὰς μεσημβρινὰς τοῦ ἡλίου φοράς, ἤτοι τὰ μεγάλα καὶ καυστικὰ καύματα.

ἀστραπάς] B. αἷς ὁ Ζεὺς πρὸς τοὺς ἀσεβεῖς καὶ ὑπέρφρονας χρῆται.

v. 416. προσείκασεν] B. προσωμοίωσεν.

v. 417. ἔχει δὲ σῆμα] A. ἡ δὲ ἀσπὶς αὐτοῦ σημεῖον ἔχει ἄνδρα γυμνὸν λαμπάδα βαστάζοντα ἐν ταῖς χερσὶν αὐτοῦ ἀνθ' ὅπλου, καὶ φωνοῦντα διὰ τῶν ἐν αὐτῷ κεχρυσωμένων γραμμάτων, πρήσω τὴν πόλιν. Ἄλλως. Ἔχει δὲ ἐν τῇ ἀσπίδι αὐτοῦ ἐζωγραφημένον ἄνδρα γυμνόν, κατέχοντα τῇ χειρί λαμπάδα ἀναπτομένην. Οὐκ ἄλλο τὶ δηλοῦντος τοῦ σημείου; ἀλλ' ἢ ὥσπερ ὁ γυμνὸς κώλυσιν οὐκ ἔχει εἰς τὸ δραμεῖν, οὕτω καὶ ἡμεῖς ἀκώλυτοι καὶ χωρὶς ἐμποδίου ταύτην ἀναπρήσομεν, ἢ γυμνὴν αὐτὴν παντελῶς ἐργασόμεθα, ἔπειτα δὲ καὶ καύσομεν.

v. 418. διὰ χερῶν] B. τοῦ ἐν τῇ ἀσπίδι ἀνδρός. ὡπλισμένη] ὡς ὅπλον κρατουμένη.

v. 420. ξυστήσεται] B. συμπαραταξεται.

v. 421. τρέσας] B. δειλιάσας.

v. 422. καὶ τῷδε κέρδει] A. εἰπόντος τοῦ ἀγγέλου πρὸς τὸν Ἐτεοκλῆν, τίς τῷ τοιούτῳ ἀνδρὶ ξυστήσεται, ἢ τίς ἀντιμαχόμενος ἔσται αὐτῷ καὶ ἀντιπαλαμώμενος; τίς ὑπομενεῖ, μὴ πτοηθείς, ἄνδρα ὑπέρκομπον; (λέγει δὲ τὸν Καπανέα) Φησὶν ὁ Ἐτεοκλῆς πρὸς αὐτόν, ὅτι σὺν τῷδε τῷ κέρδει καὶ ἄλλο κέρδος τίκτεται. Τοῦτ᾽ ἔστι, καὶ σὺν τῷ ἔχειν ἄνδρα ἱκανὸν πρὸς πόλεμον αὐτῷ συστῆναι καὶ τῇ μάχῃ ἀντιπαλαμήσασθαι, καὶ πόλεμον ἐπίσης αὐτῷ προσαγαγεῖν, ἔχομεν τι καὶ ἕτερον κέρδος, δηλαδὴ τὸ νικῆσαι. Ἄλλως. Πρὸς τῷ μεῖναι καὶ νικῆσαι· τοῦτο γάρ ἐστι κέρδει κέρδος.

τῷδε κέρδει] B. τῷ ἀντιστάτην ἔχειν ἱκανόν. κέρδος ἄλλο] τὸ εἶναι αὐτὸν μεγάλαυχον καὶ θεῶν ὑπέρφρονα.

v. 423. τῶν τοι ματαίων] A. ἡ γλῶσσά ἐστιν ἀληθὴς διδάσκαλος τῶν ἐν ἀνθρώποις ματαίων φρονημάτων. Θεατρίζει γὰρ οἷα ἕκαστος φρονεῖ. Εἰ μὲν συνετὸς καὶ ταπεινός ἐστι, συνετὰ καὶ ταπεινὰ φθέγγεται. Εἰ δὲ μωρὸς καὶ ὑπέρκομπος, μωρὰ πάλιν καὶ ἐπηρμένα βοᾷ.

v. 424. ἡ γλῶσσ᾽] B. ἐπειδὴ γὰρ διὰ τῆς γλώττης τὰ κομπάσματα φέρεται, κατήγορον αὐτὴν τούτων γίνεσθαι φησί, τουτέστιν, οἱ κομπάζοντες δυστυχίᾳ περιπίπτοντες ὕστερον αὐτοὶ ὑπ᾽ αὐτῶν ἐξελέγχονται, ἐπὶ κακῷ σφίσιν ἀποβάντος τοῦ κόμπου.

v. 425. Καπανεὺς δ᾽ ἀπειλεῖ] A. ὁ Καπανεὺς δὲ ὡπλισμένος ἀπειλεῖ κακὰ ποιεῖν εἰς ἡμᾶς, τοὺς θεοὺς ἀτιμάζων, καὶ τὸ στόμα μὴ κατέχων καὶ παιδεύων, ἄνθρωπος ὢν φθαρτός, πέμπει εἰς οὐρανὸν τῷ Διὶ ἔπη ταραχώδη, ἤγουν ὑβρίζει τὸν θεὸν τὸν Δία, ἐν χαρᾷ ματαίᾳ καὶ ψευδεῖ· οὐ γὰρ οἶδεν ὅπως αὐτῷ τὰ κατὰ τὸν πόλεμον ἀποβήσεται. Θαῤῥῶ δὲ αὐτῷ ἐπελθεῖν τὸν καυστικὸν κεραυνόν, κατ᾽ οὐδὲν ἴσον τοῖς μεσημβρινοῖς τοῦ ἡλίου θάλπεσιν, ἀλλὰ φλέγοντα καὶ ἀπολλύοντα· ὅπερ ἐγένετο.

δρᾷν] B. ἡμᾶς κακά. παρεσκευασμένος] ηὐτρεπισμένος.

v. 426. ἀτίζων] B. ἀτιμάζων. ἀπογυμνάζων] ἀναιδῶς ἀποκαλύπτων καὶ διανοίγων.

v. 427. ματαίᾳ] B. ἀνωφελεῖ.

v. 428. κυμαίνοντ'] B. θρασέα, βλάσφημα.

v. 429. ξὺν δίκῃ] B. δικαίως.

v. 430. ἐξεικασμένων] B. ὡμοιωμένον ὡς αὐτός φησι.

v. 432. ἀνὴρ δ' ἐπ' αὐτῷ] A. ἐπ' αὐτῷ δὲ τῷ Καπανεῖ, εἰ καὶ φλύαρος καὶ ὑπέρκομπος ἄγαν ἐστίν, τέτακται ἀνήρ, αἴθων δηλαδή. Τοῦτο τὸ αἴθων οἱ μὲν διὰ τοῦ ω μεγάλου γράφουσι, καὶ συντάσσουσιν οὕτως, ἀνὴρ ἐπ' αὐτῷ αἴθων καὶ πρόθυμος καὶ διάπυρος τέτακται ἐν βίᾳ, ἤτοι ἐν δυνάμει, λῆμα Πολυφόντου, περιφραστικῶς ὁ Πολυφόντης. Οἱ δὲ διὰ τοῦ ο μικροῦ, καὶ συντάσσουσιν οὕτως, ἀνὴρ δ' ἐπ' αὐτῷ τέτακται, αἶθον λῆμα, ἤτοι φρόνημα δραστήριον καὶ διάπυρον καὶ τὰ πολεμικὰ ἐμπειρότατον, Πολυφόντου βία, ἤτοι περιφραστικῶς ὁ Πολυφόντης, ὡς τὸ Ἡρακλείη βίη, Ἡρακλῆς. Ἄλλως. Ἀντὶ τοῦ, εἰ καὶ ἄγαν ἐστὶ μανιώδης τὸν λόγον ὁ Καπανεύς, ἀλλ' ὅμως ἀντιτέτακται καὶ ἀνθέστηκεν αὐτῷ ἀκίνητος τῷ παραστήματι ἡ δύναμις τοῦ Πολυφόντου, μηδὲν δεδοικυῖα.

ταχὺς μετὰ λαλεῖν· στόμαργος] B. φλύαρος.

v. 433. αἴθων] B. διάπυρος.

v. 434. φερέγγυον φρούρημα] A. ἱκανὸς φρουρεῖν τὴν πατρίδα. ἀξιόμαχ' πρὸς φυλακήν·

φερέγγυον] B. ἀσφαλές, πιστότατον. προστατηρίας Ἀρτέμιδος] ὅτι ἐν ταῖς πύλαις αἷς ὑπερμαχεῖν ἔμελλεν ἡ Ἄρτεμις ἦν, καὶ τούτων προστάτις ἐγέγραπτο, ἢ ἱερεὺς ἦν αὐτῆς.

v. 435. Ἀρτέμιδος εὐνοίαισι] A. ὡς τοῦ Πολυφόντου ἱερέως ὄντος τῆς Ἀρτέμιδος. Ἀφιέρωται δὲ τῇ Ἀρτέμιδι ἡ τῶν Θηβαίων πόλις· διὰ τοῦτο οὖν οὕτως λέγει, εὐνοίαις τῆς Ἀρτέμιδος καὶ τῶν ἄλλων πολιούχων θεῶν.

εὐνοίαισι] B. ἐν ταῖς ἀγάπαις.

v. 437. ὄλοιθ' ὃς πόλει] A. ὁ χορὸς εὐχόμενός φησιν, εἴθε ὄλοιτο ὃς μεγάλως ἐγκαυχᾶται κατὰ τῆς πόλεως ἡμῶν. Βέλος δὲ τοῦ κεραυνοῦ ἐπισχέθοι καὶ κρατοῖ αὐτόν, πρὶν ἐς τὸν ἐμὸν οἶκον θορεῖν καὶ πηδᾶν καὶ ὁρμᾶν, ἐκ τῶν πωλικῶν τε καὶ παρθενικῶν ἑδωλίων καὶ καθεδρῶν (πώλοις γὰρ αἱ παρθένοι εἰκάζονται) ἐκπορθῆσαι καὶ ἐξαρπάσαι ἐμέ.

μεγάλ'] B. κακὰ δηλονότι.

v. 438. ἐπισχέθοι] B. κωλύσει τῆς ὁρμῆς.

v. 439. ἐσθορεῖν] B. εἰσπηδῆσαι. πωλικῶν θ' ἑδωλίων] παρθενικῶν καθεδρῶν.

v. 441. ποτ'] B. ἄρα. ἐκλαπάξαι] ἡμᾶς.

v. 442. καὶ μὴν τὸν ἐντεῦθεν] A. εἰπόντος τοῦ Ἐτεοκλέους, λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα, φησὶν ὁ ἄγγελος, καὶ δὴ λέξω τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις. Τρίτῳ γὰρ Ἐτέοκλῳ τρίτος ἐξῆλθε κλῆρος, προσβαλεῖν λόχον καὶ ἐνέδραν καὶ φυλακὴν ἐν ταῖς πύλαις ταῖς καλουμέναις Νηΐτισιν. Ἐξῆλθε δὲ ὁ κλῆρος ἐκ τοῦ καλῶς κεχαλκευμένου κράνους (ἤτοι περικεφαλαίας) τοῦ ὑπτίου, ἤγουν τοῦ ἀνατετραμμένου. Ἄλλως. Ἐξῆλθεν ὁ κλῆρος ἀπὸ τοῦ κράνους, ἐν ᾧ περιστρέψαντες ἐκλήρουν. τὸν ἀπὸ τοῦτ' κ... [handwritten margin note]

τὸν ἐντεῦθεν] B. τὸν μετ' ἐκεῖνον ὃν ἔφη.

v. 443. τρίτῳ γὰρ] B. ἔθος γὰρ τοῖς μέλλουσι κλήρους ποιεῖν, κράνος λαμβάνειν, καὶ ἐντὸς καθιέναι σημεῖα αὐτῶν, οἷον δακτύλια, καὶ ἄλλό τι τοιοῦτον δυνάμενον ἐκπηδῆσαι κούφως τοῦ κράνους, εἶτα τούτου κυκωμένου ὅτου πρῶτον τὸ σημεῖον ἐξήρχετο, ἐτέτακτο οὗτος εἰς ἔργον, δι' ὃ ταῦτ' ἐγίνετο.

v. 445. Νηΐτισι] B. ταῖς ἀπὸ Νηΐδος. πρὸσβαλεῖν] προσάξειν.

v. 446. ἵππους δ' ἐν ἀμπυκτῆρσιν] A. οἱ κορυφιστῆρες, τὰ προμετωπίδια κυρίως. Νῦν δὲ λέγει τοῖς χαλινοῖς· ἵν' ᾖ, τοὺς ἵππους θυμοῦ πλήρεις περὶ τοὺς χαλινοὺς ἀνακάμπτειν καὶ περιάγειν, ἤδη βουλομένους εἶναι πρὸς ταῖς πύλαις.

ἐν ἀμπυκτῆρσιν] B. χαλινοῖς. κυρίως οἱ περὶ τὴν κεφαλὴν ἱμάντες τοῦ χαλινοῦ ἄμπυξ καλοῦνται. ἐμβριμωμένας] θυμὸν πνεούσας καὶ φρυαττούσας.

v. 448. βάρβαρον τρόπον] A. ἀπηνῆ ἦχον. Ἢ ὡσεὶ σύριγξ βοᾷ.

φιμοὶ] B. οἱ πρὸς τοῖς ῥώθωσι τοῦ ἵππου σιδηρέαι τῶν χαλινῶν περιφέρειαι ὥσπερ κώδωνας εἶχον κενούς, εἰς οὓς ἐκ τῶν μυκτήρων εἰσιὸν πνεῦμα ἦχον ἀπετέλει. Ἐποίουν δὲ τοῦτο οἱ βάρβαροι, ἐμιμοῦντο δέ τινες τῶν Ἑλλήνων, ὥσπερ καὶ ὁ Ἐτεοκλῆς οὗτος.

v. 449. μυκτηροκόμποις πνεύμασι] B. τοῖς ἐκ τῶν μυκτήρων σφοδρῶς ἐκπνεομένοις.

v. 450. ἐσχημάτισται] B. τετύπωται. οὐ μικρὸν] ταπεινὸν καὶ φαῦλον.

v. 452. πρὸς ἐχθρῶν πύργον] A. οὐκ εἶπε πρὸς ποῖον πύργον. Μεγάλως οὖν φησὶ πρὸς πάντα πύργον.

v. 453. χ' οὗτος] B. ὥσπερ ὁ τοῦ Καπανέως.

v. 455. φερέγγυον] B. ἱκανότατον.

v. 457. τόνδε] B. ὃν μέλλω εἰπεῖν. τῷ] τινὶ πεμφθήσεται.

v. 458. οὐ κόμπον ἐν χεροῖν ἔχων] B. οὐκ ἀσπίδα κομπασμάτων πλήρη φέρων.

v. 460. μάργων] B. μανικῶν.

v. 462. τροφεῖα] B. τὰ ὀφειλόμενα τοῖς τροφεῦσι γέρα. πληρώσει] τελέσει.

v. 463. καὶ πόλισμ' ἐπ' ἀσπίδος] A. τὸν φέροντα τὴν ἀσπίδα καὶ τὸ ἐγγεγραμμένον τῇ ἀσπίδι πόλισμα. δύ' ἄνδρε] B. τὸν ἐν ἀσπίδι, καὶ τὸν φέροντα ταύτην.

v. 464. ἑλὼν] B. κρατήσει.

v. 465. κόμπαζ' ἐπ'] A. λέγε ἄλλον κομπώδη, καὶ μηδὲν ἀποκρύφῃ με τῶν ἄλλων ἀλαζονειῶν.

v. 466. ἐπεύχομαι] A. ἐπεύχομαι δὴ καὶ ταῦτα μὲν εὐτυχεῖν, ὦ πρόμαχε τῶν ἐμῶν δόμων, ὦ προπολεμῶν τῆς οἰκίας ἡμῶν, τοῖσι δέ, ἤγουν τοῖς πολεμίοις, ἐπεύχομαι δυσ-

τυχεῖν. Ὥσπερ δὲ ὑπέραυχα καὶ ὑπέρογκα καὶ κενόδοξα λέγουσιν ἐπὶ τῇ ἡμετέρᾳ πόλει, τῶς νιν, οὕτως αὐτοὺς ἐπίδοι ὁ πάντα διανέμων καὶ διοικῶν, κοταίνων καὶ ὀργιζόμενος κατ' αὐτῶν.

τῶδε] B. τῷ ἡμετέρῳ.

v. 467. πρόμαχ'] B. Ἐτέοκλες. τοῖσι] τοῖς πολεμίοις.

v. 468. ὑπέραυχα] B. ὑπέρκομπα. βάζουσι] βοῶσιν, ἀπειλῶσιν· εἰπὼν πρόσθεν πληθυντικῶς βάζουσιν εἶτα ἐπήνεγκε ἑνικὸν τὸ νίν. Εἰσὶ δὲ οἱ φασὶν καὶ τὸ νὶν ἀντὶ τοῦ αὐτούς.

v. 469. νιν] B. αὐτόν.

v. 470. νεμέτωρ] B. ὁ πάντα διοικῶν, ἢ ὁ μεμφόμενος τοῖς ὑπερφροσιν, ἢ ὁ πάντων πάροχος.

v. 471. τέταρτος ἄλλος, γείτονας πύλας ἔχων] A. ἤτοι πλησίον, οὔσας τῶν ὧν εἶπον ἄνωθεν. Γείτονας οὖν πύλας τὰς τῆς Ἀθηνᾶς φησὶν Ὀγκαίας, ἀφ' ἧς καὶ αἱ πύλαι αὗται Ὀγκαῖαι ἐλέγοντο. Ἄνωθεν γὰρ τῶν πυλῶν ἐκεῖσε ἡ Ἀθηνᾶ ἐγέγραπτο. Σημείωσαι δὲ ὅτι ἐξ ἱστορίας τοιαύτης Ὄγκα ἡ Ἀθηνᾶ παρὰ Θηβαίοις ἐλέγετο. Ἀγήνωρ ὁ Τύριος ἔσχε παῖδας τρεῖς, Εὐρώπην, Κάδμον, καὶ Κίλικα. Τῆς δὲ Εὐρώπης ὑπὸ τοῦ Διὸς ἁρπασθείσης, ἀπέστειλεν ὁ Ἀγήνωρ τοὺς παῖδας αὐτοῦ εἰς ζήτησιν αὐτῆς· καὶ εἰ μὴ εὕροιεν, προσέταξε μὴ ἐπανήκειν. Ὁ οὖν Κάδμος ἐλθὼν εἰς Ἑλλάδα, καὶ μὴ εὑρὼν τὴν Εὐρώπην, εἰς Δελφοὺς ἦλθεν, ἐρωτήσων τὸν Ἀπόλλωνα ποῦ κατασταίη. Ὁ δὲ θεὸς εἶπεν αὐτῷ, μετὰ τὸ ἐξελθεῖν τοῦ ἱεροῦ, τῷ εὑρεθέντι ἀκολουθεῖν. Εὑρέθη βοῦς· ἠκολούθει οὖν αὐτῇ. Ἦλθεν εἰς Θήβας, ὥλισθεν ἡ βοῦς, καὶ ὁ Κάδμος ἐκεῖ ᾤκησεν καὶ ἔθυσε τὴν βοῦν Ἀθηνᾷ, καὶ τῇ Αἰγυπτίᾳ φωνῇ ταύτην ἐτίμησεν ἐκεῖ. Ὅθεν οὕτως καὶ αἱ πύλαι ὠνομάσθησαν. Ἀπὸ δὲ Κίλικος τοῦ Κάδμου ἀδελφοῦ, Κιλικία ἡ χώρα.

γείτονας] B. ταῖς Νηΐτισι.

v. 473. Ἱππωμέδοντος σχῆμα] A. περιφραστικῶς ὁ Ἱππωμέδων, μέγας ὢν καὶ κάλλιστον ἔχων σχῆμα.

σχῆμα καὶ μέγας τύπος] B. τὸ σχῆμα καὶ ὁ τύπος ἐκ παραλλήλου. μέγας] Φοβερός.

v. 474. ἅλω δὲ πολλὴν] A. ἅλως ἐστὶ κυρίως, ὅταν νέφη περὶ τὸν ἥλιον ἐκκαυθέντα λευκὰ φαίνηται, καὶ ὡς ἐν κύκλῳ τοῦ ἡλίου γένηται. Νῦν δὲ λέγει τὸν ῥοῖζον καὶ τὴν συνεχῆ κίνησιν τῆς ἀσπίδος. Φησὶν οὖν, δινήσαντος, ἤγουν κινήσαντος ταύτην τοῦ Ἱππομέδοντος, ἔφριξα καὶ οὐ ψευδῆ λέγω.

v. 475. οὐκ ἄλλως] B. παρ' ἃ εἶδον.

v. 476. ὁ σηματουργὸς δ' οὔ τις] A. ὁ δὲ ποιήσας τὴν ἀσπίδα, καὶ σημεῖα ἐγγράψας αὐτῇ, οὐκ ἦν, ὡς ἔοικεν, εὐτελής. Ὅστις ὤπασεν ἐπὶ τῆς ἀσπίδος τοῦτο τὸ ἔργον· ἤτοι παρέσχε καὶ ἱστόρησεν ἐπὶ τῆς ἀσπίδος. Τοῦτ' ἔστι Τυφῶνα ἀφιέντα ἀπὸ τοῦ στόματος καπνὸν μέλανα, τὸν τοῦ πυρὸς ἀδελφόν. Τὸ γὰρ πῦρ καὶ καπνὸς ἀδελφοί εἰσιν, ἐκ τῆς αὐτῆς ὕλης τικτόμενοι. Αἰόλην δέ, τὴν εὐκίνητον καὶ ταχεῖαν λέγει, καὶ ἑλισσομένην συχνῶς.

σηματουργὸς] B. σημείων ἐργάτης. εὐτελὴς] Φαῦλος.

v. 477. ὤπασε] B. ἐτύπωσε.

v. 478. ἱέντα] B. πέμποντα.

v. 479. λιγνὺν] B. καπνόν. Καπνὸς ἀπὸ ξύλου, ἀτμὸς ἀπὸ ὕδατος, αἰθάλη ἀπὸ λίθων, βδῆλος ἀπὸ λύχνων, λιγνὺς ἀπὸ ἐλαίου καὶ κηροῦ, κνίσσα δὲ ἀπὸ κρεῶν. αἰόλην] ποικίλην. πυρὸς κάσιν] ὁ γὰρ καπνὸς ἕπεται τῷ πυρὶ φυσικῶς.

v. 480. ὄφεων δὲ πλεκτάναισι] A. τὸ κύτος δέ, φησί, στρογγύλον τοῦ κύκλου δηλαδὴ τῆς ἀσπίδος τῆς κοιλογάστορος (ὅλη γάρ τις περιφερὴς προσυπεμφαίνεται) προσηδάφισται καὶ προσπέπλεκται πλεκτάναις τῶν ὄφεων. Ἤτοι ἡ ἀσπὶς κύκλωθεν ἔχει ἐζωγραφημένους ὄφεις περιπεπλεγμένους. περίδρομον κύτος] τὸ χώρημα τῆς ἀσπίδος. Ἡ δὲ περιφέρεια τῆς ἀσπίδος κύκλῳ ὄφεων εἰς ἑαυτοὺς ἄντικρυς ὁρώντων καὶ ἐμπεπλεγμένων τὰ τέλη ἔχει ἐγγεγραμμένα, πρὸς τὰ τέλη ἡ ἀσπὶς ἡ κοίλη, πρὸς τῇ γαστρὶ τοῦ κατέχοντος αὐτὴν οὖσα.

περίδρομον] B. ἐν κύκλῳ. κύτος] τὸ πλάτος.

v. 481. προσηδάφισται] B. ὑπέστρωται.

v. 482. ἔνθεος δὲ Ἄρην βακχᾷ] A. βακχᾷ δὲ καὶ ἐνθουσιᾷ καὶ ὁρμᾷ πρὸς τὸν πόλεμον ἔνθεος καὶ ὁρμητικὸς καὶ πηδητικὸς πρὸς τὴν ἀλκὴν ὡς θυὰς ἤτοι βάκχη τίς, φόβον βλέπων, ἤτοι ἐκπληκτικῶς καὶ φοβερῶς. Γράφεται δὲ καὶ βάκχα, καὶ συντάσσεται οὕτως, ἔνθεος δὲ καὶ ὁρμητικός ἐστιν ὁ Τυφὼς πρὸς τὸν Ἄρην, ὥσπέρ τις βάκχα θυὰς καὶ μαινομένη.

ἔνθεος] B. κάτοχος καὶ ἐξεστηκώς. ἐμμανής

v. 483. βακχᾷ] B. μαίνεται. ἀλκὴν] πόλεμον. θυὰς] μαινὰς Διονυσιακή. φόβον βλέπων] ἤγουν ἐκ μόνης τῆς θέας φόβον ἐμβάλλων.

v. 484. πεῖραν] B. ἔντευξιν. εὖ φυλακτέον] ἄξιός ἐστι φυλάξασθαι καὶ σκοπῆσαι ἵνα ἀρκοῦντα τίνα ἀντιτάξεις αὐτῷ.

v. 485. πρὸς πύλαις] B. αἷς ἐτάχθη. κομπάζεται] ὑψοῦται καὶ φέρεται δι' ἐκείνου.

v. 487. ὕβριν] B. καὶ μεγαλαυχίαν.

v. 488. νεοσσῶν] B. ὑμῶν τῶν αὐτῆς θρεμμάτων. δύσχιμον] δυσχείμερον ἂν ἔχοντα τὸν χειμῶνα. Ὁ ὄφις φύσει ψυχρὸς ὤν. Ἐπεὶ δὲ νεοσσῶν εἶπε, διὰ τοῦτο ἐπήγαγε καὶ τὸν δράκοντα οἰκείως, ἅτε πολέμιον τοῖς νεοσσοῖς. Ὤφειλε δὲ τὸ δύσχιμον διὰ διφθόγγου γράφεσθαι ἀπὸ τοῦ χειμῶνος, νῦν δὲ ἠναγκάσθη διὰ τὸ μέτρον, καὶ συνέστειλεν αὐτό, ἐκτὸς γάρ ἐστι ποῦς.

v. 489. Ὑπέρβιος δὲ] A. Ὑπέρβιος ὄνομα κύριον.

v. 490. κατ' ἄνδρα] B. τὸν Ἱππομέδοντα. ἡρέθη] προυκρίθη.

v. 491. ἐξιστορῆσαι] B. μαθεῖν. μοῖραν] τὴν αὐτοῦ. ἐν χρείᾳ τύχης] χρεία γὰρ καιρός ἐστι μαθεῖν τὴν αὐτοῦ τύχην. Ὁ γὰρ πόλεμος τοὺς εὐτυχεῖς καὶ τοὺς δυστυχεῖς κρίνει.

v. 492. θυμὸν] B. τὴν ψυχικὴν προθυμίαν. σχέσιν] διάθεσιν.

v. 493. Ἑρμῆς δ᾽ εὐλόγως συνήγαγεν] A. ἰστέον ὅτι πάντα τὰ ὁδαῖα καὶ τὰ ἑρμαῖα καὶ κατὰ τύχην συμβεβηκότα τοῖς βροτοῖς, τῷ Ἑρμῇ ταῦτα ἀνατιθέασιν Ἕλληνες. Ἐπεὶ οὖν καὶ τούτοις συνέβη τυχηρῶς πως ἀλλήλοις ἀντιτάξασθαι, τοῦτο εἴρηκεν.

τὰ ἀπὸ τῆς τύχης Ἑρμῇ ἀναφέρουσιν.

Ἑρμῆς] B. τὰ γὰρ ἀπὸ τῆς τύχης συμβαίνοντα, Ἑρμῇ ἀνατιθέασιν οἱ Ἕλληνες, ὅθεν καὶ τὰ ἐν ὁδῷ εὑρηθέντα ἕρμαια ἐκάλουν, ὅτι συμμερίτην αὐτῶν ἐποίουν Ἑρμῆν. Ἐπεὶ οὖν καὶ τῷ Ὑπερβίῳ ἐκ τύχης πάντα ταῦτα συνῆλθεν, εἶδος ψυχῆς, προθυμία πρὸς μάχην, διάθεσις ὅπλων, ἦν δὲ καὶ ὁ Ἱππομέδων τοιοῦτος, εἰκότως Ἑρμῆν αὐτοὺς ξυναγαγεῖν εἴρηκεν. Ἢ, ὃ καὶ κρεῖττον, ἐπειδὴ ὁ μὲν Ὑπέρβιος τὸν Δία ἐπὶ τῆς ἀσπίδος φέρει, ὁ δὲ Ἱππομέδων τὸν Τυφῶ, Ζεὺς δὲ καὶ Τυφῶς ἐχθροὶ διὰ τοῦτο τὸν Ἑρμῆν εὐλόγως ξυναγαγεῖν εἶπεν. Ὅθεν καὶ τὴν κατασκευὴν ἐπάγει. ξυνήγαγεν] αὐτούς.

v. 494. ἀνὴρ] B. ὁ ἡμέτερος. ἀνδρὶ τῷ] τῷ πολεμίῳ. ξυστήσεται] συμπαρατάξεται.

v. 495. ἐπ᾽ ἀσπίδων θεοὺς] A. τοὺς θεοὺς οὓς ἐν ταῖς ἀσπίσι φοροῦσιν.

ξυνοίσετον] B. συνάψουσι.

v. 496. ὁ μὲν] B. Ἱππομέδων.

v. 498. σταδαῖος] A. ἐνιδρυμένος.

σταδαῖος ἦσται] B. ἡδρασμένος ἑδράζεται. βέλος] τὸν κεραυνόν.

v. 500. προσφιλεία] A. οἰκείωσις.

τοίαδε] B. εἰρωνικόν. προσφιλεία] σχέσις, οἰκείωσις.

v. 501. πρὸς τῶν κρατούντων] A. τοῦ κρατοῦντος ἐσμὲν Διός. Οὗ καὶ τὸ σημεῖον.

πρὸς τῶν κρατούντων δ᾽ ἐσμὲν] B. ἡμέτερος γάρ ἐστιν ὁ Ζεύς. οἱ δ᾽ ἡσσωμένων] ἐκείνοις δὲ ὁ Τυφώς.

v. 502. ὧδ᾽] B. οὕτως.

v. 503. καρτερώτερος] ἰσχυρότερος.

v. 505. τυχὼν] B. συμβάς, εὑρεθείς.

v. 506. πέποιθα τὸν] A. πιστεύω ἀπολεῖσθαι τὸν ἔχοντα ἐν τῷ σάκει τὸν ἐχθρὸν Διὸς δαίμονα.

τὸν] B. Ἱππομέδοντα. ἀντίτυπον] τὸν ἀντίπαλον.

v. 507. τοῦ χθονίου] B. τοῦ ὑπὸ γῆν Τυφῶνος.

v. 508. δαίμοσιν] B. τοῖς ἥρωσιν. εἴκασμα] εἰκονισμένον.

v. 509. δαροβίοις] B. τοῖς ἀϊδίοις.

v. 510. ἰάψειν] B. ῥίψειν, φονευθεὶς γὰρ πεσεῖται.

v. 512. Βοῤῥαίαις πύλαις] B. ταῖς ἀπὸ Βοῤῥαίου καλουμέναις.

v. 513. τύμβον κατ' αὐτὸν] B. πλησίον γὰρ ἦν.

v. 515. σέβειν] B. τιμᾶν. πεποιθὼς] ἐν αὐτῇ. ὑπέρτερον] κρείττονα.

v. 516. βίᾳ] B. ἀνάγκῃ, ἀκουσιότητι.

v. 517. τόδ' αὐδᾷ] A. τοῦτο φωνεῖ καὶ λέγει τὸ βλάστημα τὸ ἐκ τῆς ὀρεσκόου καὶ ὀριτρόφου μητρός, τὸ καλλίπρωρον, καὶ τὸ εὐειδές, τὸ τὴν πρώραν ἐπανθοῦσαν ἔχον τοῖς κάλλεσι. Τοῦτο δὲ τροπικὸν ἀπὸ τῆς νεώς· ὥσπερ γὰρ ἡ πρώρα ταύτης, θεωρία τὶς καὶ ἄποψις τυγχάνει τῶν πόῤῥωθεν, καὶ οἷον δι' αὐτῆς τὸ μακρόθεν διαγινώσκεται· οὕτω καὶ τὸ τοῦ ἀνθρώπου εἶδος πρώρα τὶς φαίνεται. Καὶ προορᾶται γὰρ ἐμφανῶς ἅπασι καὶ ἐκφαίνεται μάλιστα τῶν ἄλλων μερῶν.

ματρὸς ἐξ ὀρεσκόου] B. Ἀταλάντης τῆς ἐν τῷ ὄρει διαιτωμένης ἅτε ἱερείας οὔσης Ἀρτέμιδι.

v. 518. ἀνδρόπαις ἀνὴρ] A. ἢ ὁ παῖς ὁ νεωστὶ εἰς ἄνδρας τελῶν, ἢ ὁ ἐν τῇ παιδικῇ ἡλικίᾳ ἀνδρεῖος ὤν. Λέγει δὲ τὸν Παρθενοπαῖον τὸν υἱὸν τῆς Ἀντιόπης, ἥτις καὶ Παρθενόπη ἐλέγετο, ἀφ' ἧς καὶ οὗτος Παρθενοπαῖος ἐκλήθη. Ὃς ἐξ Ἀρκαδίας εἰς τὸ Ἄργος μετῴκησε.

βλάστημα] γέννημα. καλλίπρωρον] καλλιπρόσωπον, ἐκ μεταφορᾶς τῆς ἐν νηῒ πρώρας. ἀνδρόπαις] πρὸς ἄνδρας παραγγείλας ἄρτι ἤτοι πλησίον.

v. 519. στείχει δ' ἴουλος ἄρτι] A. νῦν ἤρξατο γενειάζειν. Στείχει δὲ καὶ βαδίζει διὰ τῶν παρειῶν αὐτοῦ ἴουλος. Φησί, θρὶξ ἀνατέλλουσα καὶ ἀναφύουσα, ἀναβλαστάνουσα, ἀναφερομένη καὶ ἐξερχομένη τῆς ὥρας φυούσης, ἤγουν τῆς αὐτοῦ ἡλικίας, φυούσης καὶ ἀναθαλλούσης καὶ ἐπανθούσης. Ἢ τοῦ νενομισμένου καιροῦ τοῖς νέοις ἀναφύοντος τὸν ἴουλον.

ἴουλος] B. γένειον.

v. 520. ὥρας φυούσης] B. πρέποντος καιροῦ. ταρφὺς] B. δασυτάτη ἢ τρυφερά. ἀντέλλουσα] ἀναβλαστάνουσα.

v. 521. ὁ δ' ὠμόν, οὔτι] A. εἴπομεν ἄνωθεν ὅτι περὶ τοῦ Παρθενοπαίου τοῦ υἱοῦ τῆς Ἀντιόπης ἐνταῦθα διαλαμβάνει· φησὶν οὖν, ὁ δέ, ἤτοι ὁ Παρθενοπαῖος, προΐσταται ταῖς πύλαις, οὐδαμῶς φρόνημα ἔχων παρθένων, χαῦνον δηλαδή, καὶ μαλακόν, ἐπώνυμον αὐτῷ, οἷα καὶ Παρθενοπαίῳ καλουμένῳ· ἀλλὰ ὠμὸν καὶ ἀπηνὲς καὶ χαλεπόν, ἔτι δὲ καὶ γοργὸν ὄμμα ἔχων. Ἄλλως. Οὐ σύμφωνον τῇ κλήσει τῆς παρθένου τὸ φρόνημα ἔχων, ἀλλὰ ὠμόν.

ὠμὸν] B. θρασύ, φονικόν. παρθένων ἐπώνυμον] ἤτοι μαλακόν, καὶ κατὰ τὸ ὄνομα αὐτοῦ.

v. 522. γοργὸν] B. καταπληκτικὸν ἐκ μεταφορᾶς τῆς Γοργοῦς.

v. 524. τὸ γὰρ πόλεως ὄνειδος] A. τὸ παρὰ τῆς Σφιγγός φησιν, ἐξ ἧς τῷ Οἰδίποδι προσεγένετο τῇ οἰκείᾳ συμμιγῆναι μητρί, ταύτην τῇ εὑρέσει τοῦ αἰνίγματος ἀνελόντι. Ὅθεν τῇ πόλει πάσῃ τῶν Θηβαίων ἐγένετο ὄνειδος. Συντάσσεται δὲ οὕτως, τὸ γὰρ πόλεως ὄνειδος, τὸ δι' οὗ δηλαδὴ τῷ Οἰδίποδι καὶ τῇ πόλει πάσῃ ὄνειδος ἐγένετο, τοῦτ' ἔστι τὴν Σφίγγα τὴν ὠμόσιτον, ἐνώμα καὶ ἐκίνει καὶ ἔφερε προσμεμηχανευμένην καὶ κατεσκευασμένην ἐν σάκει χαλκηλάτῳ γόμφοις, ἤτοι διαπεπερονημένῳ τοῖς ἥλοις, τῷ τοῦ σώματος προβλήματι. Τοῦτο γὰρ δηλοῖ τὸ σάκος.

ὄνειδος] B. διὰ γὰρ τὴν Σφίγγα ὠνειδίζοντο Θηβαῖοι.

v. 525. προβλήματι] B. φυλακῇ.

v. 526. ὠμόσιτον] B. τὴν ὠμῶς καὶ ἀπήνως σιτουμένην τοὺς ἄνδρας. μεμηχανημένην] μετὰ μηχανῆς κατεσκευασμένην καὶ προςηλωμένην.

v. 527. λαμπρὸν ἔκκραυστον δέμας] A. πρὸς τὸ λαμπρὸν τέθεικε καὶ τὸ ἔκκρουστον. Ἤτοι ἐκκροῦον καὶ ἀποτρέπον, καταπληκτικὸν καὶ ὑπερεκπλῆττον τῇ λαμπρότητι τοὺς θεατάς. Καὶ Ὅμηρος, ἡνία σιγαλόεντα φησὶ τὰ λαμπρά, καὶ σιγὴν καὶ ἔμπληξιν ἐμποιοῦντα τοῖς βλέπουσι. (Il. E. 266.)

γόμφοις] B. ἥλοις. λαμπρὸν] χρυσοειδές. ἔκκρουστον] κατάπληκτον τῇ αἴγλῃ.

v. 528. φέρει δ' ὑφ' αὐτῇ φῶτα] A. φέρει δὲ ἡ σφὶγξ ἕνα τῶν Καδμείων ἐν τοῖς ὄνυξιν ἑαυτῆς οὕτως, ὥςτε δοκεῖν ἐπ' αὐτῷ πλεῖστα βέλη ἰάπτεσθαι καὶ πέμπεσθαι.

φέρει δ' ὑφ' αὐτῇ] B. οὕτω γὰρ ἐμεμηχάνητο ἡ Σφὶγξ ἐν τῷ σάκει ἁρπάζουσα καὶ διασπαράττουσα ἕνα Καδμείων ὥςτ' εἰκάσαι ἂν πολλοῖς βέλεσι τοῦτον βάλλεσθαι, πανταχῇ γὰρ τοῦ σώματος ἐσπαραγμένος ἐδόκει τοῖς ὄνυξι ταύτης.

v. 529. ἰάπτεσθαι] B. πέμπεσθαι.

v. 530. καπηλεύσειν] B. ψεύσασθαι, προδώσειν, διαφθείρειν.

v. 531. πόρον] B. πορείαν.

v. 532. Παρθενοπαῖος Ἀρκὰς] A. Ἀντίμαχος φησὶν Ἀργεῖον αὐτόν, οὐκ Ἀρκάδα. ὁ δὲ τοιόςδ' ἀνὴρ] τοιοῦτος ἐστιν οἷον ἐγὼ εἶπον.

v. 533. Ἄργει δ' ἐκτίνων καλὰς τροφὰς] A. ἀκούσιον φόνον δράσας ὁ Παρθενοπαῖος εἰς Ἄργος ἔφυγεν.

μέτοικος] B. ἐν Ἀρκαδίᾳ γὰρ γεννηθείς, ἐν Ἄργει μετοικήσας ἀνετράφη. ἐκτίνων] ἀποδιδούς.

v. 534. θεὸς] B. ἡ τύχη.

v. 535. εἰ γὰρ τύχοιεν] A. εἴθε γὰρ παρὰ θεῶν τύχοιεν ἐπαξίως ὧν φρονοῦσιν ἀνοσίων καὶ ἀλαζονεύονται, ἐπὶ τῶν ἀσπίδων κομπάσματα ἔχοντες.

εἰ γὰρ τύχοιεν] B. ἡ κατασκευὴ αὐτὴ πρὸς τὸν τοῦ ἀγγέλου λόγον ἔστιν. Εἰπόντος γὰρ ἐκείνου ὥςπερ ἀπειλεῖ

τῇ πόλει μὴ τελειώσειεν ἡ τύχη, φησὶν οὗτος, ἐπινοουμένου ἔξωθεν τοῦ ναί, εἴθε γὰρ τύχοιεν παρὰ τῶν θεῶν ὧν καθ' ἡμῶν φρονοῦσιν, τουτέστιν ἅπερ ἡμῖν ἀπειλοῦσιν αὐτοὶ πάθοιεν, καὶ ὄντως ἂν εἰ γένοιτο τοῦτο, ἀπολέσθειεν ἂν σὺν αὐτοῖς ἐκείνοις κομπάσμασι πανώλεθροι καὶ παγκακῶς.

v. 536. αὐτοῖς ἐκείνοις] B. σύν.

v. 537. ἦτ'] B. ὄντως καί. πανωλεῖς] πανώλεθροι. ὀλοίατο] φθάροιεν ἄν.

v. 539. χεὶρ δ' ὁρᾷ τὸ δράσιμον] A. ἄλλο οὐδὲν ἢ σιωπᾶν μὲν οἶδεν, τῇ δὲ χειρὶ πολεμεῖν. Περιφραστικῶς ἀντὶ τοῦ πολεμικώτατός ἐστι.

χείρ] B. αὐτοῦ.

v. 540. τοῦ πάρος λελεγμένου] B. τοῦ Ὑπερβίου.

v. 541. ὃς οὐκ ἐάσει γλῶσσαν] A. ὅστις ὁ Ἄκτωρ ὁ ἀδελφὸς τοῦ Παρθενοπαίου [imo, Ὑπερβίου] οὐκ ἐάσει τὴν γλῶσσαν τῶν ἐργμάτων ἄτερ ἔσω τῶν τῆς πόλεως πυλῶν εἰσελθεῖν, καὶ αὐξῆσαι τὰ κακά. Ἤτοι ὃς τὸν κόμπον τοῦτον, τῶν πράξεων ἀποδέοντα, ἐφέξει, μὴ εἴσω πυλῶν γενέσθαι τῆς πόλεως. Δηλονότι τὸν Παρθενοπαῖον τὸν φέροντα ἐπὶ τῆς ἀσπίδος τῆς πολεμικῆς εἰκόνα καὶ ἱστορίαν τοῦ μισητοῦ θηρίου, τοῦτ' ἔστι τῆς Σφιγγός.

ὃς οὐκ ἐάσει] B. ὃς οὐκ ἐάσει τὸν Παρθενοπαῖον ἅπερ ἀπειλεῖ καθ' ἡμῶν διαπράττεσθαι, διὰ λόγων μὲν πορθοῦντα τὴν πόλιν ἀλλ' οὐ διὰ πράξεων. Εἰ δὲ τὸ ἐργμάτων ἀντὶ τοῦ κωλυμάτων λάβοις, οὕτως εἴποις, ἀκωλύτως καὶ δίχα ἐμποδισμάτων, διὰ γλώττης ἀσώτως πολλῶν γινομένων ἐργμάτων, πράξεων ἢ κωλυμάτων.

v. 542. ἀλδαίνειν] B. αὐξαίνειν.

v. 543. εἰσαμεῖψαι] B. εἰσελθεῖν. ἐχθίστου] μισητοῦ τῇ πόλει. δάκους] πάντος θηρίου ὥσπερ ἐπώνυμόν ἐστι τὸ δάκος, πάντα γὰρ δάκη λέγεται ὡς λύπης αἴτια.

v. 544. εἰκῶ] B. εἰκόνα.

v. 545. ἔξωθεν εἴσω φέροντι μέμψεται] A. ἤτοι ἡ Σφὶγξ ἡ τῷ σάκει ἐγγεγραμμένη, ἔξωθεν ἱσταμένη τοῦ

τείχους καὶ πετροβολουμένη, μέμψεται τῷ φέροντι αὐτὴν εἴσωθεν, ἤτοι τῷ διὰ τῆς χειρὸς αὐτὴν φέροντι.

μέμψεται] B. ἡ Σφίγξ.

v. 546. πυκνοῦ κροτισμοῦ τυγχάνουσα] A. ἡ ἀσπὶς, ἢ ἡ Σφίγξ, βαλλομένη τῷ ἀπὸ τῶν δοράτων κρουσμῷ.

πυκνοῦ κροτισμοῦ] B. σφοδροτάτου συνεχοῦς λιθοβολισμοῦ.

v. 548. ἱκνεῖται λόγος διὰ στηθέων] A. ὁ λόγος ὁ ἀπὸ τῶν πολεμίων ὁ ἀλαζονικός.

ἱκνεῖται] B. διέρχεται. λόγος] ὁ περὶ τοῦ Παρθενοπαίου. Ἀκούουσα τὸν Παρθενοπαῖον τοιαῦτα καθ' ἡμῶν φρονοῦντα τρέμω καὶ μοὶ δέος εἰςέρχεται.

v. 549. τριχὸς δ' ὀρθίας πλόκαμος] A. κατὰ περίφρασιν ἡ θρίξ.

τριχὸς δ' ὀρθίας] B. τοιοῦται γὰρ τῶν φοβουμένων αἱ τρίχες γίνονται. Ὄρθιος ἔδει εἰπεῖν πρὸς τὸ πλόκαμος, νῦν δὲ ἐπήνεγκε πρὸς τὸ τριχός, ἐστὶ ταυτόν.

v. 550. μεγάλα μεγαληγόρων] A. μεγάλα πράγματα ἀκούων.

μεγαληγόρων] B. μεγαλαύχων.

v. 551. ἀνοσίων ἀνδρῶν] B. ἀσεβῶν, ἅτε μηδ' αὐτῶν τῶν θεῶν ποιουμένων φροντίδα.

v. 554. Ἀμφιάρεω βίαν] A. Ἀμφιάραος Ὀϊκλέους, τοῦ Μελάμποδος, τοῦ Ἀμυθάονος, τοῦ Κρηθέως, τοῦ Αἰόλου, τοῦ Ἕλληνος, τοῦ Διός· μητρὸς δὲ Ὑπερμνήστρας.

v. 555. Ὁμολωΐσιν] A. ἀπὸ Ὁμολωΐδος τῆς θυγατρὸς Νιόβης.

Ὁμολωΐσι] B. ταῖς ἀπὸ Ὁμολωΐδος θυγατρὸς Νιόβης καλουμέναις.

v. 556. κακοῖσι βάζει] B. κακολογεῖ, λέγει.

v. 557. τὸν ἀνδροφόντην] A. ἐπεὶ τοὺς Μέλανος ἀπέκτεινε παῖδας Ἀλκάθουν καὶ Λυκωπέα. —

τὸν ἀνδροφόντην] B. ἐπεὶ τῆς Μελαίνης ἀπέκτεινε παῖδας, Ἀλκίφθορον καὶ Λυκάνορα. τὸν πόλεως ταράκτορα] τὸν δημαγέρτην.

v. 558. μέγιστον Ἄργει τῶν κακῶν] B. ἤγουν τοῦ κατὰ Θηβαίων πολέμου.

v. 559. Ἐριννύος κλητῆρα] A. ὑπηρέτην. πρόςπολον Φόνου] ἱερέα.

κλητῆρα] B. καλεστήν. Ἐπειδὴ γὰρ αἱ μὲν Ἐριννύες ἔφοροι κακῶν καὶ δυστυχημάτων, κατηράσατο δὲ ὁ Οἰδίπους τοῖς αὐτοῦ παισὶ σιδήρῳ διαλαχεῖν τὴν ἀρχήν, εἰκότως αὐτὸν Ἐριννύος κλητῆρα λέγει, ὡς μᾶλλον τὸν κατὰ Θηβαίων παρακινήσαντα πόλεμον, ὥςπερ εἰ ἔλεγε πληρωτὴν κατάρας τῆς τοῦ Οἰδίποδος.

v. 560. τῶνδε βουλευτήριον] B. τῶν παρόντων σύμβουλον.

v. 561. πρόςμορον ἀδελφεὸν] A. τὸν ἀξιοθάνατον, ἢ τὸν συμπράκτορα αὐτοῦ.

τὸν σὸν αὖθις πρόςμορον] B. τὸν οὐκ ἐπὶ φιλίᾳ συναδελφον γενόμενον, ἀλλ' ἐπὶ μάχῃ καὶ φορᾷ, τὴν βίαν λέγω τοῦ Πολυνείκους, ἤτοι τὸν Πολυνείκην, ἐξυπτιάζων καὶ ἀναπτύσσων τὸ αὐτοῦ ὄνομα καὶ εἰς δύο τέμνων καλεῖ καὶ ὀνομάζει ἐν τῇ τελευτῇ νεῖκος καλῶν τὸ πολὺ παριείς.

v. 562. ἐξυπτιάζων] A. ἀναπτύσσων, ἐτυμολογῶν.

ἐξυπτιάζων] B. διαλύων, ἀναπτύσσων. ὄνομα] αὐτοῦ.

v. 563. ἐνδατούμενος] A. εἰς δύο διαιρῶν τὸ ὄνομα τοῦ Πολυνείκους, τὸ πολὺ καὶ τὸ νεῖκος. B. μερίζων.

v. 564. λέγει δὲ τοῦτ' ἔπος] B. εἰρωνευόμενος.

v. 565. ἢ τοῖον ἔργον] A. καθ' ὑπόκρισιν.

v. 566. καὶ λέγειν μεθυστέροις] A. τοῖς μεθ' ἡμᾶς ὕστερον, ταῦτα περὶ σοῦ καλόν ἐστι λέγεσθαι.

ἀκοῦσαι] B. τινά. μεθυστέροις] τοῖς μεθ' ἡμᾶς.

v. 567. τοὺς ἐγγενεῖς] B. τοὺς ἐν τῷ γένει τῶν Θηβαίων ὄντας, καὶ ἐντεῦθεν τὴν γέννησιν σχόντας οἷον Ἡρακλῆν, Διόνυσον, Σεμέλην, τοὺς ἄλλους. Ἢ τὸ ἐγγενεῖς ἀντὶ τοὺς ἐκ προγόνων τοῖς Θηβαίοις τιμωμένους, ἵν' ᾖ καθολικὸν διὰ πάντας θεούς.

v. 568. ἐπακτὸν] B. ξένον. ἐμβεβληκότα] ἐπαγαγόντα.

v. 569. μητρός τε πηγὴν] A. τὰ δάκρυα τῆς πατρίδος ποία παύσει τιμωρία;

πηγὴν] B. τῶν δακρύων. δίκη] εἰ καὶ δικαίως πρὸς τὸν πόλεμον ὥρμησεν ὑπὲρ τῆς πατρίδος στρατεύων ἀνὰ τῆς μητρὸς δάκρυα, ἃ ὑπὲρ ἀμφοτέρων τῶν ἀδελφῶν πολεμούντων καθίησιν ἐξ ὀμμάτων, πάσης δίκης ὑπέρτερα, ὅθεν δεῖ φοβεῖσθαι ταῦτα μὴ σοὶ γένοιτο κινδύνου αἰτία.

v. 571. πῶς σοὶ σύμμαχος] B. ἐκ τοῦ πῶς σοὶ σύμμαχος γενήσεται δηλοῖ, ὅτι εἰ πορθήσεις αὐτὴν καὶ κύριος γενήσῃ, μεμνημένη ὧν ὑπό σου πέπονθεν, οὐ βοηθήσει σοὶ ἐν χρείᾳ πολέμου, ὃν γὰρ οἱ ὑπήκοοι αἰδοῦνται καὶ μὴ δεδίασιν, οὗτος βέβαιός ἐστιν ἄρχων. γενήσεται] ἐν ὑστέρῳ καιρῷ.

v. 572. ἔγωγε μὲν δὴ] A. ἔγωγε μὲν δὴ ταύτην τὴν γῆν πιανῶ, ἐπὶ τῆς πολεμίας γῆς κρυφθεὶς μάντις. Κεραυνῷ γὰρ σχισθεῖσα ἡ γῆ ἔλαβεν αὐτόν.

πιανῶ] B. δοξάσω, κοσμήσω.

v. 573. κεκευθὼς] B. κρυβεὶς, κατακευσθείς.

v. 574. μαχώμεθ᾽, οὐκ ἄτιμον] A. ὁ Ἀμφιάραος, οἷα μάντις, εἰδὼς ὅτι ἐκεῖ καταποθεὶς ὑπὸ τῆς γῆς, ὕστερον μετὰ θάνατον ἔσται μαντείας ἐκφέρων τοῖς θέλουσι, καὶ τιμὰς ἕξει λαμπράς, φησί, μαχώμεθα· οὐ γὰρ ἄτιμον καὶ ἄδοξον καὶ ἀφανῆ ἐλπίζω μόρον· αἰνιττόμενος τὴν μετὰ θάνατον αὐτοῦ τιμήν.

v. 576. ηὔδα] B. ἔλεγε. κύκλῳ] ἤγουν τῇ ἀσπίδι.

v. 578. βαθεῖαν ἄλοκα] A. βαθεῖαν ἔχων ἄλοκα τῆς φρενός, ἐξ ἧς φρενὸς φύεται τὰ ἀγαθὰ βουλεύματα. Τοῦτο ὁ Πλάτων ἐν τῇ πολιτείᾳ ἀπεδέξατο. Τοῦτο οὖν φησι, καρπούμενος καὶ τρυγῶν βαθεῖαν καὶ λιπαρὰν ἄλοκα τῆς φρενός, ἐξ ἧς φύεται τὰ ἀγαθὰ βουλεύματα, ὥσπερ βλαστήματα.

βαθεῖαν] B. δασεῖαν. καρπούμενος] ἔχων, κτώμενος.

v. 579. κεδνὰ] B. συνετά. βλαστάνει] ἀναφύεται.

v. 580. τούτῳ σοφούς τε] A. τούτῳ, φησί, τῷ Ἀμφιαράῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας καὶ ἀντιπάλους

ἡ ἀντιμάχους ἐπαινῶ καὶ κρίνω στεῖλαι. Τροπικῶς ὡς ἐπὶ ναυμαχίας.

ἀντηρέτας] B. ἀντιστάτας.

v. 581. δεινὸς ὅς] A. δυςκατέργαστος γάρ ἐστιν ὅστις τοὺς θεοὺς τιμᾷ.

ἐπαινῶ] B. ἀποδέχομαι. δεινὸς] δεξίος.

v. 582. Φεῦ τοῦ ξυναλλάσσοντος] A. ἤγουν συνάγοντος. Ἀπὸ μεταφορᾶς τῶν συναλλαγὰς καὶ συμβόλαια ποιουμένων. Τοῦτο δέ ἐστιν ὃ λέγει, ἰδὼν τὸν Ἀμφιάραον ὁ Ἐτεοκλῆς, ἄνδρα ὄντα ἀγαθὸν καὶ εὐσεβῆ, συστρατευόμενον μετ' ἀνθρώπων πονηρῶν καὶ ἀσεβῶν, ἐπαρᾶται τῇ τύχῃ· καί φησι, Φεῦ τοῦ ὄρνιθος, ἤγουν τῆς τύχης καὶ τοῦ μαντεύματος, τοῦ συναλλάσσοντος καὶ συνάγοντος καὶ ἑνοῦντος τὸν δίκαιον ἄνδρα τοῖς δυσσεβεστέροις. Ἀποκλαίεται γὰρ αὐτὸν ὁ Ἐτεοκλῆς ὡς προλέγοντα ἐκεῖσε θανεῖν αὐτόν.

συναλλάσσοντος] B. συναριθμοῦντος. ὄρνιθος] τῆς τύχης καταχρηστικῶς.

v. 585. οὐ κομιστέος] A. οὐκ ἄξιος κομίζεσθαι.

καρπὸς] B. τῆς κακῆς ὁμιλίας τὸ ἀποτέλεσμα. οὐ κομιστέος] οὐκ ἄξιος κομίσασθαί τινα αὐτόν.

v. 586. ἄτης ἄρουρα] A. λύμης χωρίον ἡ τῶν πονηρῶν φιλία.

ἐκκαρπίζεται] B. ἐκφύει.

v. 587. ἢ γὰρ ξυνεισβὰς] A. τὰ ἀπὸ τῆς κακῆς ὁμιλίας γινόμενα, κατὰ μέρος διέξεισι. Καί φησιν ὅτι ὁ εὐσεβὴς ἀνὴρ, εἴτε ἐν θαλάσσῃ συμπλέοι πονηροῖς καὶ κακοῖς ἀνδράσιν, εἴτε ἐν γῇ διάγοι μετὰ πονηρῶν καὶ ἀσεβῶν ἀνδρῶν, φθείρεται καὶ ἀπόλλυται καὶ αὐτὸς σὺν ἐκείνοις, διὰ τὴν ἐκείνων ἀσέβειαν. Ἡ δὲ σύνταξις οὕτως, ὁ εὐσεβὴς γὰρ ἀνὴρ, ἢ εἰς πλοῖον συνεισβὰς καὶ συνελθὼν ναύταις θερμοῖς καὶ σπουδαίοις εἰς τὸ πανουργεύεσθαι, ὄλωλε σὺν τῷ τοῖς θεοῖς μισητῷ γένει τῶν ἀσεβῶν ἀνδρῶν· ἢ δίκαιος ὢν, σὺν πολίταις ἀνδράσιν ἐχθροξένοις τε καὶ ἐχθροῖς τῶν ξένων, καὶ ἀμνήμοσι τῶν θεῶν, ἐδάμη καὶ ἐδαμάσθη, πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ.

ξυνεισβὰς] B. συνελθών.

v. 588. θερμοῖς] A. πρὸς τὴν κακίαν θερμοῖς, καὶ γελωτοποιοῖς. Οἱ γὰρ γελοιαζόμενοι θερμὴν καὶ ἔκλυτον ἔχουσι τὴν ψυχήν. Ἰστέον δὲ ὅτι πολλή ἐστιν ἡ διαφορὰ τοῦ διαλελυμένου καὶ τοῦ συνθέτου. Μέγας μὲν θυμός, τὸ πολὺ τοῦ χόλου· μεγάθυμος δέ, ὁ μεγαλόφρων καὶ μεγαλόψυχος. Καὶ χειροδίκης μὲν συνθέτως, ὁ βίαιος, καὶ οὐκ ἐν τοῖς νόμοις ἀλλ' ἐν ταῖς χερσὶν αὐτοῦ κείμενον ἔχων τὸ δίκαιον· δίκην δὲ ἔχων ἐν χέρσιν, ὁ δίκαιος καὶ ἀεὶ πρὸ χειρῶν οἷον φέρων τὸ δίκαιον. Οὕτω καὶ θερμὸν ἔργον, διαλελυμένως μέν, τὸ ἀναιδὲς καὶ θρασύ· θερμουργὸς δὲ ἀνήρ, ἐν συνθέσει, κατὰ λόγον ἐπαινετόν, ὁ θαῤῥαλέος καὶ μὴ ψυχρὸς εἰς ἔργον.

θερμοῖς] B. διαπύροις εἰς κακίαν.

v. 589. θεοπτύστῳ] B. κακῷ, θεομισεῖ.

v. 591. ἐχθροξένοις] B. ἐχθρῶς περὶ ξένων ὑποδοχὴν διακειμένοις, ἢ ἐχθροῖς περὶ τοὺς φίλους.

v. 592. ταυτοῦ κυρήσας] A. ἐπιτυχὼν ἐνδίκως καὶ δικαίως τοῦ αὐτοῦ καὶ τοῦ ὁμοίου ἐκείνοις ἀγρεύματος. Τοῦτ' ἔστι, σὺν αὐτοῖς θηραθείς, καὶ τῇ αὐτῇ παγίδι παγείς.

ταυτοῦ κυρήσας] B. ὁμοίου ἐπιτυχών. ἐκδίκως] ἀδίκως.

v. 593. παγκοίνῳ] B. δημοσίᾳ. δάμη] ἠφάνισται.

v. 594. οὗτος δ' ὁ μάντις] A. τὸν υἱὸν λέγω τοῦ Ὀϊκλέους. Ἤγουν τὸν Ἀμφιάραον. Σώφρων καὶ δίκαιος καὶ εὐσεβὴς ἀνὴρ ὤν, συγκαθελκυσθήσεται, καὶ εἰς τὸν ᾅδην καταχθήσεται μετὰ τῶν ἀσεβῶν, συμμιγεὶς ἀνοσίοις καὶ ἀσεβέσιν ἀνδράσι, θρασυστόμοις καὶ φλυάροις.

υἱὸν Ὀϊκλέως] B. Ἀμφιάραος.

v. 595. εὐγενὴς] B. γενναῖος.

v. 597. θρασυστόμοισιν] B. ὑβρισταῖς. βίᾳ φρενῶν] ἤγουν ἄκοντα.

v. 598. πομπὴν τὴν μακρὰν] A. ἐπὶ τὴν εἰς ᾅδην ἀποικίαν ἑλκυσθήσεται μολεῖν τὴν ἐναντίαν τῇ εἰς Ἄργος.

τείνουσι] B. ἕλκουσιν αὐτόν. πομπὴν] πορείαν. μακρὰν] μεγάλην. πόλιν] εἰς.

v. 600. δοκῶ μὲν οὖν] A. δοκῶ, φησί, τὸν Ἀμφιάραον μηδὲ προσεγγίσαι ταῖς τῆς ἡμετέρας πόλεως πύλαις, οὐχ ὡς δειλόν, οὐδὲ ἐν κακίᾳ φρονήματος· ἀλλὰ γινώσκει ὅτι σφέ, ἤγουν αὐτόν, ἀπόκειται τελευτῆσαι ἐν τῇ μάχῃ, εἰ ἔσται καρπὸς καὶ τέλος τοῖς τοῦ Ἀπόλλωνος μαντεύμασιν. Ἤτοι, εἰ ἀληθῆ εἰσι τὰ θέσφατα τοῦ Ἀπόλλωνος.

δοκῶ] B. λογίζομαι. σφὲ] αὐτόν. Τὸ πρῶτον σφὲ ἀντὶ τοῦ αὐτόν, τὸ δὲ δεύτερον ἀντὶ τοῦ αὐτούς. προσβαλεῖν] πλησιάζειν.

v. 601. ὡς] B. ὅτι. λήματος κάκῃ] φρονήματος δειλίᾳ.

v. 602. ἀλλ' οἶδεν ὡς σφὲ] A. ἀλλ' ὡς μάντις, τὸ τέλος εἰδώς, οὐκ εἰς κίνδυνον ἑαυτὸν καταθήσει.

ὡς] B. ὅτι. σφὲ] αὐτούς. χρὴ] ἀπόκειται. τελευτῆσαι μάχῃ] ἄνω διεξιόντος τοῦ ἀγγέλου ὡς Ἀμφιάραος εἶπεν ὅτι ὑπὸ γῆν κρυβήσεται καὶ ταύτην δοξάσει, Ἐτεοκλῆς τῷ μὲν περὶ τοῦ μάντεως θανάτῳ πιστεύει, λέγει δὲ εἰκαστικῶς, ὡς ἐπειδὴ μάντις ἐστὶν οἶδε καὶ τὴν τῶν ἄλλων τελευτήν, οὐκ ἐθέλει δὲ λέγειν τοῦτο, ἀλλὰ σιγᾷ.

v. 603. εἰ καρπὸς ἔσται θεσφάτοισι Λοξίου] A. εἰ φύει ἀλήθειαν τὸ μάντευμα τοῦ Ἀπόλλωνος, εἰ ἡ ἀλήθεια παρέπεται τῷ μαντεύματι ὡς καρπός, εἰ ταῖς τοῦ Ἀπόλλωνος μαντείαις τέλος ἔνι.

καρπὸς] B. κέρδος. θεσφάτοις τοῦ Λοξίου] μαντεύμασι ἃ Ἀπόλλων αὐτῷ δέδωκε· πάντες γὰρ οἱ μάντεις ἐξ ἐκείνου τὴν μαντικὴν ἔχουσιν.

καὶ λέγειν τὰ καίρια

v. 604. φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια] A. παραδιαζευκτικὸς ἀντὶ τοῦ συνδετικοῦ. Ἤγουν ἢ λέγειν, ἀντὶ τοῦ καὶ λέγειν.

τὰ καίρια] B. τὸ καὶ περὶ τῆς αὐτῶν τελευτῆς.

v. 605. ὅμως δ' ἐπ' αὐτῷ] A. ὅμως δὲ ἐπ' αὐτῷ τῷ Ἀμφιαράῳ ἀντιτάξομεν καὶ ἀντιστήσομεν πυλωρόν, ἤγουν φύλακα τῶν πυλῶν, ἄνδρα ἐχθρόξενον, ἤτοι ἐχθρὸν ὄντα

τοῖς ἐξ ἀλλοδαπῆς ἐλθοῦσι πρὸς βλάβην ἡμῶν, Λασθένους βίαν, περιφραστικῶς τὸν Λασθένην.

v. 606. ἐχθρόξενον] B. δημοτικὸν καὶ ἀλλοφύλοις ἐχθρόν. ἀντιτάξομεν] ἀντιστήσομεν.

v. 607. ἡβῶσαν] B. ἀκμάζουσαν. φύσει] λίαν. Γράφεται καὶ φέρει, δέον δὲ εἰπεῖν φέροντα πρὸς τὴν προηγουμένην αἰτιατικήν, φέρει εἶπεν ἐναλλάξας τὴν σύνταξιν.

v. 608. ποδώκες] B. εὔστροφον. χεῖρα δ' αὖ βραδύνεται] τοσοῦτον γάρ ἐστι ταχὺς εἰς πόλεμον, ὥστε ἁρπάσαι καὶ προςλαβεῖν δόρυ γυμνωθὲν παρὰ τῆς ἀσπίδος, τουτέστιν ἐὰν τινα αἴσθηται μέλλοντα βάλλειν αὐτόν, καὶ ἐν ᾧ μέλλει βαλεῖν καὶ κινήσειν τὴν χεῖρα, γυμνωθέντα τῆς ἀσπίδος ἣν εἶχεν εἰς φυλακήν, καὶ δι' ἧς ἐκαλύπτετο, ἐὰν ταῦθ' οὕτω γενόμενα ἴδοι, πρὶν παρ' ἐκείνου τετρῶσθαι, αὐτὸς ἐν τῷ γυμνωθέντι μέρει ἐκείνου βάλλει τῷ δόρατι. Ἢ οὕτως, ἁρπάσαι καὶ ταχέως κινῆσαι δόρυ παρὰ τὸ γυμνωθὲν μέρος τῆς ἀσπίδος τοῦ ἀνταγωνιστοῦ, τουτέστιν συνίδοι τὸν αὐτοῦ ἀντίπαλον γυμνωθέντα τῆς ἀσπίδος κατά τι μέρος αὐτοῦ, τάχιστα βάλλει αὐτὸν ἐκεῖσε τῷ δόρατι.

v. 612. τελεῖθ' ὡς πόλις εὐτυχῇ] A. ἐπιτελεῖτε ὅπως εὐτυχῇ ἡ πόλις, τὰ ἀπὸ τοῦ πολέμου κακὰ ἀπὸ τῆς γῆς ἐπὶ τοὺς ἐπελθόντας τρέποντες.

τελεῖθ'] B. τέλος ἄγετε.

v. 613. δορύπονα] B. πολεμικά. ἐκτρέποντες] ἐκτοπίζοντες, ἀποφέροντες. γᾶς πρὸς ἐπιμόλους] τοὺς ἐπελθόντας ἐχθρούς, τούτους γὰρ δορύπονα κακὰ λέγει.

v. 614. πύργων δ' ἔκτοθεν] A. ἀποβαλὼν δὲ αὐτοὺς ὁ Ζεὺς ἔξω τῶν τειχῶν, διαφθερεῖ κεραυνῷ ἐπὶ ταῖς πύλαις.

v. 615. σφὲ] B. αὐτούς. κάνοι] ἀφανίσειε, καὶ οὐδένα ἄγοι.

v. 618. κατεύχεται] B. ηὔχετο Πολυνείκης συμπαρατάττεσθαι Ἐτεοκλεῖ, καὶ φονεύσας τοῦτον θανεῖν καὶ αὐτὸς πλησίον αὐτοῦ. Ἢ ὥσπερ αὐτὸς περὶ τοῦτον ἐποίησε πρώην ἐξελάσας τῆς πόλεως, οὕτω νῦν καὶ οὗτος περὶ αὐτὸν ποιήσειε, βουλὴν ἔχων πρὸ τῆς συμπαρατάξεως τοιαύτην, πλησιάσαι

τοῖς τείχεσι καὶ παρὰ τῶν οἰκείων βασιλεὺς τῆς χθονὸς ἀναγορευθῆναι, καὶ πρὸς τοὺς θεοὺς ὕμνον καὶ εὐχὴν ᾆσαι τοιαύτην, δοίητε μοὶ θεοὶ πορθῆσαι τὰς Θήβας δικαίως στρατευομένῳ. Ἐστὶ δὲ τὸ τὼς καὶ τὸν αὐτὸν τρόπον ἐκ παραλλήλου. τύχας] δυστυχίας.

v. 619. ἐπεμβὰς] B. ἐπελθών. κἀπικηρυχθεὶς] ἀναγορευθεὶς ἄρχων.

v. 620. ἁλώσιμον παιᾶν' ἐπεξιακχάσας] A. ἐκβοήσας ἐπινίκιον παιᾶνα, ἐπαλαλάξας μετὰ ἰαχῆς. Οὕτω καὶ ὁ Ἴακχος λέγεται παρὰ τὰς ἰαχὰς τῶν μυουμένων.

ἁλώσιμον παιᾶν'] B. τὸν ἐπὶ πορθήσει γενόμενον πρὸς θεοὺς ὕμνον. ἐπεξιακχάσας] ᾄσας.

v. 621. σοὶ συμφέρεσθαι καὶ κτανὼν θανεῖν πέλας] A. συστῆναί σοι καὶ φονεῦσαι, ἀποθανὼν ἐγγύς.

συμφέρεσθαι] B. συμπαρατάττεσθαι.

v. 622. ἀτιμαστῆρα] B. τὸν ἀτιμάσαντα αὐτὸν πρώην.

v. 623. τὸν αὐτὸν] B. ὅνπερ σὺ αὐτόν. τίσασθαι] τιμωρῆσαι.

v. 624. τοιαῦτ' ἀϋτεῖ] A. φωνεῖ καὶ βοᾷ ἡ Πολυνείκους βία, περιφραστικῶς, αὐτὸς ὁ Πολυνείκης, καὶ καλεῖ τοὺς θεοὺς τοὺς γενεθλίους τῆς πατρικῆς χώρας, γενέσθαι παντελῶς ἐποπτῆρας καὶ ἐπιτηρητὰς τῶν εὐχῶν αὐτοῦ, καὶ βοηθοὺς γενέσθαι αὐτῷ, ἐπακούσαντας τῶν εὐχῶν αὐτοῦ. Ἐστὶ δὲ ἡ περίφρασις ἡ διὰ πλειόνων λέξεων ἕν τι δηλοῦσα φράσις, ἐκ περιττῶν γὰρ γίνεται λέξεων. Αὐξάνει δὲ τὸν ἔπαινον τοῖς ὑποκειμένοις προσώποις, ὡς τό, ἱερὸν μένος Ἀλκινόοιο, καί, ἱερὰ ἲς Τηλεμάχοιο, καί, βίη Ἡρακλείη, ἤγουν ὁ Ἀλκίνοος, ὁ Τηλέμαχος, καὶ ὁ Ἡρακλῆς. (Odyss. H. 167. B. 409. Il. Λ. 689.)

γενεθλίους] B. πατρῴους.

v. 625. ἐποπτῆρας] B. ἐπακουστὰς καὶ πληρωτάς.

v. 626. ὧν] B. ἰδίων. πάγχυ] λίαν.

v. 627. ἔχει δὲ καινοπηγὲς εὔκυκλον σάκος] A. ἔχει δέ, φησίν, ὁ Πολυνείκης ἀσπίδα παραδόξως κατεσκευασμένην, εὔκυκλον· καὶ ἐν αὐτῇ ἔχει σημεῖον κατεσκευασμένον διπλοῦν, ἤτοι ἄνδρα στρατιώτην, χρυσῷ κατεσκευασμέ-

νον, καὶ γυναῖκα ἔμπροσθεν ἐκείνου πορευομένην σωφρόνως. Ὁ οὖν ἀνὴρ ὃς ἵσταται ἐπὶ τῆς ἀσπίδος ἐζωγραφημένος, ὁ Πολυνείκης ἐστί, καὶ ἔμπροσθεν ἐκείνου εἰκονισμένη ἐστὶ γυνὴ σωφρόνως πορευομένη καὶ οὐκ ἀσχημόνως· αὕτη δέ ἐστιν ἡ δίκη, καὶ ἔχει ἄνωθεν ἑαυτῆς γράμματα λέγοντα, ὅτι ἐγώ εἰμι ἡ δικαιοσύνη· καὶ ἐπεὶ ἀδίκως ἐξῶσεν ὁ Ἐτεοκλῆς τὸν Πολυνείκην ἀπὸ τῆς ἑαυτοῦ πατρίδος, πάλιν ἐγὼ κατάξω τοῦτον τὸν Πολυνείκην εἰς τὴν ἑαυτοῦ πατρίδα, καὶ βασιλέα ταύτης ποιήσω. Γράφεται δὲ καὶ εὔθετον σάκος, ἀντὶ τοῦ εὔκυκλον. Ἵνα ἢ εὔθετον, τὸ εὐβάστακτον. Θεῖν γὰρ τὸ ἀναλαβεῖν λέγουσιν οἱ Ἀττικοί. Καί, ὅπλα ἔθεντο, ἀντὶ τοῦ ἀνέλαβον.

καινοπηγὲς] B. παραδόξως κατεσκευασμένον.

v. 628. προσμεμηχανευμένον] B. ἐκ μηχανῆς πεποιημένον.

v. 629. τευχηστὴν] A. ὁπλίτην.

χρυσήλατον] B. ἐκ χρυσοῦ κατεσκευασμένον. τευχηστὴν] ὡπλισμένον.

v. 630. ἡγουμένη] B. προοδοποιοῦσα.

v. 633. ἐπιστροφὰς] B. διατριβάς.

v. 634. τἀξευρήματα] B. μηχανήματα.

v. 636. ἀνδρὶ τῷδε] A. ἀντὶ τοῦ, ἐμοί, οὐ μέμψῃ ἐμοὶ ὧν ἀπήγγειλα.

ἀνδρὶ τῷδε] B. ἐμοί.

v. 637. ναυκληρεῖν πόλιν] A. περιέπειν, φροντίζειν τῆς πόλεως.

ναυκληρεῖν] B. σώζειν.

v. 638. ὦ θεομανές τε] A. ὦ θεοῖς ἐπιμαινόμενε. Ἐπιστρατεύῃ καὶ τῇ πατρίδι καὶ τοῖς πατρῴοις θεοῖς. Καὶ ὦ μέγα στύγος καὶ μῖσος τῶν θεῶν, ὦ πολλῶν δακρύων ἄξιε ἀδελφέ (λέγει δὲ ταῦτα ὁ Ἐτεοκλῆς πρὸς τὸν Πολυνείκην) φεῦ μοι, αἱ δὲ τοῦ πατρός, ἤγουν τοῦ Οἰδίποδος, κατάραι, νῦν τέλος φέρουσιν ἑαυτῶν. Κατηράσατο γὰρ ὁ Οἰδίπους διὰ σιδήρου καὶ αἵματος γενέσθαι αὐτοῖς τὴν διανομὴν τῶν χρημάτων.

θεομανὲς] B. θεόργητον. στύγος] μίσημα.

v. 639. πανδάκρυτον] B. πολυπενθές.

v. 641. ἀλλ' οὔτε κλαίειν] A. ὁ Ἐτεοκλῆς εἰς θρῆνον τραπεὶς διὰ τὰς τοῦ πατρὸς ἀράς, καὶ διὰ τὴν πρὸς τὸν ἀδελφὸν μάχην, ἵνα μὴ ὑπὸ τοῦ θρήνου ταράξῃ τοὺς πολίτας, πάλιν μεταφέρει ἑαυτόν, καί φησιν, ἀλλ' οὔτε κλαίειν οὔτε ὀδύρεσθαι πρέπει νῦν, ἵνα μὴ καὶ ἀφόρητος γόος καὶ χαλεπὸς τεκνωθῇ, ἤγουν αὐξηθῇ, ἐν τῇ πόλει.

v. 642. τεκνωθῇ] B. παρὰ τῆς πόλεως ἀναφύῃ. δυςφορώτατος] δυςχερέστατος τίς γὰρ ἰδὼν τὸν βασιλέα θρηνοῦντα, οὐ μᾶλλον τότε ἢ πρώην θρηνεῖν ἐθελήσει;

v. 643. ἐπωνύμῳ] A. τοῦτό φησιν ὅτι ταχέως γνώσομεν τὰ ἐπὶ τῆς ἀσπίδος ἐπίσημα ποῦ τελεσθήσεται, καὶ εἰς τί καταντήσει τῷ Πολυνείκει τῷ ἐπωνύμῳ. Πάνυ γὰρ τὸ ἐπώνυμον τῇ φιλονεικίᾳ συμφωνεῖ. Ἐτυμολογεῖται γὰρ τὸ ὄνομα ἀπὸ τοῦ πολὺ καὶ τοῦ νείκους, ἡ φιλονεικία.

v. 643. ἐπωνύμῳ] B. τῷ κατ' ἐπώνυμα φιλονείκῳ.

v. 644. ὅποι τελεῖ] B. ὅπου ἄγει, φέρει.

v. 645. χρυσότευκτα γράμματα] A. οὐκ εἶπεν, θεὸς ἢ ἄνθρωπος, ἀλλὰ τὰ χρυσᾶ γράμματα.

νιν] B. αὐτόν. κατάξει] εἰς τὴν πατρίδα.

v. 646. φλύοντα] A. φλυαροῦντα.

σὺν φοίτῳ φρενῶν] B. σὺν μανίᾳ.

v. 647. εἰ δ' ἡ Διὸς παῖς] A. ἐὰν δὲ ἡ παρθένος παῖς τοῦ Διὸς ἡ Δίκη (τοῦ Διὸς γὰρ θυγάτηρ λέγεται αὕτη) παρῆν τοῖς ἔργοις ἐκείνου καὶ ταῖς φρεσί, τοῦτ' ἔστιν, ἐὰν τὴν δίκην εἶχεν ὁ Πολυνείκης συμπαροῦσαν καὶ ἔργοις καὶ λόγοις καὶ ἐνθυμήμασιν ἑαυτοῦ, καὶ οὐ κατὰ πάντα ἦν ἄδικος, τάχα ἂν τοῦτο ὑπῆρχεν, ἤγουν τὸ Δίκην βοηθῆσαι αὐτῷ, καὶ εἰσάξαι εἰς τὴν πατρίδα, καὶ νικῆσαι ἡμᾶς.

παρῆν] B. ὑπῆρχεν.

v. 648. τάχ' ἂν τόδ' ἦν] B. τὸ τῆς καταγωγῆς.

v. 649. φυγόντα μ. σκότον] A. ἀντὶ τοῦ γεννηθέντα.

φυγόντα μητρόθεν σκότον] B. πεσόντα τῆς μητρικῆς γαστρὸς καὶ εἰς φῶς ἐλθόντα. Βούλεται δὲ διὰ τούτων πάντων παριστᾷν καὶ ἐλέγχειν αὐτὸν ὡς ἄδικον.

v. 650. τροφαῖσιν] B. ἀνατροφαῖς. ἐφηβήσαντα] εἰς ἥβην ἐλθόντα καὶ νεάνισκον γενόμενον.

v. 651.

v. 651. συλλογῇ τριχώματος] A. οὐ γὰρ ἀθρόως φύεται, ἀλλὰ συλλέγεται κατ' ὀλίγον.

v. 652. προςεῖπε καὶ κατηξιώσατο] A. εἶδεν αὐτὸν καὶ ἐφίλησε. Ἀντὶ τοῦ, ἐν οὐδεμιᾷ ἡλικίᾳ ἔπραξέ τι δίκαιον.

προςεῖπε] B. ἠσπάσατο. κατηξιώσατο] ἐτίμησε.

v. 653. οὔτ' ἐν πατρῴας] A. καὶ μὲν δὴ οὐδὲ ἐπὶ κακώσει τῆς πατρῴας χώρας ἐγγύς αὐτοῦ ἔσται ἡ Δίκη.

κακουχίᾳ] B. ὀλέθρῳ.

v. 654. νιν] B. αὐτόν. συμπαραστατεῖν] συνεῖναι.

v. 655. δῆτ'] B. ἄρα.

v. 656. παντόλμῳ φρένας] B. θρασυτάτῳ καὶ ἀδικωτάτῳ.

v. 657. τούτοις] B. οἷς εἶπον. ξυστήσομαι] συμπαρατάξομαι.

v. 658. ἐνδικώτερος] B. ἢ ἐγώ.

v. 660. ὡς] B. λίαν.

v. 661. κνημῖδας] B. τὰς τοῖς ποσὶ καὶ τοῖς σκέλεσι περιβαλλομένας πρὸς φυλακήν. Ἢ κνημῖδας, τὰ σκουτάρια· καὶ γὰρ ταῦτά τις περιπεφραγμένος ἐντέχνως καὶ περικαλυψάμενος φυλάσσει ὅλῳ τῷ ἑαυτοῦ σώματι, καὶ αἱ προςβολαὶ καὶ ῥίψεις συνεχεῖς τῶν βελῶν καθάπτονται καὶ ἐμβάλλονται τῷ αὐτοῦ σώματι, ὡς περιτετειχισμένῳ καὶ καλῶς ὡπλισμένῳ.

αἰχμῆς, καὶ πετρῶν προβλήματα] B. τὰ προβλήματα τῆς αἰχμῆς ἤτοι τὴν αἰχμὴν, περιφραστικῶς, ἣν προβαλλόμεθα εἰς μάχην. Γράφεται καὶ πτερῶν, καὶ τὸ μὲν πετρῶν εἴποις οὕτως, τὰ προβλήματα τῶν πετρῶν ἤτοι τὴν ἀσπίδα, ἣν προβαλλόμεθα τοῦ σώματος, καὶ δι' ἧς τοὺς ἐκ πολεμίων ἡμῖν ἐπιόντας λιθασμοὺς δεχόμεθα. Τὰ δὲ πτερῶν προβλήματα τοὺς οἰστοὺς νοεῖ.

v. 662. τέκος] B. τέκνον.

v. 663. ὀργὴν ὅμοιος] A. τὸν τρόπον ὅμοιος τῷ ἀδελφῷ σου. τῷ κάκιστ' αὐδωμένῳ] τῷ βλασφημουμένῳ ὑπὸ σοῦ.

ὀργὴν] B. κατά. τῷ κάκιστ' αὐδωμένῳ] τῷ κακωνύμῳ Πολυνείκῃ.

v. 664. ἅλις] B. ἀρκετόν ἐστι.

v. 665. αἷμα γὰρ καθάρσιον] A. τί δὲ αἰνιττόμενος διὰ τούτου τοῦ λόγου φησίν; ὅτι πᾶς ἄλλος φόνος καθαίρεται. Ὁ γὰρ τῶν ἀλλοτρίων καὶ πολεμίων γινόμενος φόνος, κάθαρσιν ἐπιδέχεται· ἡ δὲ μισητὴ ἀδελφοκτονία, οὐδέποτε καθαίρεται. Ἄλλως. Καθαρὸν τὸ αἷμα τῶν ἀλληλοκτονούντων ξένων ἐν πολέμῳ, τὸ δ' ἀδελφοκτονεῖν, ἄντικρυς φονέων ἔργον. Ὑπερβατὸν δέ ἐστιν, ἵνα ᾖ, αἷμα γὰρ κάθαρσιν οὐκ ἐπιδέχεται, ὅταν ἀδελφοὶ ἀλληλοκτόνοι γένωνται.

εἰς χεῖρας] B. εἰς μάχην. αἷμα γὰρ καθάρσιον] ὁ τούτων πρὸς ἀλλήλους φόνος ἀνεύθυνός ἐστι, καὶ καθαρὸς μιάσματος. Κάθαρμα, καθάρσιον, κάθαρσις· καθάρσιον τὸ καθαῖρον· κάθαρσις αὐτὴ ἡ ἐνέργεια τῆς καθάρσεως· κάθαρμα δὲ αὐτὸ τὸ εἰς κάθαρσιν διδόμενον, οἷον λιμοῦ συμβάντος παρ' Ἕλλησιν, ἢ τινος ἄλλου τῶν ἀπευκτῶν, λαμβάνοντες τὸν ἀηδέστατον καὶ παρὰ τῆς φύσεως ἐπιβεβουλευμένον πηρόν, χωλόν, τοὺς τοιούτους, τοῦτον ἔθυον εἰς ἀπαλλαγὴν τοῦ ἐνοχλοῦντος δαίμονος. Ἐνταῦθα δὲ καθάρσιον αἷμα λέγεται καθαρὸν καὶ ἐλεύθερον μιάσματος.

v. 667. οὐκ ἔστι γῆρας] A. ἤγουν ἔκλειψις. Τοῦτ' ἔστι, διὰ παντὸς γνωσθήσεται τοῦτο τὸ μίασμα.

γῆρας] B. τέλος, ἀφανισμός. Δέον δὲ εἰπεῖν ὡς οὐδέποτε εἰς λήθην ὁ τῶν ἀδελφῶν θάνατος ἔρχεται. Ὁ δὲ ποιήσας ἐπανάληψιν πρὸς γενικὴν ἔτρεψεν, εἰπών, οὐκ ἔστι γῆρας τοῦδε τοῦ μιάσματος· ἤγουν οὐδέποτέ ἐξαλείφεται τοῦ γένους καὶ τῆς πόλεως ἡ τοιαύτη παρανομία. Τὸ δὲ ὧδ' αὐτοκτόνος ἀντὶ τοῦ ὑπ' αὐτῶν τῶν ἀδελφῶν πραχθεὶς ὁ θάνατος καὶ οὐχ ὑπ' ἄλλων. Δέον δὲ εἰπεῖν αὐτοκτόνοιν πρὸς τὸ ἀνδροῖν, αὐτοκτόνος εἶπε πρὸς τὸ θάνατος. τοῦ μιάσματος] τῆς ἁμαρτίας.

v. 668. εἴπερ κακὸν φέροι τις] A. εἰ ὅλως τὶς ἀτυχεῖ, καλὸν τὸ δίχα αἰσχύνης. αἰσχύνης ἄτερ] τοῦτό φησι, τὸ εὐκλεῶς ἀποθανεῖν, διὰ τὸ τιμωρῆσαι τοὺς ἐχθρούς. Ὁ γὰρ ἄντικρυ καὶ ἀντιπρόσωπον τῶν πολεμίων ἀνθιστάμενος

καὶ ἀντιπαλαμώμενος, καὶ μὴ ἀντιστρέψας καὶ νῶτα διδοὺς τοῖς ἐχθροῖς, ἐκεῖνος, φημί, τὸν θάνατον ἐπιδέχεται ἐντίμως καὶ εὐκλεῶς, καὶ ἀεὶ ἐπαινεῖται καὶ μακαρίζεται.

κακὸν] B. κίνδυνον.

v. 669. μόνον γὰρ κέρδος] A. ἡ εὔκλεια ἓν κέρδος, τὸ αὐτὸν ἐκδικῆσαι ἀδικούμενον. Ἐὰν δέ τις ἀνεκδίκητος ἀποθάνῃ, ἕνεκά γε τῶν εἰς αὐτὸν γενομένων κακῶν καὶ αἰσχρῶν, ἄδοξος.

ἐν τεθνηκόσι] B. τουτέστι τὸ χωρὶς αἰσχύνης τεθνάναι.

v. 671. τί μέμηνας τέκνον] A. ὁ χορὸς βλέπων Ἐτεοκλέα σπεύδοντα πρὸς Πολυνείκην ἐξελθεῖν, φησὶ πρὸς αὐτόν, τί μέμηνας καὶ ὀργίζῃ; μὴ φερέτω καὶ κινείτω σε τὶς ἄτα καὶ βλάβη θυμοῦ γέμουσα καὶ πρὸς πόλεμον μαινομένη. Τοῦτο γὰρ τὸ δορίμαργος, ἡ τῷ δορί, ἀφ' οὗ δηλοῖ τὸν πόλεμον, μαινομένη.

τί μέμονας] B. γράφεται καὶ μέμονας καὶ μέμηνας, καὶ τὸ μὲν μέμηνας ἀντὶ τοῦ ἐκμαίνῃ, τὸ δὲ μέμονας ἀντὶ τοῦ μένῃς εἰς ταύτην τὴν γνώμην, καὶ οὐκ ἀφίστασαι. θυμοπληθὴς] πλήρης θυμοῦ. δορίμαργος] μανικὴ πρὸς πόλεμον.

v. 672. κακοῦ] B. τοῦ πολέμου. ἀρχὰν] τὴν γνώμην, τὴν ὁρμήν.

v. 674. ἐπεὶ τὸ πρᾶγμα] A. ἐπεὶ βούλημά ἐστὶ τοῦ θεοῦ τοῦ Ἀπόλλωνος τὸ ἡμᾶς ἀποθανεῖν, καὶ αὐτὸς ἐπισπεύδει καὶ βιάζεται τοῦτο, ἐλθέτω πρὸς τὸν ᾅδην ἅπαν τὸ τοῦ Λαΐου γένος, ἤγουν ἡμεῖς οἱ ἀπὸ τοῦ Λαΐου καταγόμενοι. Ἐλθέτω οὖν, φησί, κατ' εὐθεῖαν τὸ τοῦ Κωκυτοῦ κῦμα (οὗτος δὲ ποταμὸς ᾅδου, οὗ πορθμεὺς ὁ Χάρων) ὅτι πᾶν τὸ Λαΐου γένος κεκλήρωται τούτῳ, ὑπὸ τοῦ Ἀπόλλωνος μισηθέν. Ἐπεὶ γὰρ ὁ θεὸς καθαρὸς καὶ ἀμίαντος ὤν, παρήγγειλε τῷ Λαΐῳ, μὴ κοινωνεῖν τῇ γυναικὶ, μηδὲ συνουσιάζειν αὐτῇ, οὗτος δὲ παρήκουσεν αὐτοῦ, καὶ ἐγένετο ἀνόμφος πατήρ, διὰ τοῦτο ἐμίσησεν ἅπαν τὸ γένος αὐτοῦ.

τὸ πρᾶγμα] B. τὸν ἡμέτερον ἀφανισμόν. ἐπισπέρχει θεὸς] ἐπισπεύδει ἡ τύχη, ἢ ὁ Ἀπόλλων.

O 2

v. 675. κὰτ' οὖρον] B. καθ' ὁρμὴν, καθ' ὁδόν. κῦμα Κωκυτοῦ λαχὸν] ἤγουν ἀπώλειαν καὶ φθορὰν κληρωσάμενον.

v. 676. πᾶν τὸ Λαΐου γένος] B. ὡς παραβεβηκός.

v. 677. ὠμοδακὴς] A. ἡ ἄλογος ἄγαν ἐπιθυμία παρορμᾷ καὶ κινεῖ σε τελεῖν καὶ ποιεῖν ἀνδροκτασίαν, πικρὸν καρπὸν καὶ κέρδος ἔχουσαν, ἕνεκεν αἵματος καὶ φόνου οὐ δικαίου. Τοῦτ' ἔστιν, ὅτι μέλλουσιν οἱ ἀδελφοὶ ἀλλήλους ἀναιρεῖν.

ὠμοδακὴς] B. ἀπηνής, ἄγριος. ἵμερος] ἐπιθυμία.

v. 678. πικρόκαρπον] B. πικρὸν κέρδος ἔχουσαν. ἀνδροκτασίαν τελεῖν] διαχείρησιν, φόνον ποιεῖν.

v. 679. αἵματος οὐ θεμιτοῦ] B. φόνου ἀνοσίου διὰ τὴν συγγένειαν.

v. 680. ἀρὰ] B. ποταπή.

v. 681. ξηροῖς ἀκλαύστοις ὄμμασι] A. ἀσυμπαθέσιν, ἀναλγήτοις.

ἀκλαύστοις ὄμμασι προσιζάνει] B. ἀκαμπέσι καὶ ἀσυμπαθέσιν ὀφθαλμοῖς προσιζάνει, καὶ προσκαθίζει καὶ ἐφορᾷ ἡμᾶς, καὶ οὐδαμῶς ὑφίεται τῶν κακῶν, ἀλλ' ἐπισπεύδει τὸν ἡμῶν θάνατον.

v. 682. λέγουσα κέρδος] A. κέρδος μοι ὑποτιθεμένη τὸ προτερῆσαι ἀποκτείναντα, ἢ ὑστερῆσαι· ὅτι κρεῖττον τὸ προφθάσαι ἀναιρήσαντα τὸν πολέμιον, ἢ καὶ ἐᾶσαι ἐκεῖνον ὕστερον ζῆν, καὶ ἀναιρεθῆναι ὑπ' ἐκείνου.

κέρδος] B. τὸ νῦν τεθνᾶναι. πρότερον] τιμιώτερον.

v. 683. κακὸς οὐ κεκλήσῃ] A. καλῶς γὰρ καὶ ἐναρέτως ζήσας πρὸς τοὺς θεοὺς καὶ τὸν βίον εὖ διάξας, οὐ νομισθήσῃ φαῦλος. Οὐδὲ ἡ τὴν φοβερὰν καὶ μέλαιναν ἔχουσα αἰγίδα ἐριννὺς εἶσι καὶ εἰσέρχεται ἐπὶ τὸν οἶκον ἐκείνου τοῦ ἀνθρώπου, οὗ ἂν ἐκ τῶν χειρῶν θεοὶ θυσίαν προσδέχωνται. Ἀντὶ τοῦ καθαρὰς τὰς χεῖρας ἔχοντος.

ἀλλὰ] B. καὶ ἀλλά. 'ποτρύνου] ὅρμα.

v. 684. βίον] B. ζωήν. εὖ κυρήσας] εὐτυχήσας. μελαναιγὶς] μέλαιναν αἰγίδα φοροῦσα.

v. 685. δόμον] B. τὸν σόν. ἐκ χερῶν] σου.

v. 687. θεοῖς μὲν ἤδη] A. τοῖς μὲν θεοῖς, φησὶν, ἄρτι καταπεφρονήμεθα. Ἀγαθοεργία δέ τις ἀφ' ἡμῶν θαυμάζεται, ὀλομένων, ἤγουν ἀποθανόντων, ἡμῶν. Μετὰ θάνατον γάρ, φησίν, αἱ πράξεις τῶν ἀνθρώπων θαυμάζονται. Τί οὖν οὐχὶ γενναῖόν τι δράσαντες, εὐκλεῶς ἀποθανούμεθα, τὸν Πολυνείκην ὡς ἀσεβῆ ἢ ἀσθενῆ ἀνελόντες· ἀλλὰ κολακεύομεν τὸν θάνατον, καὶ οὐχὶ χωροῦμεν πρὸς αὐτὸν ἀδεῶς; Ἄλλως. Χάρις δ' ἀφ' ἡμῶν ὀλομένων θαυμάζεται, ἤγουν τὴν ἀπώλειαν ἡμῶν ἐν χάριτος μοίρᾳ λαμβάνουσιν, ἤ, μετὰ θάνατον ἴσως εὐκλείας τευξόμεθα.

πως] B. τὸ πῶς ἐνταῦθα ἢ ἀντὶ τοῦ κατὰ πολύ, ἢ ἀντὶ τοῦ κατά τινα τρόπον. Εἰπόντος τοῦ χοροῦ ὡς δεήθητι τῶν θεῶν καὶ ἱκέτευσον τὴν τοῦ πατρὸς ἀπελάσαι, φησί, παροράθημεν τοῖς θεοῖς, καὶ οὐδεμίαν ἡμῶν φροντίδα ποιοῦνται, πῶς· λίαν. Ἀποθανόντων δὲ ἡμῶν θαυμάζεται χάρις, τουτέστι τιμὴ παρ' ἀνθρώποις ἐστὶ καὶ εὔκλεια. Τί οὖν οὐχὶ καὶ ἡμεῖς ζῆν ἀφέντες ὡς ἀπηχθημένοι θεοῖς, ὡς εὐκλέα τὸν θάνατον μεταδιώξομεν ὑπὲρ τῆς πατρίδος ἀγωνισάμενοι. Ἢ οὕτως, ἐπειδὴ τοῖς θεοῖς ἀπηχθήμεθα, θαυμάζεται ἀφ' ἡμῶν χάρις ὀλομένων, ἤγουν κάλλιστόν ἐστιν ἀπολέσθαι καὶ μὴ δυστυχῶς προσορᾶν τὸν ἥλιον, κατ' Εὐριπίδην γάρ, (Hec. 378.) τὸ ζῆν μὴ καλῶς μέγας πόνος. Ὅτι δὲ τοῦτο μᾶλλον δοκεῖ ἐκείνου, δῆλον ἐκ τοῦ μεταγομένου· τί οὖν σαίνοιμεν καὶ κολακεύοιμεν καὶ παρασύροιμεν ὀλέθριον μόρον, καὶ οὐ προθυμίᾳ πρὸς τοῦτον χρώμεθα ὡς εὐεργέτην καὶ τῶν κακῶν ἀπαλλαγήν, εἰ καὶ ὀλέθριος δοκεῖ τῷ τῶν ἀδελφῶν αἵματι.

v. 689. σαίνοιμεν] A. κολακεύοιμεν. Ἀπὸ μεταφορᾶς τῶν κυνῶν τῶν σαινόντων τὰς οὐρὰς αὐτῶν ὅταν πρὸς εὐωχίαν οἱ δεσπόται κληθῶσι· τούτους λέγομεν σαινούρεις.

σαίνοιμεν] B. κολακεύοιμεν, μεταχειριζοίμεθα, παραπετῶμεν.

v. 690. νῦν ὅτε σοι παρέστακεν] A. νῦν κολακευτέον τὸν θάνατον, ὅτε σοι οὗτος παρέστηκε καὶ ἐπῆλθέ σοι, ἐπεὶ ὁ θυμὸς χρονίως καὶ βραδέως ποτε ἴσως ἂν ἔλθοι, μετηλλαγμένος ἐν ἀνατροπῇ καὶ μεταλλοιώσει τοῦ φρονήματος,

ἐν θαλερωτέρῳ καὶ ἀσθενεστέρῳ καὶ ἀναπεπτωκότι πνεύματι· νῦν δὲ ἀκμὴν ἀναβράζει ὁ θυμός. Τοῦτο δὲ λέγει, ὑπολαμβάνω ὅτι ἴσως ὀψέ ποτε ἀναπεσεῖς καὶ ῥαθυμήσεις, καὶ τὸν θυμὸν καταστελεῖς, καὶ οὐ θελήσεις ἀποθανεῖν.

δαίμων] B. τὸ δαίμων, ἢ ἐπὶ τῆς τύχης νοητέον, ἢ περὶ τοῦ θυμοῦ, ὃν κατ' ἀλλήλων ἄμφω τὼ ἀδέλφω ἔχουσιν.

v. 691. λήματος ἀντροπαίᾳ] B. φρονήματος μεταβολῇ. χρονίᾳ μεταλλακτὸς] μετὰ ταῦτα ἐνηλλαγμένος.

v. 692. θαλερωτέρῳ] B. μαλακωτέρῳ. Λέγει δὲ ὡς εἰ μὲν νῦν ἐθελήσεις αὐτὸν ῥῖψαι πρὸς κίνδυνον, τάχα ἂν ἡ τύχη εὐμενέσιν ὑμᾶς προςβλέψει τοῖς ὀφθαλμοῖς, εἰ καὶ τὰ μέγιστα νῦν χαλεπαίνει.

v. 693. ζεῖ] B. ἐκμαίνεται, ἀκμάζει.

v. 694. κατεύγματα] A. ἀραί.

ἐξέζεσε] B. ναί· ἐξένηψεν αὐτόν. κατεύγματα] αἱ κατάραι.

v. 695. ἄγαν δ' ἀληθεῖς] A. ὡς τοῦτο ἐν τοῖς ὀνείροις ~~ἰδὼν ὁ Ἐτεοκλῆς~~ φαντάζεις, ὅτι δι' αἵματος αὐτοῖς ἔσται ἡ τῶν χρημάτων διανομή.

Φασμάτων ἐνυπνίων] B. οὐ μόνον Οἰδίπους κατηράσατο τοῖς παισὶ σιδήρῳ τὸ δῶμα καταλαχεῖν, ἀλλὰ καὶ Ἐτεοκλῆς ἔννυχον ὄψιν εἶδε τοῦτο φαντάζουσαν.

v. 696. δατήριοι] B. μεριστρίαι.

v. 697. οὐ στέργων] B. ἀποδεχόμενος ταῦτα.

v. 698. ὧν ἄνυτις] A. ἀνύσιμα καὶ τελεσθῆναι δυνάμενα.

λέγοιτ' ἂν] B. ἐκεῖνα. ὧν ἄνη τις] τελείωσις ἔσται. οὐδὲ χρὴ μακρὰν] πολυλογεῖν.

v. 700. τεθηγμένον] B. ὡρμημένον, καὶ πρὸς τοῦτο παρασκευασθέντα εὐψύχως.

v. 701. νίκην γε μέντοι] A. τοῦτο λέγει, ὅρα μὴ τὸν ἀδελφόν σου φονεύσας, τιμωρίαν ὑπόσχῃς. Τὴν γὰρ κακὴν δίκην ἢ νίκην, λέγω δὲ τὴν γενομένην ἀνόμως, τιμωρεῖται ὁ θεός· ἢ κατ' ἐρώτησιν ἀναγνωστέον, ἀντὶ τοῦ, ἀποδέχεται ὁ θεὸς καὶ τιμᾷ τὴν ἐπὶ κακῷ νίκην;

μέν τοι] B. ὅμως. τιμᾷ] ἀποδέχεται.

v. 702. οὐκ ἄνδρ' ὁπλίτην] A. οὐχὶ χρὴ καὶ πρέπει ἐμὲ ἀγαπᾷν καὶ στέργειν τὸν ὑμέτερον λόγον, ὡς στρατιώτην ὄντα, καὶ σπεύδοντα τιμωρήσασθαι τὸν ἐχθρόν.

στέργειν] B. ἀποδέχεσθαι.

v. 703. δρέψασθαι] B. λαβεῖν.

v. 704. ἐκφύγοι] B. ὁ ἀδελφός μου.

v. 705. πέφρικα τὰν ὠλεσίοικον] A. δέδοικα τὴν τοὺς οἴκους ἀφανίζουσαν θεὸν Ἐρινὺν, οὐδὲν ἔχουσαν θεοῖς ὅμοιον. Πᾶς γὰρ θεός, ἀγαθοποιός. Θεοὶ γὰρ δωτῆρες ἐάων. (Odyſſ. Θ. 325.)

ὀλεσίοικον] B. τὴν φθείρουσαν τοὺς οἴκους. οὐ θεοῖς ὁμοίαν] οἱ γὰρ θεοὶ εὖ ποιοῦσιν, αὐτὴ δὲ κακοποιεῖ.

παρεκελεύσατο] B. ἐδήλωσε τῷ Ἐτεοκλεῖ.

v. 707. παναληθῆ, κακόμαντιν] A. τὴν ἐπὶ κακοῖς ἀληθεύουσαν. Ἃ γὰρ εἶπε νύκτωρ, ταῦτα ἐγένετο.

κακόμαντιν] B. τὰ κακὰ τοῖς ἀνθρώποις μαντευομένην.

v. 708. πατρὸς εὐκταίαν Ἐριννὺν] A. ἣν ἐπηύξατο Οἰδίπους τελέσαι τὰς ἀράς.

εὐκταίαν] B. τὴν ἐξ ἀρᾶς γινομένην.

v. 709. περιθύμους] B. τὰς ἐκ πλείστου θυμοῦ γενομένας.

v. 710. βλαψίφρονος] B. βεβλαμμένου τὰς φρένας, οὐ γὰρ ἂν ἠράσατο τοῖς παισί.

v. 711. παιδολέτωρ δ' Ἔρις τάδ' ὀτρύνει] A. ταῦτα παρορμᾷ. Δῆλον δέ, ὅτι ἐν ταῖς αἰχμαλωσίαις τὰ παιδία ἀναιρεῖται. Ὑποκοριστικῶς δὲ τὴν Ἐριννὺν Ἔριν εἶπεν.

ὀτρύνει] B. ἐκμαίνει, διεγείρει τοὺς ἀδελφοὺς κατ' ἀλλήλων.

v. 712. ξένος δὲ κλήρους] A. ποιητικῶς πάνυ ταῦτά φησι. Τὸν γὰρ Χαλυβαϊκὸν καὶ Σκυθικὸν σίδηρον φησὶ ταῦτα πράττειν. Σεσωματοποίηκε γὰρ τὸν σίδηρον, ὅν φησιν οὕτως ταῦτα κινεῖν κατὰ τῶν παίδων τῶν τὰ χρήματα δάσασθαι βουλομένων, καὶ διὰ ταῦτα πολεμούντων. Οὗτος οὖν, φησί, μερίζει τοῖς παισὶ τούτοις καὶ ὥσπερ ἀποκληροῖ

οὐχὶ πεδία μεγάλα, ἀλλὰ παντελῶς μικρὰ, δυνάμενα μόνον αὐτῶν τὰ σώματα χωρῆσαι πεπτωκότα. Ὅταν μέντοι αὐτοὺς κτάνωσι, καὶ ἡ πατρῷα αὐτῶν κόνις πίῃ τὸ αἷμα, τίς ἂν τὸ μῦσος αὐτῶν ἀποκαθάρῃ; ἢ, ὅταν ὁ ἕτερος ἀποκτείνας, αὐτὸς ζήσῃ, τίς αὐτὸν καθάρῃ τοῦ μύσους; ἐὰν, Φησίν, ἡ πατρία γῆ πίῃ τὰ αὐτῶν αἷμα. Ἔνθεν καὶ αὐτόχθονας Φαμέν.

ἐπινωμᾷ] B. ἐπιμερίζει.

v. 713. Χάλυβος] B. ἐπειδή περ εἰς τοὺς Χάλυβας εὕρηται ὁ σίδηρος, οἱ δὲ Χάλυβες μέρος τῶν Σκυθῶν, ἐντεῦθεν δὲ πανταχόσε τῆς γῆς μετενήνεκται, διὰ τοῦτο καλεῖ αὐτὸν ξένον ἤτοι Φίλον τοῦ Χάλυβος καὶ ἄποικον τῶν Σκυθῶν.

v. 714. κτεάνων χρηματοδότας] B. τῶν τοῦ Οἰδίποδος κτημάτων μεριστής.

v. 716. ναίειν] B. αὐτούς. διαπήλας] διὰ κλήρου δούς.

v. 717. Φθιμένοισι κατέχειν] A. τάφου μοῖραν ἀπομερίσας αὐτοῖς.

ὁπόσαν] B. δέον εἰπεῖν ὁπόση καὶ Φθιμένοισι ὁπόσην εἶπε πρὸς τὴν ὄπισθεν αἰτιατικήν, μὴ οὖν λάμβανε ἔξωθεν τὸ εἰκὸς ὥς τινες. Ἢ οὕτως, ὁπόσην ἐστὶ δηλονότι καὶ τοῖς Φθιμένοισι κατέχειν. Φθιμένοισι] τοῖς ἀποθανοῦσι.

v. 718. μεγάλων πεδίων] B. τῆς Βοιωτίας.

v. 719. αὐτοκτόνως] B. ἀλληλοΦόνως.

v. 720. αὐτοδάϊκτοι θάνωσι] A. αὐτοὶ ἑαυτοὺς Φονεύσαντες, τῷ ἑαυτῶν σιδήρῳ ἑαυτοὺς τρώσαντες.

αὐτοδάϊκτοι] B. αὐτοσΦαγεῖς.

v. 722. μελαμπαγὲς] B. τὸ μετὰ τὸ πεπηγέναι μελαινόμενον.

v. 723. τίς ἂν καθαρμοὺς πόροι] A. τίς ἂν καθαρμὸς εὑρεθείη; τίς αὐτοὺς ἐκλύσει τοῦ τοιούτου μιάσματος;

καθαρμοὺς πόροι] B. αὐτοῖς μεμιασμένοις τῷ Φόνῳ.

v. 724. σφε] B. αὐτούς.

v. 725. παλαιοῖσι] B. τοῖς τοῦ Λαΐου. συμμιγεῖς] ἡνωμένοι.

v. 727. παλαιγενῆ γὰρ λέγω] A. παλαιὰν γὰρ λέγω παραβασίαν, τὴν παρὰ τοῦ Λαΐου γενομένην (παρέβη γὰρ τὸν χρησμὸν τοῦ Ἀπόλλωνος) τὴν ὠκύποινον, τὴν ταχέως τιμωρήσασαν καὶ μετελθοῦσαν ἐκεῖνον. Μένει δὲ ἀκμὴν καὶ εἰς τρίτην γενεάν, Λαΐου, Οἰδίποδος, καὶ τῶν τέκνων αὐτοῦ, Ἐτεοκλέους καὶ Πολυνείκους.

v. 728. παραβασίαν ὠκύποινον] B. παράβασιν, τὴν ταχέως τιμωρηθεῖσαν.

v. 729. αἰῶνα δ' ἐς τρίτον] B. γενεαὶ Λαΐου, Οἰδίποδος, Ἐτεοκλέους, Πολυνείκους. μένει] ἡ παράβασις ἐξ ἐκείνου τοῦ χρόνου.

v. 730. Ἀπόλλωνος εὖτε Λαΐος] A. ὁπηνίκα ἦλθεν ὁ Λαΐος, λείπει δὲ τοῦτο, τοῦ Ἀπόλλωνος εἰπόντος πρὸς αὐτὸν ἐν τοῖς Πυθικοῖς μαντείοις, σώζειν τὴν πόλιν, θνήσκοντα γέννας ἄτερ, ἤγουν χωρὶς παιδοποιΐας, μὴ τεκνοποιήσαντα. Διὰ δὲ τοῦ εἰπεῖν, ὅτι τρὶς εἶπεν ὁ θεὸς τῷ Λαΐῳ, Μὴ σπεῖρε τέκνων ἄλοκα, ἐπεὶ κτενεῖ σε ὁ φύς, τὸ φιλάνθρωπον ἐμφαίνεται καὶ κηδεμονικὸν τοῦ θεοῦ. Αὐτὸς δὲ ὁ Λαΐος παρωσάμενος τὰς τοῦ θεοῦ ἐντολάς, ὑπὸ τῶν αὐτοῦ φίλων ἡδονῶν κρατηθείς, ἢ τῆς γυναικός· κρείσσω γὰρ τὰ πάθη τῶν λογισμῶν· ἢ τῶν συγγενῶν ἐκ φίλων, οἷς ἀνεκοινώσατο τὸν χρησμόν· ἐγέννησε τὸν πατροκτόνον Οἰδίποδα, θάνατον ἑαυτῷ.

v. 731. βίᾳ] B. παρακοῇ. τρὶς] πολλάκις.

v. 733. γέννας] B. τέκνου.

v. 735. κρατηθεὶς δ' ἐκ φίλων] B. τῶν τῆς γυναικὸς φίλτρων. Τὸ δὲ οὐχ ὡς οἴονταί τινες περιττόν, ἀγνοοῦντες τὴν σύνταξιν, ἔχει γὰρ οὕτως· τὴν παλαιγενῆ γὰρ λέγω παραβασίαν τὴν ὠκύποινον καὶ τὴν ταχέως τιμωρηθεῖσαν, εὖτε καὶ ὁπηνίκα ὁ Λαΐος ἐν βίᾳ καὶ παρακοῇ τοῦ Ἀπόλλωνος εἰπόντος αὐτῷ τρὶς καὶ πολλάκις ἐν τοῖς μεσομφάλοις Πυθικοῖς χρηστηρίοις σώζειν τὴν πόλιν αὐτοῦ καὶ τὸ γένος

ἄπαν θνήσκοντα χωρὶς τέκνου. Πρὸς γοῦν τὸ βίᾳ Ἀπόλλωνός ἐστι καὶ τὸ κρατηθεὶς δέ, ἵν' ᾖ οὕτως, ἐν βίᾳ δὲ καὶ παρακοῇ τοῦ Ἀπόλλωνος, κρατηθεὶς δὲ ἐκ φίλων ἐν ἀβουλίᾳ, τουτέστι καὶ τὸν Ἀπόλλωνα παρακούσας, καὶ τῆς γυναικὸς ἡττηθεὶς ἀφρόνως, ἐγείνατο μὲν θάνατον αὐτῷ τὸν Οἰδίποδα, ποιεῖ δὲ τὴν δεινότητα ὁ δὲ σύνδεσμος, καὶ τὸ εἰπεῖν ἐν βίᾳ καὶ οὐκ ἐπαγαγὼν παραπλήσιον ὄνομα, ἀλλὰ μετοχήν. Ὅτι δὲ ταῦθ' οὕτως ἔχει, μαρτύριον ἔν τε ἄλλοις ποιηταῖς τε καὶ λογοποιοῖς, καὶ ὅπερ ἐν Σωκράτους ἀπολογίᾳ πεποίηκε Πλάτων, λέγων περὶ τῶν ποιητῶν ὅτι οὐ σοφίᾳ ποιοῖεν, ἀλλὰ φύσει τινὶ καὶ ἐνθουσιάζοντες, οὐ γὰρ φύσει τινὶ καὶ ἐνθουσιασμῷ εἶπεν, ἀλλὰ μετοχὴν ἤνεγκεν. Ἔχει δέ τι πλέον ἐνταῦθα Αἰσχύλος τὸ μὴ καί, ἀλλὰ δὲ θεῖναι, εἰ γὰρ ἦν καί, οὐ τοσοῦτον ἂν ἐδόκει τὸ δυσχερές.

v. 738. ὅστε μητρὸς] A. ὅστις ὁ Οἰδίπους ἔτλα καὶ ἐκαρτέρησε καὶ ὑπέμεινε, σπείρας ῥίζαν αἱματόεσσαν, ἤτοι ἀρχὴν γένους, ἵνα καὶ ὅπου ἐτράφη, ἤγουν εἰς τὴν τῆς μητρὸς αὐτοῦ γαστέρα, οὐχὶ πρὸς ἁγνὰν ἄρουραν, τοῦτ' ἔστιν οὐ πρὸς ὁσίαν καὶ νομίμην γυναῖκα. Ἡ δὲ ἄνοια συνέμιξε νυμφίους φρενώλεις, καὶ τὰς φρένας ἀπολέσαντας, τὸν Οἰδίποδα καὶ τὴν Ἰοκάστην. Ἄλλως. Ἔτλη δὲ ἀγνοίᾳ συναγαγεῖν τοὺς γάμους ὁ τὰς φρένας βλαβείς. Ἡ δὲ ἄγνοια, φησί, τὰς φρένας ἀπολλύουσα συνήγαγεν νυμφίους.

v. 739. ἵν' ἐτράφη] B. ὅπου σπέρμα καταβληθεὶς ηὐξήθη.

v. 740. ῥίζαν] B. γονήν. αἱματόεσσαν] συγγενικήν.

v. 741. παράνοια συνάγαγε νυμφίους φρενώλεις] B. μώρανσις ἥνωσε τὸν Οἰδίποδα καὶ τὴν Ἰοκάστην, τὰς φρένας αὐτῶν ἀπολέσαντας.

v. 743. κακῶν δ' ὥσπερ] A. τὰ κακὰ ὥσπερ θαλάσσης κῦμα, ἐρρεύσαν, καὶ τὰ μὲν ἐπὶ Λαΐου γέγονε, τὰ δὲ ἐπὶ Οἰδίποδος, τὰ δὲ νῦν· ἅτινα βρέμει καὶ ἠχεῖ περὶ τὸ ἄκρον τῆς πόλεως. Τοῦτο δὲ λέγει ὅτι τὸ μὲν τῶν κακῶν κῦμα πίπτει, τὸ δέ, ἐγείρεται, τὸ δέ, περὶ τὴν ναῦν προσρήγνυται.

κῦμ' ἄγει] B. συμφοράν.

v. 744. πιτνὸν] B. προσπίπτον. Ἄλλο δ' ἀείρει] ὑψοῖ. Ἡ μὲν σύνταξις ἀεῖρον ἀπήτει πρὸς τὸ πιτνόν, ὁ δὲ ἀείρει πρὸς τὸ θάλασσα εἶπεν.

v. 745. τρίχαλον] B. τραχύ.

v. 746. καχλάζει] B. ἠχεῖ.

v. 747. μεταξὺ δ' ἀλκὰ] A. μεταξὺ δὲ ἡμῶν καὶ τῶν πολεμίων τείνει καὶ τείνεται ἀλκὴ καὶ βοήθεια ἡμῶν, καὶ ἀποσόβησις τῶν πολεμίων δι' ὀλίγου. Τίς δέ ἐστιν ἡ ἀλκὴ ἡ μεταξὺ ἑκατέρων; ὁ πύργος τῆς πόλεως. Τοῦτ' ἔστι, μόνον τὸν πύργον τῆς πόλεως ἔχομεν βοηθοῦντα ἡμῖν καὶ τοὺς ἐχθροὺς ἀποσοβοῦντα.

ἀλκὰ] B. ἡμῶν, καὶ τῶν κακῶν ἀσφάλεια, βοήθεια.

v. 748. ἐν εὔρει] A. ἐν πλάτει, ἐν μεταιχμίῳ.

τείνει] B. φέρεται. ἐν εὔρει] ἐν πλάτει αὐτοῦ, τουτέστιν ὅσον τόπον καὶ πλάτος ἐπέχει ὁ πύργος, τοσοῦτόν ἐστι τὸ μεταξὺ ἡμῶν, καὶ τῶν κακῶν, ὅστις ἐστὶν ἀλκὴ καὶ βοήθεια δι' ὀλίγου τείνουσα καὶ φέρουσα.

v. 749. δέδοικα δὲ] A. Φοβοῦμαι μὴ σὺν τῷ Πολυνείκει καὶ Ἐτεοκλεῖ ἀφανισθῇ καὶ ἡ πόλις. Τέλειαι γὰρ καὶ εἰς τέλος ἐξερχόμεναι καὶ πληρούμεναι αἱ πάλαι ῥηθεῖσαι τοῦ Οἰδίποδος ἀραί· ὅτε ηὔξατο τοὺς ἑαυτοῦ υἱοὺς διὰ σιδήρου τὴν βασιλείαν διαμερίσασθαι. Ἢ, αἱ πάλαι χρησμῳδηθεῖσαι τῷ Λαΐῳ.

v. 751. τέλεια γὰρ παλαίφατοι] A. τὸ τέλεια ἀντὶ τοῦ τέλειαι. Ὑφῆκεν δὲ τὸ ι διὰ τὸ μέτρον.

παλαίφατοι] B. παλαίαι.

v. 752. βαρεῖαι καταλλαγαὶ] A. δυσχερὲς τὸ φιλιωθῆναι αὐτούς, διὰ τὰς κατάρας.

βαρεῖαι καταλλαγαὶ] B. τὸ γὰρ διὰ πολέμου καὶ μάχης αὐτοὺς βούλεσθαι τὸ δῶμα διαλαχεῖν βαρεῖα καταλλαγή, ἅτε φόνου συμβήσεσθαι μέλλοντος.

v. 753. τὰ δ' ὀλοὰ] A. τὰ δὲ δεινὰ καὶ ὀλέθρια οὐ παρέρχεται ψευδῶς καὶ μάτην, ἀφ' ἡμῶν, ὅσον οὔπω τελλόμενα ἀντὶ τοῦ τελούμενα καὶ πληρούμενα.

ὀλοὰ] B. ὀλέθρια. τελλόμεν'] γινόμενα. παρέρχεται] παύεται.

v. 754. πρόπρυμνα] A. ὁ δὲ ὄλβος καὶ ὁ πλοῦτος καὶ ἡ εὐτυχία τῶν ἀνδρῶν τῶν ἀλφηστῶν καὶ τῶν φρονίμων καὶ τῶν ἐφευρετῶν τῶν ἀναγκαίων πραγμάτων (τοῦτο δὲ λέγει διὰ τὸν Οἰδίποδα) ἄγαν παχυνθεὶς, ἤτοι πολὺς καὶ μέγας γενόμενος, ἐκφορεῖται καὶ ἐκβολὴν πάσχει καὶ ὑπομένει. Τοῦτο δὲ λέγει, ὅτι ἡ δόξα τοῦ Οἰδίποδος πολλὴ γενομένη καὶ ἄμετρος, νῦν ἀφανίζεται, καὶ ἐκδιώκεται, καὶ ἀπὸ τῆς πόλεως ἐκβάλλεται. Ἐκ μεταφορᾶς τῶν ἐμπόρων, οἵτινες πλοῦτον πολὺν σωρεύσαντες, καὶ παχυνθέντες τῷ ὄλβῳ, ὕστερον ἐκβολὴν ποιοῦνται τοῦ ὅλου φόρτου, ναυαγοῦντες καὶ κλυδωνιζόμενοι. Ἄλλως. Ὅταν δὲ παχυνθῶσιν οἱ ἄνδρες τῷ ὄλβῳ, τότε ὅλου τοῦ φόρτου ἐκβολὴν ποιοῦνται. Τοῦτο δὲ πρὸς Ἐτεοκλέα. Ἐκβολῶν δὲ, τῶν ὑβριστῶν, οἷον δι' ἐκβολῆς ὑβριζόντων.

πρόπρυμνα] B. δι' ὅλου, ἐσχάτως. Οἱ γὰρ ἀνδρῶν εἰς ἄκρον τοῦ φρονεῖν ἀφιγμένοι αὐξηθέντες τῇ τύχῃ καὶ μέγιστοι πάντων γενόμενοι ἄθροον ἀπέσβησαν, καὶ ἡ περὶ αὐτῶν τύχη εἰς οὐδὲν χωρεῖ, καὶ μάρτυς Οἰδίπους πρόσθεν τοῖς κλεινοῖς αἰνίγμασιν, ὥσπερ τις θεὸς θαυμαζόμενος, καὶ νῦν τὸν αἰῶνα διάγων ἀθλίως οἴμοι καὶ δυστύχως, ὑφ' ὅτου τις ἂν εἴποι μισούμενος καὶ σκότον κατ' Εὐριπίδην ὁρῶν. (Phoen. 390.) Τοῦτο δὲ εἶπεν ἐκ μεταφορᾶς τῶν ἐμπόρων οἵτινες πλοῦτον ἐξ ἐμπορίας πλεῖστον συλλέξαντες, εἶτα ναυαγίᾳ χρησάμενοι πάντα τὸν φόρτον ἀπώλεσαν, οἷς κέρδος ἦν συγκαταδῦναι τοῖς κύμασιν. ἐκβολὰν φέρει] ἔκπτωσιν ὑπομένει.

v. 755. ἀλφηστῶν] B. ἐφευρετῶν φρονίμων.

v. 756. ὄλβος ἄγαν] B. εὐδαιμονία. παχυνθεὶς] αὐξηθεῖσα.

v. 757. τίν' ἀνδρῶν γὰρ] A. τίνα γὰρ ἀπὸ τῶν ὅλων ἀνδρῶν, φησί, τοσοῦτον ἐθαύμασαν καὶ οἱ θεοὶ καὶ οἱ κάτοικοι τῆς ἡμετέρας πόλεως, καὶ ἁπλῶς πάντες οἱ ἄνθρωποι (τοῦτο γὰρ δηλοῖ τό, πολύβοτος αἰὼν βροτῶν· ἤγουν ἡ ζωὴ, καὶ ὁ βίος τῶν ἀνθρώπων, ὁ πολύβοτος καὶ ὁ

πολλοὺς τρέφων, ἢ ὑπὸ τῶν πολλῶν ἐμβατευόμενος, ἢ ἐπὶ πολὺ ἐκτεινόμενος) ὅσον τῖον καὶ ἐτίμων καὶ ἐθαύμαζον τότε τὸν Οἰδίποδα, ἀφελόντα ἀπὸ τῆς ἡμετέρας πόλεως τὴν θανατηφόρον μοῖραν τὴν ἀναρπαξάνδραν, τὴν τοὺς ἄνδρας ἁρπάζουσαν καὶ ἐσθίουσαν. Λέγει δὲ τὴν Σφίγγα.

v. 759. πολύβοτος] B. ὁ πολύβοτος ἢ ἀντὶ τοῦ πολυκτήμων λογιστέον, ἢ ὁ πολλοὺς βόσκων. Καὶ τὸ μὲν δεύτερον πρόδηλον, τὸ δὲ πολυκτήμων οὕτως, τίνα τῶν ἀνδρῶν ἐθαύμασαν καὶ οἱ θεοὶ καὶ οἱ πολῖται καὶ ὁ αἰὼν τῶν βροτῶν πολύβοτος καὶ πολυκτήμων, τουτέστιν οὐδεὶς πλὴν τοῦ Οἰδίποδος τεθαύμασται, καὶ πρὸς ἔσχατα πλούτου ἀφίκετο.

v. 760. ὅσον τότ' Οἰδίπουν τῖον] A. ὅσον θαυμασθῆναι καὶ δοξασθῆναι ἐποίησαν. Καὶ Εὐριπίδης [in prolog. Antigones cf. Schol. ad Aristoph. Ran. 1206.] Ἦν Οἰδίπους τὸ πρῶτον εὐτυχὴς ἀνήρ.

τῖον] B. ἐτίμων.

v. 761. ἀναρπαξάνδραν] B. τὴν ἄνδρας ἁρπάζουσαν Σφίγγα.

v. 762. κῆρ'] B. φθοράν.

v. 763. ἐπεὶ δ' ἀρτίφρων] A. ἐπεὶ ἔμφρων ἐγένετο, ἐπεὶ συνῆκεν, ὃ ἔπραξε κατὰ τῆς μητρός. Εὐδαίμων γὰρ ἦν κατὰ πάντα πρὸ τοῦ μαθεῖν τὸ μητρομίξιον. Δίδυμα δὲ κακὰ ἔφη τὸ τῶν δύο ὀφθαλμῶν στερηθῆναι. Ἓν γὰρ κακόν, τὸ ἑνὸς στερηθῆναι, δύο δὲ τὸ ἀμφοτέρων· ἢ τοὺς περὶ Ἐτεοκλέα καὶ Πολυνείκη γεννήσας, οἳ ἦσαν τῶν ὀφθαλμῶν κρείσσονες.

ἀρτίφρων] B. ἐπιγνώμων, εἰδήμων.

v. 765. ἐπ' ἄλγει] B. ἐπὶ τῇ παρανομίᾳ. δυσφορῶν] ἀγανακτῶν.

v. 766. μαινομένᾳ καρδίᾳ] B. λυπουμένῃ, ζεούσῃ τῷ θυμῷ.

v. 767. δίδυμα] B. διπλᾶ. τέλησε] ἐποίησε.

v. 769. ἀπ' ὀμμάτων ἐπλάγχθη] A. ἀντὶ τοῦ, ἐστερήθη τῶν κρειττόνων ὀμμάτων, λέγει δὲ τῶν περὶ Ἐτεοκλέα καὶ Πολυνείκη. Ἄλλως. Ἐπλάγχθη, ἐχωρίσθη.

ἐπλάγχθη] B. ἐχωρίσθη.

v. 770. ἀραίας ἐφῆκεν ἐπικότους τροφὰς] B. καταρασίμους. Ἔπεμψεν ὀργίλας ἀνατροφάς. Ἠράσατο γὰρ αὐτοῖς πάντα τὸν αὐτῶν αἰῶνα ἐκ παιδὸς μάχαις διαγαγεῖν, ἔπειθ' ὕστερον καὶ σιδήρῳ τὴν βασιλείαν διαλαχεῖν.

v. 771. ἐπικότους τροφὰς] A. ἐπιβλαβεῖς δὲ ἐντολὰς περὶ τροφῶν ἐφῆκεν αὐτοῖς.

v. 773. καί σφε σιδαρονόμῳ] A. καὶ τοῦτο ἐπηράσατο, διὰ σιδήρου αὐτοὺς τὴν οὐσίαν κτήσασθαι.

σφὲ] B. αὐτούς. σιδαρονόμῳ] διὰ σιδήρου τὸν μερισμὸν ποιησάσῃ.

v. 774. διαχειρίᾳ] B. ἐν πράξει καὶ οἰκονομίᾳ.

v. 775. τρέω] B. φοβοῦμαι.

v. 776. καμψίπους Ἐριννὺς] A. ἡ κάμπτουσα κολαζομένων τοὺς πόδας. Οἱονεὶ ἡ συμποδίζουσα καὶ μὴ ἐῶσα φυγεῖν.

καμψίπους] B. ἡ συμποδίζουσα καὶ μὴ ἐῶσα φυγεῖν οὓς τιμορεῖται.

v. 777. θαρσεῖτε παῖδες] A. ἄγγελος ὁ καὶ πρότερον ἀπαγγείλας περὶ τῆς τῶν Ἀργείων ἐφόδου, οὗτος καὶ νῦν ἀπαγγέλλει τὴν ἀδελφοκτονίαν. μητέρον τεθραμμέναι] συγγενεῖς, ἢ δειλαί, ὑπὸ μητέρων ἁπαλῶς τεθραμμέναι.

v. 778. πόλις πέφευγεν] A. ἐπὶ τῆς προςβολῆς καὶ συγκρούσεως τῶν πολεμίων, καὶ τῆς ἐκ τούτου ζάλης, τροπικῶς τῷ λόγῳ ἐχρήσατο. Πολλὰ χειμασθεῖσα ἡ πόλις παρὰ τῶν πολεμίων, ἀπόρθητος μόλις ἔμεινε, καὶ ἀβλαβὴς διεσώθη. Ἐξέφυγε καὶ ἀπηλλάγη τῆς τοῦ χειμῶνος δριμύτητος, φρουρηθείσης καὶ φυλαχθείσης τῆς πόλεως τῇ τῶν θεῶν ἐπιδρομῇ καὶ βοηθείᾳ. Κἀκεῖνοι μὲν εἰς ἀντιπαράταξιν τῇ τῶν πολεμίων μάχῃ ἀντέστησαν, καὶ πολλὰς κατ' ἐκείνων τὰς τιμωρίας ἐπήγαγον καὶ εἰς φυγὴν ὤθησαν καὶ ἔτρεψαν, ὡς μὴ δυναμένων κἀκείνων τῶν θεῶν ἀντιμαχεσθῆναι καὶ πολεμήσασθαι. Ἀνίκητοι γὰρ εἶεν οἱ θεοὶ καὶ ἀπροσπέλαστοι καὶ οὐδέποτε τρέπονται, ἀλλ' ὅ τι πνεύσειεν ἀκλινεῖς ἵστανται εἰς ἀντιπαράστασιν.

ἥδε] B. αὐτή.

v. 779. ὀμβρίμων] B. μεγαλαύχων.

v. 780. πόλις δ' ἐν εὐδίᾳ] A. ἀλληγορεῖ πάλιν· καὶ λέγει ὅτι πολλῶν προςβαλόντων τῇ πόλει, οὐδεὶς εἰς αὐτὴν εἰςέπεσεν.

ἐν εὐδίᾳ] B. ἐστι.

v. 781. ἄντλον] A. ναυάγιον, πλημμύραν κύματος, τὸ ὕδωρ. Ἄντλον δὲ λέγεται τὸ ἀπὸ τοῦ κλύδωνος εἰςερχόμενον ὕδωρ. Ἑτοίμως οὖν οἱ ναῦται ἐξαντλοῦσι καὶ ἔξω τὸ τῆς θαλάσσης ὕδωρ ἐκφέρουσιν· ἐξ οὗ καὶ τὸ καλούμενον ἀντλητήριον.

ἄντλον] B. κῦμα, ἀπώλειαν.

v. 782. στέγει] B. ἀντέχει καὶ σῶος ἵσταται. Φεγγύοις] ἀπόχρωσιν εἰς φυλακήν.

v. 783. ἐφραξάμεσθα] B. ἠσφαλισάμεθα. προστάταις] ἀντιστάταις.

v. 784. καλῶς ἔχει] B. εὐτυχῶς ἔχουσι.

v. 785. ὁ σεμνὸς ἑβδομαγέτας] A. τὸν Ἀπόλλωνα λέγει, ὃς ἐν ἑβδόμῃ ἡμέρᾳ τοῦ μηνὸς γεννηθείς, ἐκλήθη ἑβδομαγέτας. Ἄλλως. Ἀξιοπίστως καὶ τὸν ἀριθμὸν τῶν πυλῶν εἴρηκεν. Ἡ ἑβδόμη, φησί, πύλη, ἵνα τὰ μαντεύματα τοῦ Ἀπόλλωνος τῷ Λαΐῳ δοθέντα, τέλος λάβῃ. Ἑβδόμῃ γὰρ ἐγεννήθη Ἀπόλλων. Πέπονθεν οὖν οὐχὶ αὐτὴ ἡ πύλη ἡ ἑβδόμη, ἀλλ' ὁ φυλάττων αὐτὴν Ἐτεοκλῆς.

ἑβδομαγέτας] B. ὁ ἐν ταῖς ἑβδόμαις πύλαις ἡγεμονεύων, ἢ ὁ ἑβδόμῃ γεννηθείς, καθ' Ἡσίοδον, [Ἐργ. καὶ Ἡμερ. 716.] ἡμέρᾳ.

v. 786. εἷλετ' Οἰδίπου γένει] A. ἐνέβαλε, προέκρινεν ὥςτε φυλάττεσθαι τῷ Ἐτεοκλεῖ. Ἄλλως. Ἔσωσεν.

εἷλετ'] B. προέκρινε. Τοῦτο δὲ λέγει ἐπειδὴ ὁ κατὰ ἀλλήλων τοῖς ἀδελφοῖς γινόμενος πόλεμος Ἀπόλλωνος βουλήσει συνέβη διὰ τὴν Λαΐου παρακοήν.

v. 787. κραίνων] B. τελῶν. δυςβουλίας] παρακοάς.

v. 788. νεόκοτον] A. νεωστὶ κατεσκευασμένον.

νεόκοτον] B. νέον.

v. 791. παραφρονῶ φόβῳ λόγου] B. τῶν φρενῶν ἐξίσταμαι, εἰπὼν γὰρ ταῦτα εἰς φόβον ἐνέβαλε.

v. 792. Οἰδίπου γένος] B. τέθνηκεν.

v. 793. μάντις εἰμὶ τῶν κακῶν] A. προεῖπον γὰρ αὐτά.

μάντις εἰμὶ τῶν κακῶν] B. τῶν νῦν, πάλαι γὰρ ὁρῶν αὐτοὺς εἰς μάχην σπεύδοντας ἐμαντευσάμην ταῦτα.

v. 794. οὐδ' ἀμφιλέκτως] A. ἤγουν οὐδ' ἀμφιβόλως καὶ ἀπιθανῶς καὶ δυσχερῶς, ἀλλ' ἀληθῶς καὶ ἀναμφιβόλως εἰσὶ τῇ σποδῷ κεκονιαμένοι, κατακεχωσμένοι, ἀνῃρημένοι.

ἀμφιλέκτως] B. ἀμφιβόλως. κατεσποδημένοι] πεπτωκότες.

v. 795. ἐκεῖθι κ' ἦλθον] A. εἰς τοσοῦτον ἦλθον ὥστε καὶ φονευθῆναι τὸν βασιλέα;

ἐκεῖθι] ἐνταῦθα, ἤγουν εἰς τὸ θανεῖν.

v. 796. ἀδελφαῖς] B. ἀδελφικαῖς. ἠναίροντ' ἄγαν] ἐφονεύθησαν παντελῶς.

v. 797. ὁ δαίμων] B. τοῦ θανάτου εἱμαρμένη.

v. 798. αὐτὸς δ' ἀναλοῖ] A. ὁ Ἀπόλλων ἀναλίσκει τὸ τοῦ Οἰδίποδος γένος.

ἀναλοῖ] B. ἀπόλλυσι. δύςποτμον] ἄθλιον.

v. 799. χαίρειν] B. διὰ τὴν ἧτταν τῶν πολεμίων. δακρύεσθαι] διὰ τὸν ὄλεθρον τῶν βασιλέων.

v. 800. οἱ δ' ἐπιστάται] B. ἄρχοντες ἡμῶν καὶ τῶν πολεμίων Ἐτεοκλῆς καὶ Πολυνείκης.

v. 801. διέλαχον] A. διεμερίσαντο.

v. 802. παμπησίαν] A. τὴν περιουσίαν, διανομήν, ὁλοκληρίαν, ἀπὸ τοῦ πᾶς παντὸς καὶ τοῦ πῶ τὸ κτῶμαι. παμπησία δὲ λέγεται ἡ πᾶσα περιουσία τοῦ ὅλου βίου.

Σκύθῃ] B. Σκυθικῷ, παρ' ὅσον οἱ Χάλυβες εὗρον αὐτόν. παμπησίαν] πᾶσαν τὴν περιουσίαν.

v. 803. ἕξουσι] B. ἕξουσι δὲ ἣν τῆς χθονὸς λάβωσιν ἐν ταφῇ, τουτέστιν ἣν γῆν ταφέντες κτήσονται. Ἢ τὸ

ἣν

ἣν διὰ τὸ παμπασίαν νοεῖ, οὕτω, ἕξουσι δὲ ἐκείνην τὴν περιουσίαν ἣν λάβωσιν ἐν ταφῇ χθονός, καὶ γὰρ καὶ ἡ γῆ εἰς ἣν ἔμελλον ταφήσεσθαι μέρος ἦν τῆς περιουσίας αὐτῶν. ἣν] ἥντινα.

v. 804. κατ' εὐχὰς] B. κατ' ἀράς. Ἐπειδήπερ εὐχὰς εἶπε, τὸ δὲ τῆς εὐχῆς ὄνομα ἐπὶ καλοῦ λαμβάνεται, διὰ τοῦτο εἶπε δυσπότμους. δυσπότμους] δυστυχεῖς. Φορούμενοι] Φερόμενοι.

v. 807. ὦ μεγάλε Ζεῦ] A. ὦ μέγιστε Ζεῦ, καὶ οἱ τὴν πόλιν συνέχοντες θεοί, οἵτινες δὴ νῦν ῥύεσθε καὶ φυλάττετε τούσδε τοὺς πύργους τοῦ Κάδμου, ἤτοι τῆς πόλεως τῶν Θηβαίων· ἆρα χαίρω καὶ ὑμνήσω καὶ παιχνίσω ἐπὶ τῇ πόλεως σωτηρίᾳ, ἢ θρηνήσω καὶ ἀποκλαύσομαι τοὺς τληπαθεῖς καὶ δυστυχεῖς πολεμάρχους; λέγει δὲ τὸν Ἐτεοκλέα καὶ τὸν Πολυνείκην. Φρονίμως δὲ ὁ ποιητὴς μέσην ὁδὸν ἔδραμεν, καὶ σωθείσης τῆς πόλεως ἄτοπον ἡγεῖται τὸ θρηνεῖν, καὶ Οὐχ ὁσίη κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι. (Odyss. X. 412.) Ἐν δὲ τῷ, ὦ μεγάλε Ζεῦ καὶ δαίμονες, ἐστιν ὁ τρόπος ἐξοχή. Ζεῦ ἄλλοι τε θεοί.

v. 810. πότερον] B. ποῖον. ἀπολολύξω] παιανίσω.

v. 811. ἀσινεῖ] B. ἀβλαβεῖ, σωτηρίας τοῦτο γὰρ ἐπίθετον.

v. 812. μογεροὺς] B. ἀθλίους. δυσδαίμονας] δυστυχεῖς.

v. 813. ἀτέκνους] A. ἐπὶ κακῷ τεχθέντας.

ἀτέκνους] B. τοὺς μὴ τέκνα εἰς διαδοχὴν τοῦ γένους αὐτῶν λιπόντας.

v. 814. ὀρθῶς] A. ὀρθῶς καὶ ἐπωνύμως Ἐτεοκλῆς καὶ Πολυνείκης ἐκλήθησαν.

ὀρθῶς] B. οἰκείως.

v. 817. ὦ μέλαινα καὶ τελεία] A. ἡ συντελουμένη ἐπὶ τῷ γένει τοῦ Οἰδίποδος ἀρά. Κρυός τι καὶ φόβος κακὸς καὶ χαλεπὸς περιπίπτει τῇ καρδίᾳ μου. Ἢ, φόβος κακοῦ, ἀντὶ τοῦ, κινδύνου.

μέλαινα] B. σκότους καὶ θανάτου αἰτία. τελεία] εἰς τέλος ἐλθοῦσα.

v. 818. γένεος] B. ἤτοι τῶν παίδων.

v. 819. περιπίτνει κρύος] A. περιπίπτει φόβος κακοῦ.

κακὸν] B, ὅλον καὶ μέρος. κρύος] τρόμος.

v. 820. ἔτευξα τύμβῳ μέλος] A. ἤτοι κατεσκεύασα καὶ ἐποίησα μέλος ἐπὶ τύμβῳ, ἤτοι θρῆνον ἐπιτύμβιον, ὡς Θυὰς καὶ ὡς Βάκχη, κλύουσα καὶ ἀκούουσα αὐτοὺς καὶ μαθοῦσα νεκροὺς αἵματι βεβρεγμένους, δυσμόρως θανόντας ὑπὸ δορὸς ἀλλήλων. Ἄλλως, Κλύουσα αὐτοὺς δυσμόρως θανόντας ὑπὸ δορὸς ἀλλήλων, ἐπιτύμβιον θρῆνον ἔτευξα, ὡς Θυάς.

ἔτευξα] B. κατεσκεύασα.

v. 821. Θυὰς] B. Βάκχη. αἱμοσταγεῖς] ἡμαγμένους τῷ φόνῳ.

v. 823. ἢ δύσορνις] A. ὄντως δύσορνις καὶ δυσοιώνιστος, καὶ οὐ κατὰ σκοπὸν γέγονεν αὐτοῖς ἡ συμφορὰ καὶ ἡ συνέλευσις τῆς μάχης. Ἐπὶ κακῷ συνῆλθον εἰς μάχην. Ἡ δὲ τοῦ Οἰδίποδος κατάρα ἐξέπραξε καὶ εἰς τέλος ἤγαγε τὰ κακά.

δύσορνις] B. κακόμαντις ὑπῆρχε. ξυναυλία δορὸς] τίς γὰρ ὁρῶν αὐτοὺς ξυμβάλλοντας ἀλλήλοις εἰς μάχην, οὐκ ἂν ἅπερ ἔπαθον ἐμαντεύσατο; ξυναυλίαν δὲ δορὸς λέγει τὴν ἕνωσιν καὶ τὴν συμβουλὴν τοῦ πολέμου.

v. 825. οὐδ' ἀπεῖπε] A. οὐκ ἀπηγόρευσε τὸ ποιῆσαι τὰ δεινά.

ἐξέπραξεν] B. ἐτελείωσεν ἑαυτήν.

v. 826. εὐκταία] B. καταράσιμος.

v. 827. βουλαὶ δ' ἄπιστοι] A. αἱ βουλαὶ δὲ τοῦ Λαΐου διῆλθον καὶ διεπληρώθησαν. Λέγει δὲ τὰς περὶ τὴν μίξιν τῆς αὐτοῦ γυναικός. Ἄπιστοι δέ, ὅτι οὐκ ἐπείσθη τῷ Ἀπόλλωνι, εἰπόντι αὐτῷ μὴ συνελθεῖν τῇ γυναικὶ Ἰοκάστῃ.

βουλαὶ δ' ἄπιστοι Λαΐου] B. καθ' ἃς οὐκ ἐπείσθη Ἀπόλλωνι. διήρκεσαν] μέχρι τοῦ νῦν ἐπάγουσαι συμφορὰς τοῖς ἐξ ἐκείνου.

v. 828. μέριμνα δ' ἀμφὶ πτόλιν] A. ἡ μέριμνα δέ, ἤτοι ἡ Φροντὶς ἣν ἔσχεν ὁ Λαΐος περὶ τὴν μῖξιν, καὶ τὰ θεσπίσματα τοῦ Ἀπόλλωνος, οὐκ ἀμβλύνεται καὶ παρέρχεται, καὶ εἰς ἀνεκπραξίαν ἔρχεται, ἀλλ' ἔργοις τελεῖται.

μέριμνα] B. Φροντὶς καὶ ταραχή.

v. 829. θέσφατ'] B. αἱ τοῦ Ἀπόλλωνος μαντεῖαι δι' ὧν εἶπεν αὐτῷ ὡς εἰ τεκνώσει παῖδα, αὐτόν τε καὶ πᾶν αἰστώσει γένος. ἀμβλύνεται] ἐξασθενεῖ.

v. 830. πολύστονοι] B. πολλῶν στεναγμῶν ἄξιοι. τόδ'] ὅπερ κατ' ἀλλήλων ἐδράσατε. ἄπιστον] ἤγουν μικροῦ δεῖν εἰς ἀπιστίαν πίπτον, τίς γὰρ πιστεύσειεν ὡς ἀδελφοὶ ἀλλήλους ἀπέκτειναν;

v. 831. αἰακτὰ] A. θρηνητικά.

αἰακτὰ] B. θρηνητικά.

v. 833. αὐτόδηλα] A. αὐτὰ δὲ ταῦτα Φανερά. Ὁρᾷ γὰρ τὰ σώματα βασταζόμενα ὁ χορός.

αὐτόδηλα] B. Φανερὰ καὶ οὐκ ἀμφίβολα. προὖπτος] Φανερὸς καὶ διαπρεπὴς καὶ διάδηλός ἐστι.

v. 834. διπλαῖ μερίμναι] B. ἐπειδὴ καὶ οἱ Φονευθέντες δύο εἰσίν. διδυμάνορεα] ἤγουν δύο ἀνδρῶν ἐστι.

v. 835. αὐτοΦόνα] A. ἀλληλοκτόνοι γὰρ ἐγένοντο.

αὐτοΦόνα] B. αὐτοσΦαγῆ. δίμοιρα] διπλᾶ.

v. 836. τέλεια] B. ἔσχατα καὶ ὑπερβολὴν οὐκ ἔχοντα.

v. 837. πάνοι] B. εἰσί.

v. 838. δόμων ἐΦέστιοι] A. τὰ κακὰ ἀπὸ τῶν κακῶν οἰκεῖ ἐν τῇ ἑστίᾳ καὶ τούτοις τοῖς οἴκοις.

δόμων ἐΦέστιοι] B. τοῦ Λαΐου καὶ Οἰδίποδος οἰκεῖα συνήθεις.

v. 839. ἀλλὰ γόων ὦ Φίλαι] A. ἀλλὰ θρήνων ἐρέσσετε· ἐκ μεταΦορᾶς τῶν πλεόντων· σὺν τῇ τοῦ κρατὸς προσκαδευούσῃ κρούσει τῶν χειρῶν.

v. 840. κατ' οὖρον] B. κατὰ λόγον, καθ' ὁρμὴν, κατ' ἰσότητα, ἤγουν πρὸς τοὺς στεναγμοὺς ποιῶμεν, καὶ τὰς ἐν τῇ κεΦαλῇ καὶ στέρνοις πλήξεις.

v. 841. πίτυλον] A. πίτυλος ὁ θόρυβος. Ἀπὸ τοῦ τύπτω τύπτυλος, καὶ πίτυλος. Καὶ ἐστὶ κυρίως ὁ ἀπὸ τῶν ἐρεσσομένων κωπίων γινόμενος θόρυβος.

πίτυλον] B. κτύπον. ὃς αἰὲν δι' Ἀχέροντ'] ἐπειδὴ ὁ γόος περὶ τοὺς νεκροὺς γίνεται, οὗτοι δὲ ἐν Αἴδου ἀπέρχονται, δι' Ἀχέροντα τοῦτον ἀμείβεσθαι φησὶ διὰ νηὸς εἰς χέρσον ἀνήλιον καὶ σκοτεινήν, τουτέστι μετὰ νηός, διὰ τοῦτο πρὸς τὸν Αἴδην χωρεῖ, ἣν ναῦν, θεωρίδα καλεῖ, ἄστονον ἤτοι κακοστένακτον, ἢ ἄστολον καὶ κακῶς ἐσταλμένην, μελάγκροκον καὶ μέλαν λαῖφος ἔχουσαν. Ταῦτα δὲ τὰ ὀνόματα τό τε ἄστολον καὶ τὸ μελάγκροκον οἰκεῖα τῇ εἰς Αἴδην φερούσῃ νηΐ ὡς τῶν ἐν βίῳ ἐναντίως ἐχουσῶν. Θεωρίδα δὲ λέγει τὴν τοῦ Χάροντος ναῦν, ἐκ μεταφορᾶς τῆς νηὸς τῆς κατ' ἐνιαυτὸν ἐξ Ἀθηνῶν εἰς Δῆλον ἀγούσης τῷ Ἀπόλλωνι θυσίαν, ἣν θεωρίδα ἐκάλουν. Δέον δὲ δι' Ἀχέροντος εἰπεῖν, δι' Ἀχέροντα εἶπε ποιητικῷ ἔθει, ὡς ἔχει καὶ τὸ ἱππικῶν τ' ἀύπνων πηδαλίων διὰ στόμα, καὶ πόλλ' ἕτερα. Λάμβανε δὲ καὶ εἰς τὸ θεωρίδα τὸ διὰ ἀπὸ κοινοῦ, σύναπτε δὲ καὶ τὸ ἀμείβεται εἰς τὸ ἀφανῆ τε χέρσον. ἀμείβεται] διέρχεται.

v. 842. ναύστολον] A. τὴν διάγουσαν τοὺς νεκρούς. θεωρίδα] οἱ Ἀθηναῖοι ἔστελλον ναῦν ἐστεφανωμένην εἰς τὸν Ἀπόλλωνα διὰ μαντείας. Θεωρίδα γοῦν ἐκείνην ἐκάλεσαν, ὡς εἰς θεὸν ἀπερχομένην, καὶ τοῦ θεοῦ θέσφατα πάλιν μετακομίζουσαν. Ἐξ ἐκείνης οὖν καταχρηστικῶς τὴν τοῦ Χάρωνος νῆα θεωρίδα ἐκάλεσεν. Ἄλλως. Τὴν τοῦ Χάρωνος ναῦν, θεωρίδα εἶπεν. Κυρίως δὲ τοῦ Ἀπόλλωνος ἡ εἰς Δῆλον ἀπερχομένη. Λέγει δὲ ὅτι ταύτην ὁδὸν θεωρητικὴν ὥσπερ οἱ δεινὸ στένοι τὴν ἐπὶ τὸν Ἀχέροντα, τὴν ἀνήλιον, ἣν μηδὲ ἥλιος ὁρᾷ, ἢ τὴν ἀνάγνην. Ἁγνὴ γὰρ ἐκείνη ἡ εἰς Δῆλον ἀπιοῦσα. Πάνδοκον δέ, ἐπεὶ πάντας δέχεται τοὺς ἀποθνήσκοντας.

ναύστολον] B. τὴν ὡς ναῦν ἐσταλμένην, διὰ τὴν ναῦν τοῦ Χάροντος. μελάγκροκον] τὴν ἔχουσαν μέλαν λαῖφος.

v. 843. ἀστιβῆ] B. ἀπόρευτον.

v. 844. πάνδοκον] B. πάντας δεχομένην μετὰ θάνατον. ἀφανῆ] σκοτεινήν.

v. 845. πρᾶγος πικρὸν] A. ἤκουσιν ἐπὶ πρᾶγμα πικρὸν καὶ συμφορὰν αἱ ἀδελφαὶ τῶν βασιλέων.

αἵδ'] B. αὗται.

v. 847. οὐκ ἀμφιβόλως] B. ἀκριβῶς ἐπίσταμαι.

v. 848. σφ'] B. αὐτάς. ἐρατῶν] παρθενικῶν. βαθυκόλπων] τῶν βαθεῖς τοὺς κόλπους ἐξ ἱματίων ἐχόντων.

v. 849. ἥσειν] B. πέμψειν. ἐπάξιον] ἁρμόδιον καὶ προσῆκον ἐξ ἀδελφῶν εἰς ἀδελφοὺς γίνεσθαι.

v. 850. ἡμᾶς δὲ δίκη] A. δίκαιον ἡμᾶς προκατάρχεσθαι, ὡς πρασκουσέσας, ὑπακούειν δὲ ἐκείνας.

δίκη] B. δίκαιον. πρότερον φήμης] πρὸ τοῦ κλαῦσαι ἐκείνους.

v. 851. δυσκέλαδον θ' ὕμνον] B. κακόφημον θρῆνον. Ἐπειδὴ γάρ ἐστιν αὐτὴ φόνων καὶ θανάτων παρεκτική, Εἰκότως καὶ ὁ θρῆνος ὕμνος αὐτῆς λέγοιτ' ἂν οὐδενὶ ἄλλῳ τοσοῦτον χαιρούσης, ὅσον ὀδυρμοῖς καὶ δάκρυσιν, ὃν ὀδυρμὸν καὶ παιᾶνα καλεῖ Ἅιδου.

v. 853. ἐχθρὸν παιᾶν' ἐπιμέλπειν] A. ἔστι γὰρ καὶ παιὰν ἐπ' ἀγαθοῖς.

ἐχθρὸν] B. κακόν. Πάροσον ὁ παιὰν χαρᾶς αἴτιος.

v. 854. ἰὼ δυσαδελφόταται] A. ὦ δυσαδελφόταται πασῶν παρθένων αἱ μίτρας κατὰ τὴν φθορὰν λύονται. Ἀντὶ δὲ τῆς μίτρας καὶ ζώνης νῦν στρόφον εἶπεν.

δυσαδελφόταται] B. εἰς ἀδελφοὺς δυστυχεῖς.

v. 855. στρόφον] B. ζώνην. Ἢ τὴν ἰδιωτικῶς λεγομένην κομποθυλαίαν. Στρόφον ἐσθῆτα ἤγουν ἐζωσμένην. Τὸ δὲ περιβάλλονται, εἰ μὲν ἐσθῆτα εἴποις, ἀντὶ τοῦ ἐνδύνονται λαβῇς, λέγων ὁπόσαι περιβάλλονται καὶ ἐνδύονται στρόφον καὶ ἐζωσμένην ἐσθῆτα. Εἰ δὲ ἐσθῆσι γράψεις, ἀντὶ τοῦ περιάγουσι νοήσεις οὕτως, ὁπόσαι περιβάλλονται καὶ περιάγουσιν ἐν ταῖς ἐσθῆσι στρόφον καὶ ζώνην· ἔστι δὲ κρεῖττον τὸ ἐσθῆτα ἢ τὸ ἐσθῆσιν.

στένοισι· ἀντὶ τοῦ στένω ἀττικῶς· καὶ γὰρ ἰακτεύομαι καὶ ἀλεύομαι φαμ(?) ὅτι οὐκ ἐκ ψυχῆς σημ...

v. 856. δόλος] B. πανουργία.

v. 857. ὀρθῶς] B. ἀληθῶς. λιγαίνειν] ἀλαλάζειν.

v. 858. δύςφρονες] B. κακογνώμονες.

v. 859. ἀτρύμονες] A. ἐν κακοῖς ἀκμῆτες, τῶν κακῶν ἀκόρεστοι. Ταῦτα λέγει ὁ χορὸς πρὸς τὸν Ἐτεοκλῆν καὶ Πολυνείκην. Ἄλλως. Ἀτρύμονες, ἀδάμαστοι, ἀκαταπόνητοι, ὑπὸ τῶν κακῶν μὴ νικηθέντες, ἢ οὓς πολλὰ κακὰ ἐδάμασαν.

φίλων ἄπιστοι] B. μὴ τοῖς φίλοις πεισθέντες ὥστε καταλῦσαι τὸν πόλεμον. κακῶν ἀτρύμονες] ἀκάμπτοι καὶ μὴ φοβούμενοι τὰ κακὰ ὥστε τούτων ἀφίστασθαι.

v. 860. πατρῴους δόμους ἑλόντες] A. αἴτιοι τῆς ἁλώσεως γενόμενοι. Πορθήσαντες, ἐρήμους ποιήσαντες τῷ ξίφει.

ἑλόντες] B. λαβόντες, ἄθλιοι καὶ οὐκ εὐτυχεῖς. Τεθνηκότες γὰρ εἰςῆλθον ἄμφω τὰς Θήβας, καὶ πατρῴων μνημάτων τυχεῖν ἔμελλον, εἰ καὶ Πολυνείκης βίᾳ Κρεόντος ἄτιμος ἔῤῥιπτο ὡς κατὰ τῆς πατρίδος ἐστρατευκώς. Μελέως δὲ εἰπεῖν ἔδει, ἀλλ' ἐπήγαγε πρὸς τὸ ἑλόντες· τὸ δὲ σὺν ἀλκῇ ἀντὶ τοῦ σὺν πολέμῳ, ἢ τὸ ἑλόντες, ἀντὶ τοῦ πορθήσαντες καὶ καταβαλόντες, τὸ γὰρ ἀποθανεῖν σφᾶς καταβολή τις ὥσπερ τῶν δόμων ἦν.

v. 861. μέλεοι] B. ἄθλιοι. οἳ] οἵ τινες.

v. 863. ἐπὶ λύμῃ] B. καὶ συμφορᾷ.

v. 864. ἰὼ] B. φεῦ.

v. 865. μοναρχίας] B. ἐπιθυμος γὰρ ἕκαστος ἀποκτείνας τὸν ἕτερον μόνος ἄρχειν, ὥστε ἣν ἐπεθύμουν μοναρχίαν ἰδεῖν, πικρὰ αὐτοῖς ἔδοξε, δι' ἐκείνην στερηθεῖσι τοῦ ζῆν.

v. 866. ηλλ διήλλαχθε] A. κακὴ διαλλαγὴ ἡ διὰ θανάτου. Μὴ ὄντες γὰρ, οὐδὲ μάχην σχῆτε τὸ ἀπὸ τοῦδε. Ἢ, διήλλαχθε ἀντὶ τοῦ ἀπηλλάγητε. Ἄλλως. Ἡ διαλλαγὴ ὑμῶν οὐκ ἐπὶ φιλίᾳ γέγονεν, ἀλλ' ἐπὶ ἀναιρέσει τοῦ σιδήρου.

διήλλαχθε σιδάρῳ] B. τῆς μάχης πέπαυσθε, καὶ εἰς ἓν συνέλθητε κατ' ἀλλήλων σφαγῇ, σιδήρῳ διαλλάκτῃ χρησάμενοι· φεῦ τοιούτου διαλλάκτου. Σαφηνίζει δὲ τὸν διαλλάκτην φάσκων οὐκ ἐπὶ φιλίᾳ γεγενῆσθαι, ἀλλ' ἐπὶ φόνῳ. Τὸ δὲ διεκρίθητε ἀντὶ τοῦ κεχώριστε.

v. 868. κάρτα δ' ἀληθῆ] A. κάρτα δὲ καὶ λίαν ἀληθῆ ἐπέκρανε καὶ ἐπλήρωσε τὰ κατεύγματα τοῦ πατρὸς Οἰδίποδος, ἡ σεβασμία καὶ τιμία Ἐριννὺς ἐκείνου, ἤτοι τοῦ Οἰδίποδος. Ἤγουν, ἐτελείωσε τὰς ἐκείνου ἀρὰς κατὰ τῶν παίδων.

κάρτα] B. λίαν.

v. 869. πότνι' Ἐριννὺς] B. ἣν δι' ἀρᾶς ἐπήγαγε τοῖς παισί. Κατ' εὐφημισμὸν λέγει τὴν Ἐριννὺν ποτνίαν ὡς καὶ Εὐμενίδας φᾶμεν, ἢ ὡς θεὸν οὖσαν.

v. 870. δι' εὐωνύμων τετυμμένοι] A. τὸ ἑξῆς τοῦ λόγου οὕτως νοητέον, ἤδη διήλλαχθε σιδήρῳ οὐκετ' ἐπὶ φιλίᾳ, ἀλλ' ἐπὶ φόνῳ, διεκρίθητε τετυμμένοι καὶ τετρωμένοι δι' εὐωνύμων. Τοῦτο δὲ συμβαίνει ἐν τοῖς κατὰ τὸ ἐναντίον ἱσταμένοις, οἷον, διαμπὰξ ἀλλήλων τὰς πλευρὰς τρώσαντες. Ἑκάτερος γὰρ τῶν μονομαχούντων, τὸ ἀριστερὸν πλευρὸν τοῦ ἀντιπάλου τιτρώσκειν βούλεται. Οἷον διὰ τῶν πλευρῶν αὐτῶν τετυμμένοι τεθνήκασιν οἱ ὁμόσπλαγχνοι.

εὐωνύμων] B. ἀριστερῶν. Τὸ εὐωνύμων πρὸς τὸ ὁμοσπλάγχνων πλευρωμάτων συντακτέον, ἔφη δὲ διὰ μέσου τὸ ἕτερον ἡμιχόριον, τὸ τετυμμένοι ὥσπερ συμμαρτυροῦν τῷ προτέρῳ. Συμβαίνει δὲ τοῖς μονομαχοῦσι κατὰ τὸ εὐώνυμον μέρος τὰς τρώσεις δέχεσθαι ἱσταμένοις ἐναντίον ἀλλήλων, ὡς ἑκατέρου τῇ δεξιᾷ χειρὶ τὴν ἀριστερὰν ἑκατέρου παίειν πλευράν, μαρτυρεῖ δὲ τοῦτο καὶ τὸ ἀντιφόνων καὶ τὸ διανταίαν. τετυμμένοι] τρωθέντες διεκρίθητε κατὰ κοινοῦ.

v. 871. τετυμμένοι δῆθ', ὁμοσπλάγχνων] A. τὸ ἑξῆς τοῦ λόγου οὕτως, δι' εὐωνύμων τετυμμένοι ὁμοσπλάγχνων τε πλευρωμάτων. Τετυμμένοι δῆθ' ἐν τῷ μέσῳ ἔφη τὸ ἕτερον ἡμιχόριον, συμμαρτυροῦν καὶ συμφωνοῦν ἐκείνῳ, ἀληθῶς τετυμμένοι.

ὁμόσπλάγχνων] B. ἀδελφικῶν.

v. 873. δαιμόνιοι] B. δυστυχεῖς.

v. 874. ἀντιφόνων] B. τῶν ἐξ ἐναντίας γινομένων.

v. 876. διανταίαν λέγεις πλαγὰν] A. πληγὴν διαμπὰξ γενομένην, καὶ ἐπὶ τῶν σωμάτων καὶ ἐπὶ τῶν οἴκων. ἄμφω γὰρ ἔχει κακῶς.

διανταίαν] B. τὴν ἀλλήλων ἐξ ἐναντίας γινομένην.

v. 877. δόμοισι καὶ σώμασιν] A. εἰπόντος τοῦ ἡμιχορίου, αἶ αἶ, ἰσοφόνων θανάτων ἀραί, καὶ πρὸς τοῦτο ἀντιφήσαντος τοῦ ἑτέρου ἡμιχορίου, ὅτι διανταίαν λέγεις πληγήν, ὥσπερ ἑρμηνεῦον τὸ ἡμιχόριον πρότερον τί εἶπεν ἄνωθεν, λέγει, ὅτι φημὶ αὐτοὺς στερηθέντας καὶ οἴκων καὶ σωμάτων, διὰ τὸ ἀναιρεθῆναι αὐτοὺς ὑπ' ἀλλήλων.

δόμοισι καὶ σώμασι πεπλαγμένους] B. σφαγέντες γὰρ αὐτὸ ἀπολώλασι καὶ τῆς ἀρχῆς δι' ἣν ἐμάχοντο ἀπεστέρηντο, τοῦτο γάρ ἐστι τὸ δόμοισι καὶ σώμασι πεπληγμένους· ἐπλήγησαν δὲ ἐν προθυμίᾳ ψυχῆς, οὐχ' οἷά τε ῥηθῆναι καὶ ἐν δυστυχίᾳ, ἐκ κατάρας πατρὸς ἀπελθούσῃ διχόφρονι καὶ διπλῇ, κατ' ἀμφοτέρων γὰρ ἦν. ἐννέπω] λέγω.

v. 879. ἀναυδάτῳ μένει] A. ἀκαθέκτῳ ὀργῇ ἀνήρηνται ὑπ' ἀλλήλων, ἰσχύϊ μεγάλῃ καὶ ἀνεκλαλήτῳ.

ἀναυδάτῳ] B. ἀῤῥήτῳ. μένει] προθυμίᾳ.

v. 880. ἀραίῳ] B. καταρασίμῳ.

v. 881. διχόφρονι] B. διπλῷ.

v. 882. διήκει] B. διέρχεται.

v. 884. φίλανδρον] B. τὸ ὑπ' ἀνδρῶν φιλούμενον.

v. 885. μενεῖ κτέανά τ' ἐπιγόνοις] A. τοῦτό φησιν, ὅτι τὰ χρήματα, ὧν χάριν φιλονεικία ἐγένετο καὶ θανάτου τέλος τοῖς αἰνομόροις ἀδελφοῖς, μενεῖ καὶ ἐπικτηθήσεται τοῖς ἐπιγόνοις καὶ τοῖς συγγενέσιν ἐκείνων. Τοῦτ' ἔστιν, ἄλλοις κερδήσουσι τὰ χρήματα δι' ἃ ἐκεῖνοι ἀπώλοντο. Ἢ οὕτως, τὰ κτέανα ταῦτα, οἱονεὶ τὰ ὀνείδη, διήξουσι μέχρι τῶν ἐπιγόνων. Κτέανα δὲ εἶπεν, ὡς ἐπὶ οὐσίας, οἱονεὶ κληρονομοῦντες τῶν παθῶν ἐκείνων καὶ τῶν ὀνειδῶν οἱ παῖδες γενήσονται, ὀνειδιζόμενοι τὴν τῶν προγόνων ἀπώλειαν.

μενεῖ κτέανα] B. ἕτεροι κερδήσουσι τὴν ἀρχὴν δι' ἣν κακῶς ἀπολώλασιν οὗτοι, ἢ τοῖς ὕστερον ἔσται λόγος, ὁρῶσι πρὸς τὴν τῶν Θηβῶν ἀρχήν, ὡς διὰ ταύτην ἀδελφοῖς συμβέβηκεν θάνατος. ἐπιγόνοις] τοῖς ὕστερον.

v. 886. αἰνομόροις] B. τοῖς δυστυχέσι καὶ κακῶς θανοῦσι.

v. 887. νεῖκος] B. μάχη. ἔβα] ἦλθε.

v. 889. ἐμοιράσαντο] A. ὀξύθυμοι ὄντες ἐμοιρήσαντο καὶ διενείμαντο τὰ κτήματα ὥστε ἴσα λαχεῖν. Λέγει δὲ τὰς ταφάς· μόνος γὰρ ὁ τάφος αὐτοῖς ἐξ ἴσου μεμέρισται, καὶ τοῦτο μόνον ἐκέρδησαν.

ὀξυκάρδιοι] B. ὀξύθυμοι καὶ πρὸς μάχην καὶ φόνον θερμότατοι.

v. 890. ὡς τ' ἴσον λαχεῖν] B. οὕτω διεμοιράσαντο τὴν ἀρχὴν ὥστε αὐτῶν ἕκαστον ἴσον μέρος αὐτῆς λαχεῖν καὶ μὴ πλέον σχεῖν ἕτερον θατέρου· τὸ δὲ ἐστι τὸ ἀμφοτέρους τεθνᾶναι· εἰ γάρ τις αὐτῶν ἔζη, ὁ μὲν μόνος εἶχεν, ὁ δὲ θανὼν ἀποστεροῖτο· εἰ δὲ καὶ ἄμφω, ἐπλεονέκτει ἂν ὁ μέν ποτε ἐκείνου ὁ δὲ τούτου, καθάπερ καὶ πρόσθεν ἐγένετο.

v. 891. διαλλακτῆρι δ' οὐκ ἀμεμφία] A. οὐδεὶς ἔπαινος καὶ τιμὴ τῷ καταλλάξαντι αὐτοὺς σιδήρῳ καὶ διαλύσαντι τὸ νεῖκος, ἀλλὰ μέμψις καὶ ὄνειδος. Οἱονεί, μέμφονται δὲ οἱ φίλοι τῷ διαλλακτῆρι αὐτῶν σιδήρῳ, ὡς οὐδετέρῳ χαρισαμένῳ, ἀλλ' ἀνελόντι καὶ τοὺς δύο.

διαλλακτῆρι] B. ἐμέρισαν δὲ ἐν διαλλακτῆρι καὶ τῆς μάχης παυστῆρι, τῷ θανάτῳ δηλονότι, βαρεῖ μὲν τοῖς φίλοις καὶ δυσχερεῖ ἅτε φίλοις, οἱ δὲ ἐχθροὶ τὴν αὐτῶν φύσιν ἠρνήσαντο, οὐ γὰρ ἐπίχαρις αὐτοῖς ἔδοξεν, ἀλλὰ καὶ οὗτοι ἠλέησαν, τοσοῦτόν ἐστι τὸ κατ' αὐτοὺς δρᾶμα. οὐκ ἀμεμφίᾳ] ἀλλ' ἐπὶ ψόγῳ.

v. 892. ἐπίχαρις] B. ἀπόδεκτος τοῖς ἐχθροῖς.

v. 893. ὧδ'] B. οὕτως.

v. 894. μένουσι] B. ἐκδέχονται.

v. 895. τάχ' ἂν τις εἴποι, τίνες] A. ὡς ἀνοήτως αὐτὸ εἰπούσης, ἐρωτᾷ τίνες αὐτοὺς μένουσι.

v. 896. τάφων πατρῴων λαχαί] A. αἱ σκαφαί. ὡς τό, Φυτὸν ἀμφελάχαινεν. (Odyss. Ω. 241.)

λαχαί] B. ἢ ἀντὶ τοῦ διορύξεις νοεῖ, λαχαίνω γὰρ τὸ σκάπτω, ἐξ οὗ καὶ λάχανα, ἢ (ὃ καὶ κρεῖττον) ἀντὶ τοῦ κληρώσεις, ἤγουν κεκληρωμένοι αὐτοῖς πατρῷοι τάφοι.

v. 897. δόμων μάλ' ἀχὼ] A. ἀπὸ τῶν δόμων ἠχὴν καὶ βοὴν προπέμπει ἐπ' αὐτοὺς γόος καὶ θρῆνος, δαϊκτήρ, καὶ διακόπτων πάντα, αὐτοπήμων, ἤτοι ἀφ' ἑαυτοῦ ἔχων τὰ κακά, ἐκ βάθους θρηνῶν. Ἥτις ἡ ἠχὼ μινύθει καὶ ἐλαττοῦται ἐμοῦ θρηνούσης, καὶ σφοδρότερον ἦχον καὶ μείζονα ποιουμένης.

ἀχὴν] B. βοήν. ἐπ' αὐτοὺς] τοὺς ἀδελφούς.

v. 899. αὐτόστονος, αὐτοπήμων] A. ἐν ἑαυτῷ τὸν στόνον ἔχων. Ὁ δὲ γόος, φησίν, αὐτοπήμων ἐστίν, ἀφ' ἑαυτοῦ τὰ κακὰ ἔχων καὶ τὰ πολέμια. Δαΐφρων δέ, οὐκ ἐπὶ τοῖς καλοῖς χαίρων.

v. 900. δαΐφρων] B. πολέμιος ταῖς φρεσί. Λυπηρὸς καὶ διακόπτων τὰς φρένας ὁ θρῆνος, πάντα δὲ τὰ τοιαῦτα ὀνόματα οἰκεῖα τῷ θρήνῳ, αὐτὸ γάρ ἐστι στεναγμὸς καὶ πῆμα τοῖς ἔχουσι, τὸ δὲ ἐτύμως πρὸς τὸ δαΐφρων καὶ οὐ πρὸς τὸ φιλαγαθὴς συντακτέον, ἀληθῶς γάρ ἐστιν ὁ γόος δαΐφρων, δακρυχέων δὲ ἐκ φρενὸς ἀντὶ τοῦ δακρυπέμπων ἐκ τῆς τοῦ ἔχοντος αὐτὸν διανοίας, οὐ γὰρ οἷόν τε γόον εἶναι χωρὶς δακρύων. Φιλαγαθὴς] φιλόγελως, γηθῶ τὸ χαίρω.

δακρυχέων ἐκ φρενὸς] A. ἐκ βάθους θρηνῶν.

δακρυχέων] B. κινητικὸς δακρύων. ἃ] ἡ φρήν μου.

v. 901. μινύθει] B. σμικρύνεται, πάσχει.

v. 903. πάρεστιν δ' εἰπεῖν] A. ἐπ' ἀμφοτέρων, τοῦ τ' Ἐτεοκλέους καὶ τοῦ Πολυνείκους, ὅτι πολλὰ κακὰ ἔπραξαν τοῖς πολίταις· τοῖς μὲν Θηβαίοις ὁ Ἐτεοκλῆς, τοῖς δὲ Ἀργείοις Πολυνείκης, ὡς ἐναντίοι γενόμενοι εἴς τε Θηβαίους καὶ Ἀργείους.

v. 904. ὡς ἐρξάτην] B. ὅτι ἔπραξαν. πολλά] δεινὰ δηλονότι. Ἐπειδὴ φάμεν ποιῶ σοὶ τόδε, καὶ ποιῶ σε

ἠτιμημένων, ἀμφότερα Αἰσχύλος ἐνταῦθα πεποίηκε λέγων, ὡς ἐποίησαν τοῖς πολίταις πολλὰ δεινὰ ἐν τῇ μάχῃ, καὶ τὰς στίχας καὶ τὰς τάξεις τῶν ξένων ἐποίησε πολυφθόρους, Ἐτεοκλῆς μὲν τοὺς πολίτας, Πολυνείκης δὲ τοὺς σὺν αὐτῷ, ὁ μὲν ἀγαγὼν ἐνταῦθα καὶ ἀπολωλεκώς, Θηβαῖοι δὲ πολιορκίας δεινὰς ὑπέμειναν.

v. 906. πολυφθόρους] A. μετὰ φθορᾶς ἐλθούσας.

πολυφθόρους] B. ποταπάς. ἐν δαΐδι] ἐν τῇ μάχῃ.

v. 907. δυςδαίμων σφὶν ἁ τεκοῦσα] A. ἡ μήτηρ αὐτῶν δυςτυχεστάτη πασῶν γυναικῶν ὅσαι παῖδας ἐποίησαν, θεμένη καὶ ποιήσασα ἄνδρα ἑαυτῆς τὸν ἴδιον παῖδα, τοῦτ' ἔστι, δυςδαίμων, ὅτι ὃν ἔτεκεν, ἄνδρα ἔσχε. Λέγει δὲ τὸν Οἰδίποδα, ἐξ οὗ ἐγεννήθησαν ὁ Ἐτεοκλῆς καὶ ὁ Πολυνείκης.

σφὶν] B. ἐν αὐτοῖς.

v. 911. ᾧδ'] B. ὡς ὁρῶμεν.

v. 913. ὁμόσποροι] A. ἀληθῶς ἀδελφοὶ καὶ πανώλεθροι γεγόνασιν, ἀλλήλους διατεμόντες ἐν μαινομένῃ ἔριδι πρὸς τῷ τέλει τῆς φιλονεικίας. Ἀποθανόντων γὰρ αὐτῶν πέπαυται τὸ ἔχθος.

ὁμόσποροι] B. ὑπῆρχον. πανώλεθροι] ὑπῆρξαν.

v. 916. νείκεος ἐν τελευτᾷ] B. θανόντες γὰρ πέπαυνται τοῦ φιλονεικεῖν τοῦ πρὸς ἀλλήλους.

v. 917. ἐν δὲ γαίᾳ] A. ἐν δὲ τῇ γῇ, ῥανθείσῃ τῷ αἵματι, μέμικται ἡ ζωὴ αὐτῶν.

v. 918. φονοῤῥύτῳ] B. ἐν ᾗ τὸ αὐτῶν αἷμα ἐῤῥευσεν.

v. 919. κάρτα δ' εἰσὶν ὅμαιμοι] A. τῇ συμφορᾷ.

κάρτα δ' εἰσ' ὅμαιμοι] B. κατὰ παντός εἰσιν ἀδελφοί, κατά τε γένος καὶ τύχην.

v. 920. πικρὸς λυτὴρ νεικέων] A. χαλεπὸς καὶ πικρὸς καὶ ὀδύνης αἴτιος, λυτὴρ τῶν νεικέων καὶ τῶν φιλονεικιῶν τοῦ Ἐτεοκλέους καὶ τοῦ Πολυνείκους, ὁ ξένος σίδηρος, ὁ πόντιος, ὁ ἐκ πυρὰς συθεὶς καὶ ὁρμηθείς, θηκτὸς καὶ ἠκο-

νημένος. Πικρὸς δὲ μεριστὴς τῶν χρημάτων ὁ σίδηρος. Πόντιον δὲ τὸν σίδηρον λέγει, ὅτι οἱ Χάλυβες, παράλιοί εἰσιν, ἐν οἷς ὁ σίδηρος γίνεται. Ἢ ὅτι ἔθνος ἐν τῷ πόντῳ οἱ Χάλυβες, ὅθεν ὁ σίδηρος. Ἐκ πυρὸς δὲ συθεὶς εἶπεν, ὅτι διὰ πυρὸς ἡ κατασκευὴ τοῦ σιδήρου. Τὸ δέ, Ἄρης ἀρὰν πατρὸς τιθεὶς ἀληθῆ, τοῦτό φησιν, ὅτι ἐπηράσατο ὁ Οἰδίπους διὰ ξιφῶν τὴν οὐσίαν αὐτοῦ μερίσαι καὶ διανείμασθαι τοὺς υἱοὺς αὐτοῦ, ταύτην δὲ τὴν τοῦ Οἰδίποδος ἀρὰν ἐπλήρωσεν ὁ σίδηρος.

πικρὸς λυτὴρ] B. ἐγένετο. ὁ πόντιος] εἰ γὰρ οἱ Χάλυβες παράλιοι, ἐκ τούτων δὲ ὁ σίδηρος εὕρηται, καιρὸν ἂν ἔχοι καὶ τοῦτον πόντιον ξεῖνον καλεῖσθαι.

v. 921. ξεῖνος] B. φίλος. συθεὶς] ὁρμηθείς, κατασκευασθείς.

v. 922. θηκτὸς] B. ἠκονημένος. πικρὸς] ὑπῆρξε.

v. 924. δατητὰς] B. μεριστής.

v. 925. τιθεὶς] B. ποιῶν.

v. 927. διοσδότων] B. τῶν ἐκ Διὸς δοθέντων.

v. 928. ὑπὸ δὲ σώματι γᾶς πλοῦτος ἄβυσσος ἔσται] A. πολλὴ τῆς γῆς ἡ ἀφθονία ὑποκείσεται αὐτοῖς. Ἢ οὕτως, ὑπὸ γῆν δὲ ὁ πολὺς πλοῦτος αὐτῶν κέκρυπται. Ἤγουν ἐν ἀφανείᾳ.

πλοῦτος] B. τοῦτο διπλῶς νοητέον, ἢ ὅτι ἔσται αὐτοῖς ὑπὸ τῷ σώματι τῆς γῆς, ἤγουν ὑπὸ τῷ Αἴδῃ, πλοῦτος πολύς, ἢ ὁ πολὺς πλοῦτος καὶ ἡ εὐδαιμονία, δι' ἣν οὕτως ἀθλίως ἀπώλοντο ὑπὸ τῷ Αἴδῃ, ἔσται αὐτοῖς. Ἔστι δὲ ἀμφότερα κατ' εἰρωνείαν. ἄβυσσος] πολύς. αὐτοῖς] ἔσται.

v. 931. πόνοισι] B. δυστυχίαις.

v. 932. τελευτᾷ δ' αἵδ' ἐπηλάλαξαν] A. ἐπὶ δὲ τῇ τελευτῇ αὐτῶν ἠλάλαξαν καὶ ἤχησαν, κατὰ τὸν ὀξύφωνον καὶ μεγαλόηχον νόμον, ἀραὶ τοῦ Οἰδίποδος. Ἀντὶ τοῦ, θόρυβον μέγαν καὶ θρῆνον αἱ ἀραὶ ἐποίησαν ἐπὶ τῷ θανάτῳ τούτων, τοῦ γένους παντὸς τοῦ Οἰδίποδος οὐκέτι φέροντος τὰς συμφοράς, ἀλλ' ἡττηθέντος αὐτῶν, καὶ οἱονεὶ δεδωκότος νῶτα τοῖς ἐχθροῖς, ἤγουν τοῖς κακοῖς τοῖς κατὰ τὸ γέ-

νας τοῦ Οἰδίποδος ἐνισχημένοις. Τῆς δὲ βλάβης τρόπαιον ἕστηκεν ἐν αἷς πύλαις ἐθείνοντο καὶ ἐτύπτοντο τοῖς ξίφεσιν οἱ ἀδελφοὶ (λέγει δὲ τὰς ἑβδόμας πύλας τῆς πόλεως) καὶ τοὺς δύο ἀπολέσασα ἡ τύχη ἐπαύθη.

τελευτᾷ δ' ἐπηλάλαξαν] B. ἐν τέλει, ἐν ὑστέρῳ ἤχησαν.

v. 933. τὸν ὀξὺν νόμον] B. τὸν ὄρθιον καὶ εἰς μάχην παρακλητικὸν, ᾧ κατὰ τῶν ἀντιπάλων χρῶνται οἱ ἐν πολέμῳ φεύγοντες. Ὥσπερ ἐν τῷ πολέμῳ ἐάν τινες ἀλαλαγὴν καὶ φόβον ἐμποιοῦσαν βοὴν πρὸς τοὺς αὐτῶν ἀντιπάλους ποιήσωνται, τούτοις τροπὴν ἐνεργάζονται καὶ δεῖγμα ταῖς νίκαις ἱστῶσι τρόπαιον, οὕτω καὶ νῦν Αἰσχύλος ποιεῖ, λέγων γὰρ πολλοῖς δεινοῖς τὸν Οἰδίποδος δόμον περιπεσεῖν, εἶθ' ὥσπερ τινὰ δεινὸν ὁπλίτην εἰσάγει τὴν τούτου ἀρὰν, ἣν τοῖς παισὶ κατηράσατο, τοσοῦτον ὑπερβαλλομένην τὰ πρὸς [θεν] δυστυχήματα ὡς παντελὲς ἐνεργάσασθαι ὅλου τοῦ γένους αὐτοῦ, τὸ δὲ ἦν Ἐτεοκλῆς καὶ Πολυνείκης, οἱ δι' αὐτὸν ἀθλίως ἀπολωλότες. Τὰ δὲ ἐστακε ἄτας τρόπαιον ἐν πύλαις, διὰ τὴν δυστυχίαν λέγει, ἢ διὰ τὸν θάνατον τὸν ἐν ταῖς πύλαις συμβάντα αὐτοῖς.

v. 934. παντρόπῳ] B. πάσης τροπῆς καὶ ἥττης μέστη.

v. 935. ἄτας] B. τῆς βλάβης.

v. 937. ἐθείνοντο] B. ἐσφάττοντο.

v. 938. ὁ δαίμων] B. ἡ δυστυχία.

v. 946. παισθεὶς] A. ἡ Ἀντιγόνη φησὶ πρὸς τὸν Πολυνείκην, τυφθεὶς καὶ πεσὼν, ἔτυψας. Φιλικῶς γὰρ διέκειτο πρὸς αὐτόν.

παισθεὶς] B. Πολύνεικες.

v. 947. σὺ δ' ἔθανες] A. Φησὶ δὲ πάλιν ἡ Ἰσμήνη, σὺ δὲ ὦ Ἐτέοκλες ὁ θανατώσας τὸν Πολυνείκην, ἔθανες ὑπ' αὐτοῦ. Ἄλλως. Οὗτος ὁ πλήξας ἐπλήγη. Σὺ δὲ κατακτανὼν, ἀνελὼν τὸν ἕτερον, ἀπέθανες.

ἔθανες] B. Ἐτέοκλες.

v. 949. μελεόπρονος] B. ἤγουν μέλεα πονήσας πρὸς τὸν ἀδελφόν. μελεοπαθής] ἄθλια παθὼν παρ' αὐτοῦ.

v. 950. ἴτω δάκρυα] A. ποτὲ πρὸς τοῦτον, ποτὲ πρὸς ἕτερον ἴτω δάκρυα. Καὶ ὁ ἀνελὼν τὸν ἕτερον, καὶ αὐτὸς προκείσεται, τοῦτ' ἐστι τεθνήξεται. Προκείσεται, δηλονότι νεκρός.

v. 942. μαίνεται] B. ταράσσεται.

v. 947. ἔφθισο] B. ἐφθάρης.

v. 951. διπλᾶ λέγειν] B. πάρεστι.

v. 952. ἀχέων τοίων τάδ' ἐγγύθεν] A. τοῖς πάθεσιν ἀγχιστεύοντα. Ἀντὶ τοῦ, οὐκ ἀλλότρια.

v. 953. γόων τοίων] B. διπλῶν. Ἐπειδὴ γὰρ ἔφασαν ὡς διπλᾶ λέγειν καὶ διπλᾶ ὁρᾶν πάρεστι, διὰ τοῦτο φησὶν Ἀντιγόνη καὶ αὖθις ὅτι τάδε τὰ παρόντα κακὰ πλησίον τοιούτων γόων, τουτέστιν εἰς διπλᾶ καὶ τοὺς περὶ αὐτῶν γόους διπλοῦς εἶναι δεῖ. Εὕρηται δὲ καὶ ἐν παλαιῷ βιβλίῳ, ἀχέων τάδ' ἐγγύθεν, ἤγουν ἐκ τοῦ πλησίον ταῦτα θρήνων, ὅπερ ἐστὶ κρεῖττον. Μαρτυρεῖ δὲ καὶ τὸ ἐπαγόμενον τὸ πέλας δ' αἵδ' ἀδελφαὶ ἀδελφεῶν.

v. 954. πέλας αἵδ' ἀδελφαί] A. ἐγγὺς δὲ κακῶν ὧν ἔπαθον οἱ ἀδελφοί, ἐσμὲν καὶ ἡμεῖς αἱ ἀδελφαί.

v. 956. ἰὼ μοῖρα] A. ἐφύμνιον. Φεῦ μοῖρα βαρέα πάθη παρέχουσα, καὶ ὦ σεβασμία Οἰδίπου σκιά, σύ τε ὦ Ἐριννύς, ὄντως μεγαλοδύναμος καὶ γενναία τις εἶ.

v. 957. Οἰδίπου σκιά] A. σκιὰν Οἰδίποδος αὐτὸν καλεῖ τὸν Οἰδίποδα. Τυφλωθεὶς γὰρ εἴδωλον εἶναι δοκεῖ καὶ οὐ τέλειος ἄνθρωπος. Ἄλλως. Ὁ ἀσθενὴς Οἰδίπους ὅτι δοκεῖ νῦν οὐδὲν ὑπάρχειν.

πότνιά τ' Οἰδίπου σκιά] B. ἤγουν ὦ Οἰδίπου διὰ τὸ γέρας σεβάσμιε. Σκιὰν δὲ αὐτὸν καλεῖ διὰ τὴν τύφλωσιν, ὥσπερ καὶ Εὐριπίδης αἰθέρος εἴδωλον. (Phoen. 1538.) Τινὸς δὲ τοῦτον ἕνεκα ἐνταῦθα καλεῖ, πρῶτον εἰποῦσα βαρυδότειρα Μοῖρα, ἔπειτα ὦ μέλαινα, Ἐριννύς; δι' οὐδὲν ἄλλο ἢ ὡς τῶν παρόντων κακῶν αἰτίαν γεγονότα, δι' ὧν τοῖς παισὶ κατηράσατο.

v. 958. μέλαινά τ' Ἐριννὺς] B. ἤγουν ἡ μελαίνουσα ταῖς συμφοραῖς τοὺς κολαζομένους ἢ ἀφανῶς ἐπιοῦσα. ἦ] ὄντως. μεγασθενὴς] οὐδεὶς γὰρ τὸ σὸν ἐξέφυγε κράτος.

v. 959. ἠέ, ἠὲ] A. φεῦ φεῦ. Τοῦτο ὡς πρὸς Πολυνείκην καὶ τοὺς μετ' αὐτοῦ φησιν, ὅτι ἐκ τῆς φυγῆς ἐπανήκοντες ἐμοὶ τῇ ἐνταῦθα μεινάσῃ ἐδείξατε βλάβας ἀφορήτους.

δυςθέατα] B. οὐκ ἀνεκτὰ ὁρᾶσθαι. ἐδείξατ' ἐκ φυγᾶς] τοῦτο πρὸς μόνον τὸν Πολυνείκην φυγόντα καὶ κατὰ τῆς πατρίδος ἐπενέγκοντα στρατὸν, καὶ τῶν παρόντων συμφορῶν γενόμενον αἴτιον.

v. 960. οὐδ' ἵκεθ' ὡς κατέκτανε] A. Ἐτεοκλῆς. πρότερος γὰρ κατέκτανε τὸν Πολυνείκην.

οὐδ' ἵκεθ'] B. ζῶν ὁ Ἐτεοκλῆς. ὡς κατέκτανε] Πολυνείκην.

v. 961. πνεῦμα] B. τὴν ψυχήν.

v. 962. ἀπώλεσε δῆτα] B. ἔφθειρεν ἀληθῶς. ἐνόσφισε] ἐστέρησε.

v. 965. κήδε] B. πάθη. ὁμώνυμα] Πολυνείκη.

v. 966. δίυγρα] A. πήματα χεόμενα, καὶ πολλά. Τριπάλτων δὲ πημάτων, σφοδρῶς πηδησάντων.

δίυγρα] B. αἱματοσταγῆ. τριπάλτων πημάτων] πολυορμήτων καὶ πολυκινήτων δυστυχημάτων, οἱ γὰρ μαχόμενοι πολλαῖς ὁρμαῖς χρῶνται πρὸς τοῦτο.

v. 955. λέγειν] B. πάρεστι.

v. 956. ἰὼ μοῖρα βαρυδότειρα] A. τὸ ἐφύμνιον.

μογερὰ] B. θρηνητική.

v. 958. ἦ μεγασθενής τις εἶ] B. ὄντως ἄρα μέγα δυνάμενος ὑπάρχεις.

v. 967. σὺ τοίνυν οἶσθα] A. σὺ οἶδας ὦ Πολύνεικες τὴν Μοῖραν ὅσον δύναται, διαβὰς δι' αὐτῆς, ἢ δι' αὐτὴν καταβὰς εἰς τὸν Ἅιδην. Σὺ δὲ ὦ Ἐτέοκλες, οὐ μετ' οὐ πολὺ, οὐδ' ὕστερον ἔμαθες ἄντικρυς, τὸν ἀδελφόν σου πολεμήσας.

σὺ τοίνυν οἶσθα διαπερῶν] B. εἰπούσης Ἀντιγόνης πρὸς τὴν Ἐριννὺν, ἦ μεγασθενής τις εἶ, φησὶν Ἰσμήνη πρὸς Πολυνείκην, σὺ νῦν οἶσθα καὶ γινώσκεις πρῶτος τὸ τῆς Ἐριννύος σθένος, διαπερῶν καὶ διερχόμενος καὶ οἱονεὶ ταύτης πειρώμενος. Λέγει δὲ Ἐριννὺν τὴν ἐξ ἀρᾶς τοῦ πατρὸς τιμωρησαμένην αὐτοὺς δύναμιν. Εἶτα θέλουσα ἐπαγαγεῖν τὴν αἰτίαν δι' ἣν τὸ τῆς Ἐριννύος ᾐσθάνετο σθένος, αὐτὴ δὲ ἦν τὸ ἐπεὶ κατῆλθες, αὐτὸς γὰρ πρῶτος πεπείραται διὰ τῆς τοῦ πατρὸς ἀρᾶς ἐξελασθεὶς τῆς πόλεως, καὶ πάλιν κατελθῶν οὐκ εἰς φιλίαν ἀλλ' ἐπὶ μάχῃ· τοῦτο βουλομένη εἰπεῖν ἐκωλύθη παρ' Ἀντιγόνης διὰ μέσον εἰπούσης, σὺ δὲ ὦ Ἐτεόκλες οὐδὲν πρόσθεν τὴν Ἐριννὺν ἐγίγνωσκες, εὐτυχῶν καὶ ἄρχων τῆς πόλεως, ἔμαθες δὲ ὕστερον ὅτε συνῆλθες τῷ ἀδελφῷ, καὶ κτανὼν αὐτὸν καὶ αὐτὸς ὑπ' ἐκείνου πεφόνευσαι.

v. 968. σὺ δ' οὐδὲν] B. Ἐτεόκλες ἐγίνωσκες. Ὕστερος μαθὼν ὅτε συνῆλθες τῷ ἀδελφῷ.

v. 970. ἀντηρέτας] A. ἀντηρέτης, ἤγουν ἀντιστάτης τῷ Ἐτεοκλεῖ.

δορὸς] B. τοῦ πολέμου. ἀντηρέτας] ἀντιστάτης.

v. 973. ὀλοὰ δ' ὁρᾷν] A. οὐ μόνον ταῦτα λέγειν ὀλοά, ἀλλὰ καὶ ὁρᾶσθαι. Κεῖται γὰρ τὰ σώματα.

v. 974. ἰὼ ἰὼ κακὰ δώμασι] A. ἃ δι' ὑμᾶς ἔχομεν.

πόνος] B. τῶν ἀδελφῶν. ἐξημμένος] ἐξηρτημένος καὶ ἐνιστάμενος. ἰὼ ἰὼ] φεῦ. κακὰ δώμασι] τὰ ἀπελθόντα τοῖς δώμασι.

v. 975. καὶ χθονὶ] B. τῇ γῇ τῶν Θηβαίων τὰ ἀπελθόντα.

v. 976. καὶ πρόσω γ' ἐμοὶ] B. τὰ περισσότερα τὰ ἐπελθόντα ἐμοί.

v. 977. δυσπότμων] B. αὐτὴ ἡ γενικὴ πρὸς τὸ ἀρχηγέτα. κακῶν] τῶν νῦν.

v. 978. ἀρχηγέτα] B. οὐ γὰρ ἂν τὰ παρόντα συνέβη π...ματα, εἰ μὴ τὸν ἀδελφὸν οὕτως ἐξέλασεν.

v. 980. δαιμονῶντες] A. λυσσήσαντες.

δαιμο-

v. 979. δαιμονῶντες] B. μαινόμενοι, ἀλόγως ὁρμῶντες κατ' ἀλλήλων.

v. 980. θήσομεν] B. θάψομεν.

v. 982. ἰὼ ἰὼ πῆμα] A. ἀπὸ γὰρ τῆς εὐνῆς τῆς τοῦ Οἰδίποδος ταῦτα. Ἄλλως πάρευνον, παρὰ τὴν εὐνὴν τοῦ πατρός, τοῦτ' ἔστι, πλησίον τοῦ πατρός. ὑπ' ἡμιώτατ μέρο:

πῆμα] B. βλάβη. πάρευνον] τὸ ἐν εὐνοίᾳ, ἢ παρὰ τὴν εὔνοιαν αὐτοῦ, ἤγουν ἐκτός. Ἐπειδὴ γὰρ ἡ μὲν ἀρὰ ἐξ αὐτοῦ, τὰ δὲ παρόντα ἐκ ταύτης γέγονε, εἰκότως τὸ αὐτῶν δυστύχημα σύνευνον τῷ πατρὶ καλεῖ, τουτέστιν οἰκεῖον καὶ ἐξ ἐκείνου γενόμενον. τὰ δόξαντα τοῖς προβούλοις ἀπαγγεῖλαι με χρή:

v. 983. δοκοῦντα καὶ δόξαντα] A. ὁ κῆρυξ ἐλθὼν φησὶ πρὸς τὴν Ἰσμήνην καὶ τὴν Ἀντιγόνην, πρέπει με ἀπαγγεῖλαι ὑμῖν τὰ ἀρέσκοντα τοῖς στρατηγοῖς καὶ τοῖς προέχουσι τῶν Θηβαίων. Ταῦτα δὲ εἰσί, τὸ τὸν Ἐτεοκλέα μὲν ταφῆναι περιφανῶς καὶ ἐντίμως, διότι ὑπὲρ τῆς πόλεως τέθνηκε· τὸν δὲ Πολυνείκην ἄταφον ῥιφθῆναι, βρωθέντα ὑπὸ τῶν ὀρνέων, διότι ἦλθεν ἀφανίσαι τὴν πόλιν ἡμῶν, εἰ μὴ οἱ θεοὶ διεκώλυσαν.

δοκοῦντα] B. νῦν. δόξαντα] τότε. Τίνος χάριν ἔθηκεν ἀμφοτέρους χρόνους τὸν ἐνεστῶτά τε καὶ παρῳχημένον; καὶ φαμὲν τὸν μὲν παρῳχημένον διὰ τὸ ἅπαξ δόξαι αὐτοῖς ὅτι περὶ τούτου ἡ σκῆψις [σκέψις] ἦν, τὸν δὲ ἐνεστῶτα διὰ τὸ καὶ νῦν ἔτι δοκεῖν. χρὴ] πρέπει.

v. 984. προβούλοις] B. τοῖς βουλευομένοις ὑπὲρ τοῦ δήμου. Τοῖς ἄρχουσι.

v. 985. ἐπ' εὐνοίᾳ] B. ἐπὶ φιλίᾳ. Εἰς τὸ ἐπ' εὐνοίᾳ χθονὸς ἐλάμβανεν ἔξωθεν τὸ τελευτήσαντα, ἵν' ᾖ οὕτως, τὸν ἐπ' εὐνοίᾳ τῆς χθονὸς τελευτήσαντα Ἐτεοκλέα ἔδοξε θάπτειν ἐν φίλαις καὶ ἐντίμοις κατασκαφαῖς γῆς. Ἢ οὕτως· πρέπει ἀπαγγέλειν με τὰ δόξαντα τοῖς τῆς πόλεως ἄρχουσι. Τὰ δὲ ἦν, τὸν μὲν Ἐτεοκλέα θάπτειν ἔδοξεν ἐπ' εὐνοίᾳ χθονὸς ἐν κατασκαφαῖς καὶ ὀρύξεσι γῆς φίλαις αὐτῷ, τουτέστι, τὸ ταφῆναι αὐτὸν ἀγαπητὸν καὶ ἀπόδεικτον [ἀπόδεκτον] ὑπάρχοντα τῇ γῇ, ὥσπερ αὐτῆς μέχρι θανάτου

ἠγωνισμένον, ὅπερ ἐστὶ κρεῖττον τοῦ προτέρου. χθονὸς] γῆς.

v. 986. ἔδοξε] B. ἔφανη καλόν. φίλαις κατασκαφαῖς] ἐντίμοις καὶ πρεπούσαις καὶ ἀποδεικτοῖς [ἀποδέκτοις] ἐκείνῳ, . . . παρήγγειλε γὰρ αὐτὰ Κρέοντι.

v. 987. εἴργων] B. κωλύων. εἷλε] ἐκτήσατο.

v. 988. ἱερῶν πατρῴων δ' ὅσιος ὢν μομφῆς ἄτερ τέθνηκεν] A. λείπει ἡ ὑπέρ, ἵν' ᾖ, ὑπὲρ ἱερῶν πατρῴων ὁσίως μαχόμενος, ἀπέθανεν ἀμέμπτως.

ὅσιος] B. δίκαιος. μομφῆς] κατηγορίας.

v. 989. οὗπερ τοῖς νέοις θνήσκειν καλὸν] A. παρὰ τὸ, Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.

τέθνηκεν] B. τουτέστι, τέθνηκεν ὅσιος ὢν χωρὶς μέμψεως ἱερῶν πατρῴων, ἤγουν οὐ μεμπτὸς καὶ ἀσεβὴς δόξας τοῖς πατρῴοις ἱεροῖς, ὥσπερ ὁ Πολυνείκης πορθῶν αὐτά. οὗπερ] αὐτοῦ.

v. 990. ἐπέσταλται] B. ὥρισται ἐμοί.

v. 991. τούτου] B. τοῦ Ἐτεοκλέους. τόνδε] τὸν νεκρόν.

v. 992. ἁρπαγὴν] B. τροπήν.

v. 993. ὡς ὄντ' ἀναστατῆρα] A. ὡς ὑπάρχοντα ἀφανιστὴν καὶ πορθητὴν τῆς πόλεως τῶν Θηβαίων.

ὡς] B. καθά. ἀναστατῆρα] ἀφανιστὴν ὅσον τὸ κατ' ἐκεῖνον, . . . μεμισημένος ἔσται τοῖς ἐν Θήβαις θεοῖς.

v. 994. θεῶν] B. ἀπὸ τῶν.

v. 995. ἄγος] B. μῖσος.

v. 996. ἀτιμάσας] B. καὶ εἰς οὐδὲν λογισάμενος.

v. 997. ᾕρει πόλιν] B. ἐπολιόρκει.

v. 998. πετεινῶν] B. τῶν ὀρνέων, δοκεῖ] τοῖς ἄρχουσι.

v. 999. ταφέντα] B. ῥιφθέντα, βρωθέντα. ἐπιτίμιον] τὴν ἀξίαν ἀμοιβήν.

v. 1000. καὶ μήθ' ὁμαρτεῖν] A. καὶ μήτε τούτῳ ἐπακολουθῆσαι θύματα ἐπὶ τοῖς νεκροῖς διὰ χειρῶν ἐργαζόμενα τῷ τύμβῳ τοῦ νεκροῦ.

ὁμαρτεῖν] B. ἀκολουθεῖν αὐτῷ. τυμβόχοα] ἐπιτάφια. χειρώματα] θύματα τὰ διὰ τῆς χειρὸς γινόμενα.

v. 1001. μήτ' ὀξυμόλποις] A. μήτε θῦσαι τῷ Πολυνείκῃ, μήτε κλαῦσαι ἐπάνω τοῦ τάφου αὐτοῦ, καὶ ὀξυφώνοις θρήνοις τιμᾷν αὐτόν. Καὶ γὰρ καὶ τοῦτο οἱ παλαιοὶ τιμὴν ὑπελάμβανον, εἴ τις ἐπὶ τῷ τύμβῳ τοῦ τεθνεῶτος ἔθυσε καὶ ἐκόψατο. Διὰ τοῦτο καὶ ὁ κῆρυξ, ἵνα μὴ τιμηθῇ ὁ Πολυνείκης, ἐντέλλεται μήτε διὰ θυσιῶν, μήτε δι' οἰμωγμάτων τιμηθῆναι αὐτόν.

σεβεῖν] B. τιμᾷν αὐτόν.

v. 1002. ἐκφορᾶς] A. ἐκκομιδῆς. Σημείωσαι ὅτι τὸ συγκομίζειν καὶ ἀνακομίζειν ἐπὶ νεκρῶν λέγεται. Καὶ συγκομιδὴ μὲν λέγεται ἡ πρὸ τοῦ τάφου πᾶσα ἐπιμέλεια. Ἐκκομιδή, ἡ πρὸς τὸν τάφον ἀπαγωγή. Ἀνακομιδή, ἡ ἐκ τάφου εἰς τάφον μετάθεσις.

ἐκφορᾶς] B. κηδεύματος. φιλῶν] ὑπὸ τῶν οἰκείων καὶ συγγενῶν.

v. 1003. τοιαῦτ' ἔδοξε] A. τοιαῦτα ἤρεσε τούτῳ τῷ τάγματι πάντων τῶν Θηβαίων καὶ πλήθει.

τῷδε] B. τῷ Πολυνείκει. τέλει] τῇ ἐξουσίᾳ.

v. 1005. ἦν] B. ἐάν. συνθάπτειν] σὺν τῷ ἀδελφῷ.

v. 1006. κἀνὰ κίνδυνον βαλῶ] A. καὶ εἰς κίνδυνον ἐμβαλῶ ἐμαυτὴν διὰ τοῦτον. Ἄλλως. Καὶ βαλῶ αὐτὸν ἐν τῇ γῇ, ὥστε μή τινα κίνδυνον ὑποστῆναι παρά τινος θηρίων. Εἰ δ' ἔχει βαρεῖαν, λέγει τό, καὶ ῥίψω ἐμαυτὴν ἀνὰ κίνδυνον, θάψασα τὸν ἀδελφόν.

σφε] B. αὐτόν. κίνδυνον] εἰς. βαλῶ] ἐμαυτήν.

v. 1007. αἰσχύνομαι] B. αἰδοῦμαι.

v. 1008. ἄπιστον] B. ἀνθισταμένην, ἐναντίαν. ἀναρχίαν] ἄναρχος δοκοῦσα καὶ μὴ πειθομένη τῇ πόλει τε καὶ τοῖς ἄρχουσιν. Οὗτοι μὲν γὰρ ἄταφον βούλονται Πολυνείκην εἶναι, ἐγὼ δὲ τούτων ἀκόντων ταφῇ παραδώσω.

v. 1009. δεινὸν τὸ κοινὸν] B. μέγιστόν ἐστιν ἡ συγγένεια καὶ τῶν ἀδυνάτων πεῖσαι κατατολμᾷν, ἥστινος συγγε-

νείας ἐγὼ καὶ Πολυνείκης πεφύκαμεν, ἐκ πατρὸς καὶ μητρός, τουτέστιν ἀδελφοὶ ὄντες καὶ ἐκ μιᾶς γαστρὸς προσελθόντες, ταυτοῦ τυχόντες σπέρματος. πεφύκαμεν] ἐγεννήθημεν.

v. 1010. μητρὸς] B. ὑπό.

v. 1011. τοι γὰρ θέλουσ' ἄκοντι κοινώνει κακῷ] A. διὰ τοῦτο θέλουσα ὦ ψυχὴ κοινώνει ἀδελφῷ τῷ Πολυνείκει τῷ ἄκοντι καὶ δι' ἀνάγκην γενομένῳ κακῷ.

τοι γὰρ] B. τὸ λοιπόν.

v. 1012. ψυχὴ] B. ὦ. συγγόνῳ] ἀδελφῷ. Φρενὶ] τὸ φρενὶ πρὸς τὸ ἄκοντι θανόντι λέγε, οὐ γὰρ εἶχε κατὰ νοῦν Πολυνείκης τὸν αὐτοῦ θάνατον, ἀλλὰ τὸν τοῦ ἀδελφοῦ.

v. 1013. κοιλογάστορες λύκοι] A. ἀντὶ τοῦ μεγαλογάστορες. Καὶ πάσονται ἀντὶ τοῦ γεύσονται.

v. 1014. μὴ δοκησάτω τινί] A. μὴ τοῦτο ἀρεσάτω.

σπάσονται] B. λαβῶσι, φαγῶσι. δοκησάτω] τοῦτο.

v. 1015. κατασκαφὰς] B. ὀρύγματα.

v. 1016. μηχανήσομαι]. B. ἐκ μηχανῆς ποιήσω.

v. 1017. κόλπῳ φέρουσα] A. φέρουσα ἐν τῷ κόλπῳ τοῦ βυσσίνου πέπλου. Διὰ δὲ τούτου τὴν γῆν αἰνίττεται, ὡς ἐνταφιάσαι τοῦτον τῇ γῇ μέλλουσα. Ἄλλως. Τῷ τοῦ βυσσίνου κόλπου πέπλῳ τὴν γῆν παρακομίζουσα, ὡς ἐπιβάλλειν μέλλουσα χῶμα διὰ τοῦ πέπλου, διὰ τὸ μὴ δύνασθαι ὀρύττειν.

κόλπῳ] B. διὰ τοῦ κόλπου. φέρουσα] χοῦν δηλονότι. βυσσίνου πεπλώματος] τοῦ βασιλικοῦ ἱματίου.

v. 1018. μηδὲ τὸ δόξῃ πάλιν] A. μήτε ἀντεστραμμένως ἐμοί, ἤγουν ἐναντίως, τίς οἰηθῇ γενήσεσθαι τοῦτο, τὸ θάψαι τὸν ἀδελφὸν τὸν Πολυνείκην.

μηδὲ] B. ὅρα ἵνα. δόξῃ] τινὶ ἄλλῳ. πάλιν] ἄλλο τι.

v. 1019. δραστήριος] B. ἔνεργος ἐφεύρηται, ἢ ὅθεν καὶ τοὺς τοιούτους ἄνδρας δραστηρίους καλοῦμεν.

v. 1021. περισσὰ] B. πολλὰ καὶ ἀνόνητα.

v. 1022. τραχύς γε μέντοι] A. τοῦτό φησιν ὁ κήρυξ, ὅτι ὁ λαὸς τῆς πόλεως ἐλεύθερος τῶν κακῶν γενόμενος, ὡς ἐκποδὼν τῶν πολεμίων γενομένων, τραχὺς καὶ ἀπηνὴς ἔσται κατὰ σοῦ, ὡς παρὰ γνώμην αὐτοῦ τὸν Πολυνείκην θελούσης θάψαι. Ἡ δὲ Ἀντιγόνη φησὶ πρὸς αὐτόν, τράχυνε, ἀντὶ τοῦ, λέγε πολλάκις ὅτι τραχύς ἐστιν ὁ δῆμος, ἀλλ' ὅμως οὐκ ἀναστελεῖς με θάψαι τὸν ἀδελφόν.

τραχὺς] B. σκληρὸς ὑπάρχει.

v. 1023. τράχυν'] B. σκληρὸς ὕπαρχε. οὐ γενήσεται] ἐστερημένος τάφου.

v. 1024. ὃν] B. ὅντινα. στυγεῖ] μισεῖ.

v. 1025. ἤδη τὰ τοῦδε] A. τὰ περὶ τῆς τιμῆς τούτου τοῦ Πολυνείκους ὑπὸ θεῶν οὐ κέκριται κακῶς, ἀλλὰ τίμιος καὶ οὗτος παρὰ θεοῖς.

ἤδη] B. πάλαι. Εἰπόντος τοῦ ἀγγέλου πρὸς αὐτήν, ἀλλ' ὃν στυγεῖ ἡ πόλις τοῦτον αὐτὴ τιμήσεις θάψασα; δυσχεραίνουσα αὐτὴ φησίν, ἤδη καὶ πάλαι οὐ διατετίμηται, καὶ οὐ διὰ τιμῆς ἤχθησαν τὰ τοῦδε τοῖς θεοῖς, τουτέστιν, ἐκ πολλοῦ ἠμέληται οὗτος παρὰ τῶν θεῶν, καὶ οὐδεμίαν αὐτοῦ ἐποιοῦντο φροντίδα, οὐ γὰρ ἂν εἴασαν ἐκπεσεῖν τῆς χθονὸς ὑπὸ τοῦ ἀδελφοῦ ἀδίκως. Ὥστε τι καὶ παρὰ τῶν πολιτῶν νῦν μισεῖται. Πρὸς ὃ ἀπολογούμενος οὗτός φησι, οὐ τουτέστιν, οὐ πρότερον ἠμέληται παρὰ τῶν θεῶν πρὶν εἰς κίνδυνον καταστῆσαι τήνδε τὴν χώραν.

v. 1026. οὔ, πρίν γε χώραν] A. εἰπούσης τῆς Ἀντιγόνης ὅτι τὰ περὶ τῆς τιμῆς τοῦ Πολυνείκους κακῶς κέκριται παρὰ τοῖς θεοῖς, φησὶν ὁ κήρυξ πρὸς αὐτήν, οὐδαμῶς τὰ τοῦ Πολυνείκους ἠτιμήθησαν παρὰ τοῖς θεοῖς, πρὶν κακῶσαι αὐτὸν τὴν πόλιν, ἀλλὰ μετὰ τὸ αὐτὸν τὴν πόλιν ἐμβαλεῖν κακοῖς.

πρὶν] B. πρὸ τοῦ. κινδύνῳ βαλεῖν] ἐν κινδύνῳ θεῖναι.

v. 1027. παθὼν κακῶς] B. ὑπὸ τοῦ Ἐτεοκλέους. ἀντημείβετο] αὐτόν.

v. 1028. ἀλλ' εἰς ἅπαντας] A. ἀλλ' ἀντὶ τοῦ ἑνός, Ἐτεοκλέους δηλονότι (αὐτὸς γὰρ μόνος ἔβλαψεν αὐτὸν) πάντας τοὺς πολίτας οὐκ ἔδει ἀμείβεσθαι κακοῖς. Ὑπὸ γὰρ μόνου τοῦ Ἐτεοκλέους ἀδικηθείς, πᾶσι τοῖς Θηβαίοις ἐπολέμησε.

ἅπαντας] B. τοὺς πολίτας. ἀνθ' ἑνὸς] ἀντὶ τοῦ Ἐτεοκλέους τόδ' ἔργον] ἡ μάχη.

v. 1029. ἔρις] B. φιλονεικία. Παῦσον πολλά μοι λέγειν, περαίνει γὰρ καὶ τελέει τὸν μῦθον καὶ τὸν λόγον ἔρις ὑστάτη θεῶν, τουτέστι πολλὰ λέγοντες ἐγώ τε καὶ σὺ παυσόμεθα, μή πως ἄ, καταστaῖμεν [ἀποκαταστaῖμεν] εἰς μάχην· τῶν γὰρ πολλῶν λόγων τὸ τέλος οὐκ ἔστιν ἕτερον ἢ μάχη. Τὸ δὲ ὑστάτη θεῶν, ἀντὶ τοῦ ἐλάττων. Πάντες γὰρ οἱ θεοὶ ἀγαθῶν αἴτιοι, τὸ δὲ τῆς ἔριδος χρῆμα πληγὰς καὶ φόνους ἔστ' ὅτε παρασκευάζειν, ἔλαττόν ἐστι καὶ τῆς θεῶν φιλανθρωποτάτης γνώμης ἀποστατεῖ. ὑστάτη] τελευταία.

v. 1030. θάψω] B. καλύψω. μὴ μακρηγόρει] ἤγουν, μὴ μακρολόγει.

v. 1031. ἀλλ' αὐτόβουλος ἴσθι] A. τοῦτ' ἔστι, τῇ ἰδίᾳ γνώμῃ, ὃ βούλει, πράττε.

ἴσθ'] B. τὸ ἦσθα οὐ μόνον ἀντὶ τοῦ ὑπῆρχες, ἀλλὰ καὶ ἀντὶ τοῦ ὑπάρχεις, ὥσπερ φαμὲν καὶ ἦν ἀντὶ τοῦ ἐστί, καὶ ἀντὶ τοῦ ὑπῆρχεν. ἀπεννέπω] ἀπαγορεύω.

v. 1032. Φεῦ φεῦ ὦ μεγάλαυχοι] A. διαιρεῖται ὁ χορὸς τῶν γυναικῶν, τῶν μὲν ὑπὲρ Πολυνείκους, τῶν δὲ ὑπὲρ Ἐτεοκλέους οὐσῶν· ὥσπερ δὲ μεμέρισται ὁ χορός, οὕτως καὶ αἱ ἀδελφαί· καὶ ἡ μὲν Ἰσμήνη, τῷ Ἐτεοκλεῖ ἀκολουθεῖ καὶ τῇ πόλει· ἡ δὲ Ἀντιγόνη, τῷ Πολυνείκῃ. φθερσιγενεῖς] αἱ ἐπὶ τῷ φθείρειν γεγονυῖαι.

μεγάλαυχοι] B. μεγαλοδύναμοι. φθερσιγενεῖς] αἱ φθείρουσαι τὸ γένος ἡμῶν.

v. 1034. κῆρες] B. θανατηφόροι.

v. 1035. πρυμνόθεν] B. ἐσχάτως, ῥιζόθεν.

v. 1036. τί πάθω] B. ἵνα. . . . τί δὲ δρῶ] ἵνα ποιήσω.

v. 1038. τύμβον] B. τὸν τάφον.

v. 1039. κἀποτρέπομαι] B. καὶ ἀποδιωκῶ, ἀπαγορεύσω, ἀπαναίνομαι.

v. 1041. σύ γε μὴν πολλῶν πενθητήρων] A. ἐνταῦθα χωρίζονται γυναῖκές τινες, αἱ μέν, συγκλαίουσαι τῇ Ἀντιγόνῃ ἕνεκεν τοῦ Πολυνείκους· αἱ δέ, τῇ Ἰσμήνῃ, χάριν τοῦ Ἐτεοκλέους.

σύ γε] B. Ἐτεόκλες.

v. 1042. κεῖνος] B. ὁ Πολυνείκης.

v. 1044. τίς οὖν ταῦτα] A. τίς οὖν πεισθείη τοῖς δόξασι τῇ πόλει, καὶ τίς ἡμῶν ἐστι ταύτης τῆς γνώμης;

εἶσι] B. εἰς ᾅδου πορεύεται. τὰ] ἃ λέγουσι. πίθοιτο] τοῖς ἄρχουσι.

v. 1045. δράτω πόλις] A. λείπει τὸ κακῶς, ἵν' ᾖ οὕτως, δράτω καὶ μὴ δράτω κακῶς ἡ πόλις τοὺς κλαίοντας τὸν Πολυνείκην, καὶ διὰ τούτου τιμῶντας.

δράτω] B. κακῶς.

v. 1046. τοὺς κλαίοντας] B. τοὺς ὀδυρομένους.

v. 1047. ἡμεῖς μὲν ἴμεν] A. ἴμεν καὶ συνθάψομεν σὺν τῇ Ἀντιγόνῃ τὸν Πολυνείκην. Καὶ γὰρ οὐ πάντοτε τῷ δήμῳ καὶ τῇ πόλει τὰ αὐτὰ δοκεῖ.

ἡμεῖς μὲν] B. μερίζεται ὁ χορὸς εἰς δύο, αἱ μὲν ὑπὲρ Πολυνείκους, αἱ δὲ ὑπὲρ Ἐτεοκλέους. ἴμεν] πορευόμεθα. συνθάψομεν] σὺν σοί.

v. 1048. αἵδε] B. αὗται. προπομποί] προπέμπουσαι αὐτόν. γενεᾷ] τῇ ἀνθρωπίνῃ.

v. 1049. ἄχος] B. ὁ θάνατος. ἄλλως] ἀλλοτρόπως.

v. 1050. ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια] B. νῦν μὲν τούτους, νῦν δὲ ἐκείνους κολάζουσα, τοιοῦτο γάρ ἐστιν ὁ δῆμος, ὃ πρώην δίκαιον νομίζει, τοῦτο ὕστερον ἄδικον οἰόμενος.

v. 1051. ἅμα τῷδ'] B. σὺν τῷ Ἐτεοκλεῖ.

v. 1052. δίκαιον] B. δίκαιον γὰρ συμπονεῖν τῷδε ὑπὲρ πατρίδος ἠγωνισμένῳ.

v. 1053. μετὰ γὰρ μάκαρας] A. μετὰ γὰρ τοὺς θεοὺς, καὶ τὴν ἑαυτοῦ] ἰσχὺν ὑπὲρ τῆς πόλεως προέθετο, καὶ οὐκ εἴασε τὴν πόλιν ἡμῶν ὑπὸ χειμερινοῦ κύματος κατακλυσθῆναι. Κῦμα δὲ τὴν ἔφοδον εἴρηκε τῶν Ἀργείων. Ἀκολούθως μέντοι τῷ κύματι τὸ κατακλυσθῆναι ἐπήγαγε.

μάκαρας] B. τοὺς θεοὺς τοὺς ἀθανάτους. ἰσχὺν] καὶ τὴν δύναμιν.

v. 1054. ἤρυξε] B. ἐκώλυσεν.

v. 1055. ἀνατραπῆναι] B. ἀφανισθῆναι. ἀλλοδαπῶν] ἀλλοτρίων.

v. 1056. κύματι φωτῶν] B. γένει ἀνδρῶν.

v. 1057. κατακλυσθῆναι] B. ἀφανισθῆναι. μάλιστα] λίαν.

SCHOLIA DE METRIS
IN HAC TRAGOEDIA.

Scholia ad v. 1. 78. 188. 209. 214. 217. 222. vide fupra fuis locis notata.

v. 201. πύργον στέγειν] Ἰαμβικοὶ στίχοι τρεῖς.

v. 204. μήποτ' ἐμὸν] Ἑτέρα στροφή. Τὰ δὲ κῶλα ἀντισπαστικὰ, ὅμοια τοῖς ἄνω, γ'. Τὸ δὲ τέταρτον ἡμιόλιον.

v. 208. μή μοι] Ἰαμβικοὶ στίχοι τρεῖς.

v. 211. ἐστί· θεοῖς] Ἑτέρα ἀντίστροφή. Τὰ δὲ κῶλα ἀντισπαστικὰ ὅμοια τοῖς τῆς στροφῆς τριμέτροις βραχυκαταλήκτοις γ' — τὸ δὲ δ' ἡμιόλιον.

v. 215. Ἀνδρῶν τάδ' ἐστι] Ἰαμβικοὶ στίχοι τρεῖς.

v. 218. διὰ θεῶν] Ἑτέρα στροφή. Τὰ δὲ κῶλα ἀντισπαστικὰ τρίμετρα ὅμοια τοῖς ἄνω, β'. Τὸ τε γ' ἡμιόλιον.

v. 221. οὔτι φθονῶ] Ἰαμβικοὶ στίχοι τρεῖς.

v. 224. ποταίνιον κλύουσα] Ἑτέρα ἀντιστροφή. Τὰ δὲ κῶλα ἀντισπαστικὰ τρίμετρα, ὅμοια τοῖς ἄνω, β'. Τὸ δὲ γ' ἡμιόλιον.

v. 227. μὴ νῦν] Οἱ ἑξῆς στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι με'.

v. 272. μέλει] Οὗτος ὁ χόρος συνίσταται ἐκ κώλων χοριαμβικῶν πδ'. Ὧν τὰ μέν ἐστι τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά· τὰ δὲ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ· τὰ δέ, ἡμιόλια. Εἰσὶ δὲ ἀναπαιστικά τινα δίμετρα ἀκατάληκτα· ὧν τελευταῖον. Ἀλγέων ἐπίῤῥοθον. Ἐν ἐκθέσει δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ἕξ.

v. 402. τὸν ἀμόν νυν ἀντίπαλον] Ἀντισπαστικὰ κῶλα ε'. Τὰ δ' τρίμετρα βραχυκατάληκτα· τὸ δὲ ε' ἡμιόλιον. Ἔχουσι δὲ καὶ ταῦτα καὶ τὰ ἑξῆς πάντα τοὺς πλείους τῶν ποδῶν καὶ πεντασυλλάβους καὶ ἑξασυλλάβους. Διαλύονται γὰρ καὶ τῶν τετρασυλλάβων ποδῶν αἱ μακραὶ συλλαβαὶ εἰς δύο βραχείας. Ἔοικε δὲ στροφῆ· ἔχει γὰρ καὶ ἀντιστροφὴν τὰ κῶλα τὰ ἑξῆς τοῦ χοροῦ. Ἴσθι δὲ ὅτι οἱ χορίαμβοι οὐκ ἐν τάξει αὐτῶν κεῖνται, ἀλλὰ προστιθεμένης καὶ ἑτέρας συλλαβῆς γίνονται πεντασύλλαβοι, καὶ ἀποτελοῦσιν ἐπιτρίτους. Ὁμοίως καὶ οἱ λοιποί.

v. 407. τούτῳ μὲν οὕτως] Διπλῆ ἑτέρα περίοδος. Οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λ'.

v. 437. ὄλοιθ' ὃς πόλει] Ἀντισπαστικὰ κῶλα ε', ἰσόμετρα τοῖς πρὸ αὐτῶν. Ἔοικε δὲ εἶναι ταῦτα ἀντιστροφὴ τῆς προτέρας στροφῆς.

v. 466. ἐπεύχομαι δὴ τάδε] Ἀντισπαστικὰ κῶλα ε'. Τὰ δ' τρίμετρα βραχυκατάληκτα, ὅμοια τοῖς πρώτοις. Τὸ δὲ ε' ἡμιόλιον. Ἔοικε δὲ εἶναι ἑτέρα στροφή.

v. 471. τέταρτος ἄλλος] διπλῆ ἑτέρα περίοδος. Οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι λε'.

v. 506. πέποιθα τὸν Διὸς] Ἀντισπαστικὰ κῶλα ε', ἰσόμετρα τοῖς πρὸ αὐτῶν. Ἔοικε δὲ εἶναι ταῦτα ἀντιστροφή.

v. 548. ἱκνεῖται λόγος] Ἀντισπαστικὰ κῶλα ε΄. Τὰ μὲν δ΄ τρίμετρα βραχυκατάληκτα. Τὸ δὲ δ΄ ἡμιόλιον. Ἔοικε δὲ καὶ ταῦτα ἑτέρα εἶναι στροφή· ἔχει γὰρ καὶ ἀντιστροφὴν τὰ κῶλα τοῦ ἑξῆς χρόνου. Ἔχει δὲ καὶ ταῦτα πεντασυλλάβους καὶ ἑξασυλλάβους πόδας.

v. 611. κλύοντες θεοὶ] Ἀντισπαστικὰ κῶλα ς΄, ἰσόμετρα τοῖς πρὸ αὐτῶν. Ἔοικε δὲ εἶναι ταῦτα ἀντιστροφή.

v. 671. τί μέμηνας τέκνον] Ἀντισπαστικὰ κῶλα γ΄. Τὰ δύο τρίμετρα βραχυκατάληκτα ὅμοια τοῖς πρὸ αὐτῶν· τὸ δὲ τρίτον ἡμιόλιον. Ἔοικε δὲ στροφή. Ἰσόμετρα δέ εἰσι τοῖς προῤῥηθεῖσι εἰ καὶ πλείω σύλλαβας ἔχει.

v. 677. ὠμοδακὴς] Ἀντισπαστικὰ κῶλα δ΄ ἰσόμετρα τοῖς ἄνω τοῦ χοροῦ κώλοις.

v. 690. νῦν ὅτε σοι] Ἀντισπαστικὰ κῶλα δ΄ ἰσόμετρα τοῖς ἄνω τοῦ χοροῦ κώλοις.

v. 705. πέφρικα] Οὗτος ὁ χορὸς συνέστηκεν ἐκ κώλων οβ΄. Ὧν τὰ πρῶτα ιδ΄ ἀναπαιστικά· τὰ μὲν δίμετρα βραχυκατάληκτα τὰ δὲ ἀκατάληκτα, ἤτοι ἑφθημιμερῆ· τὰ δὲ ἑξῆς πάντα χοριαμβικὰ καὶ ἀντισπαστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ καὶ ἡμιόλια καὶ τρίμετρα βραχυκατάληκτα.

v. 777. θαρσεῖτε παῖδες] Εἴςθεσις μερικῆς διπλῆς. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετρα ἀκατάληκτοι λ΄.

v. 807. Ὦ μέγαλε Ζεῦ] Ὁ χορὸς οὗτος συνίσταται ἐκ κώλων καὶ στίχων με΄. Ὧν τὰ πρῶτα δέκα ἀναπαιστικά· τὰ μὲν πρῶτα δύο δίμετρα ἀκατάληκτα, τό δὲ γ΄ μονόμετρον. Τὰ ἑξῆς πέντε δίμετρα ἀκατάληκτα· τὸ θ΄ μονόμετρον· τὸ δὲ ι΄ δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται παροιμιακόν. Εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν, καὶ τὸ μέτρον ἐνήλλαξεν. Εἰσὶν οὖν τὰ ἑξῆς δύο κῶλα τροχαϊκά· τὸ πρῶτον δίμετρον ἀκατάληκτον, τὸ δὲ δεύτερον ἑφθημιμερές. Ὁ ιγ΄ ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος. Τὰ ἑξῆς β΄ κῶλα τροχαϊκὰ ἑφθημιμερῆ. Τὰ ἑξῆς δύο κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα. Τὰ ἑξῆς

ιγ' τροχαϊκά· τὸ β' δίμετρον ἀκατάληκτον, τὰ δὲ β' ἐφθημιμερῆ. Ὁ κα' ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος. Ἑξῆς δ' ἰαμβικὰ δίμετρα ἀκατάληκτα· τὸ δὲ ε', τροχαϊκὸν ἐφθημιμερές. Ὁ κζ' ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος. Τὰ ἑξῆς δ' κῶλα, ἰαμβικὰ δίμετρα ἀκατάληκτα. Τὸ δὲ ε', τροχαϊκὸν ἐφθημιμερές. Εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν, καὶ τὸ μέτρον ἐνήλλαξεν. Εἰσὶν οὖν στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ε'. Ἐν ἐκθέσει δὲ κῶλον ἀναπαιστικὸν ἐφθημιμερές, ὅμοιον τοῖς ἑξῆς. Ἔθος γάρ ἐστι τοῖς ποιηταῖς ἐν ταῖς ἐκθέσεσι τῶν μελῶν τοιαῦτα κῶλα τιθέναι ὅμοια τοῖς ἑξῆς. Εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξεν αὖθις. Καί εἰσι κῶλα ἀναπαιστικὰ θ'. Ὧν τὰ μὲν ἑπτὰ δίμετρα ἀκατάληκτα. Τὸ η' μονόμετρον, ὃ καὶ παρατελευταῖον ὀνομάζεται. Ἔθος γάρ ἐστιν ἐν ταῖς ἐκθέσεσι τῶν μελῶν ὡς ἐπὶ τὸ πλεῖστον, τὸ παρατελευταῖον κῶλον μονόμετρον τιθέναι. Τὸ δὲ θ' κῶλόν ἐστιν ἐφθημιμερές, ὃ καλεῖται παροιμιακόν. Σύνηθες γὰρ τὸ ἐφθημιμερὲς ἐν τῷ τέλει κεῖσθαι τοῦ μέλους.

v. 854. ἰὼ δυςαδελφόταται] Τὸ πρῶτον ἰαμβικὸν μονόμετρον· τὰ δὲ δ' ἀναπαιστικά.

v. 858. ἰὼ ἰὼ δύςφρονες] Τροχαϊκὰ τὰ γ'. Τὸ δὲ β' ἰαμβικὸν τρίμετρον.

v. 871. τετυμμένοι δῆθ'] Ἀντισπαστικὰ ἡμιόλια β' καὶ ἓν μονόμετρον.

v. 879. ἀναυδάτῳ μένει] ὅμοια ἡμιόλια γ'.

v. 882. διήκει δὲ καὶ πόλιν] ὅμοια ἐφθημιμερῆ δ', καὶ ὁμιόλια β', καὶ πενθημιμερὲς ἕν.

v. 897. δόμων μάλ' ἄχω] ὅμοια δίμετρα ἀκατάληκτα ἕξ. Τὸ δὲ ζ' ἐφθημιμερές.

v. 903. πάρεστι δ' εἰπεῖν] ὅμοια ἐφθημιμερῆ ε'.

v. 913. ὁμόσποροι δῆτα] Ἀντισπαστικοὶ θ' ἡμιόλιοι.

v. 920. πικρὸς λυτὴρ] ὅμοια ς' καταληκτικά. Τὰ δὲ ε' ἐφθημιμερῆ.

v. 926. *ἔχουσι μοῖραν*] ὅμοια δ'. Τὸ πρῶτον τρίμετρον καταληκτικόν· τὸ δὲ γ' ἑφθημιμερές.

v. 930. *ἰὼ πολλοῖς*] ὅμοια δέκα· τὰ μὲν δίμετρα ἀκατάληκτα, τὰ δὲ ἑφθημιμερῆ, τὰ δὲ πενθημιμερῆ, τὰ δὲ ἡμιόλια.

v. 939. *μοῖρα βαρυδότειρα*] τροχαϊκὰ β'.

v. 946. *παισθεὶς ἔπεισας*] τὰ ἑξῆς ταῦτα ἰαμβικὰ ε'· τὸ α', τρίμετρον, τὰ δὲ γ' δίμετρα· τὰ γὰρ β' πρόσωπα ἓν ποιοῦσι κῶλον· τὸ δὲ πέμπτον ἑφθημιμερές.

v. 943. *ἐντὸς δὲ καρδία στένει*] ἰαμβικοὶ τρεῖς δίμετροι.

v. 948. *πρὸς φίλου γ' ἔφθισο*] τροχαϊκοὶ β' ἰθυφαλλικοί.

v. 951. *διπλᾶ λέγειν*] ἰαμβικὰ δίμετρα γ'.

v. 956. *μοῖρα βαρυδότειρα*] ὅμοια τοῖς ἄνω.

v. 959. *ἠέ, ἠέ, δυςθέατα*] τροχαϊκὰ γ'.

v. 961. *οὐδ' ἵκεθ' ὡς κατέκτανε*] ἰαμβικὰ ζ'.

v. 967. *σὺ τοίνυν οἶσθα*] ἰαμβικὰ θ'.

v. 976. *ἰὼ ἰώ, καὶ πρόσω γ' ἐμοὶ*] κῶλα ιβ' — τὰ πρῶτα ἰαμβικὴ βάσις· τὰ δὲ β', τροχαϊκὰ ἑφθημιμερῆ.

v. 984. *δοκοῦντα καὶ δόξαντ'*] Εἴςθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι μθ'.

v. 1032. *φεῦ φεῦ ὦ μεγάλαυχοι*] Διπλῆ ἐν ἐκθέσει τοῦ δράματος ἀμοιβαίας τὰς περιόδους ἔχουσα. Τὰ δὲ κῶλά εἰσιν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά. Ἤτοι ἑφθημιμερῆ δ', μονόμετρα κς'. Ὧν τὸ κε' μονόμετρον, παρατελευταῖον ὀνομαζόμενον· τὸ δὲ κς' τὸ κατακλυσθῆναι τὰ μάλιστα, ἑφθημιμερές. Καὶ ἑξῆς ἡ κορωνὶς ἡ τὸ δρᾶμα ἀποπερατοῦσα.

SCHOLIA IN PERSAS.

ὙΠΟΘΕΣΙΣ ΤΗΣ ΤΟΥ ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΙΔΙΑΣ Ἡ ἘΠΙΓΡΑΦΕΤΑΙ ΠΕΡΣΑΙ.

Γλαῦκος ἐν τοῖς περὶ Αἰσχύλου μύθων, ἐκ τῶν Φοινισσῶν φησὶ Φρυνίχου τοὺς Πέρσας παραπεποιῆσθαι. Ἐκτίθησι δὲ καὶ τὴν ἀρχὴν τοῦ δράματος ταύτην, Τάδ' ἐστὶ Περσῶν τῶν πάλαι βεβηκότων. Πλὴν ἐκεῖ εὐνοῦχός ἐστιν ἀγγέλων ἐν ἀρχῇ τὴν τοῦ Ξέρξου ἧτταν, στρωννύς τε θρόνους τινὰς τοῖς τῆς ἀρχῆς παρέδροις· ἐνταῦθα δὲ προλογίζει χορὸς πρεσβυτῶν. Τῶν δὲ χορῶν τὰ μέν ἐστι παροδικά, ὡς ὅτε λέγει δι' ἣν αἰτίαν πάρεστιν, ὥς τό, Τύριον οἶδμα λιποῦσα. Τὰ δὲ στάσιμα· ὡς ὅτε ἵσταται, καὶ ἄρχεται τῆς συμφορᾶς τοῦ δράματος. Τὰ δὲ κομματικά, ὅτε λοιπὸν ἐν θρήνῳ γίνεται. Καί ἐστιν ἡ μὲν σκηνὴ τοῦ δράματος παρὰ τῷ τάφῳ Δαρείου· ἡ δὲ ὑπόθεσις· Ξέρξης στρατευσάμενος κατὰ τῆς Ἑλλάδος μετὰ δυνάμεως πολλῆς, ἵππον μὲν ἄμετρον ἐπαγόμενος, ναῦς δὲ χιλίας διακοσίας ἑπτά, ἢ καὶ δεκατέσσαρας· καὶ πεζῇ μὲν ἐν Πλαταιαῖς νικηθείς, ναυτικῇ δὲ ἐν Σαλαμῖνι, καὶ διὰ Θεσσαλίας φεύγων, διεπεραιώθη εἰς τὴν Ἀσίαν. † Ἰστέον δὲ ὅτι οἱ Ἕλληνες τριακοσίας μόνον νῆας εἶχον. Πρώτη ἔφοδος Περσῶν ἐπὶ Δαρείου ἐδυστύχησε περὶ Μαραθῶνα· δευτέρα, ἐπὶ Ξέρξου, περὶ Σαλαμῖνα καὶ Πλαταιάς, τοῦ Θεμιστοκλέους στρατηγοῦ ὄντος τότε τῶν Ἀθη-

ναίων καὶ ῥήτορος, καὶ νῆας εἰπόντος ποιῆσαι καὶ ἀντιτάξασθαι πρὸς τὸν Ξέρξην. Οὗ καὶ γενομένου, περιεγένοντο αὐτοῦ. Ὁ Ἀπόλλων γὰρ τοῖς Ἀθηναίοις μαντευομένοις πῶς τῶν Περσῶν περιγενήσονται, εἶπε τείχη ξύλινα κατασκευάσαι, καὶ οὕτω περιγενέσθαι αὐτῶν. Καὶ οἱ μὲν τείχη ἔλεγον ποιῆσαι εἰς τὴν πόλιν ξύλινα ἀντὶ τῶν λιθίνων· ὁ δὲ Θεμιστοκλῆς οὐχ οὕτως, ἀλλὰ νῆας εἶπε ποιῆσαι, αἳ πολλάκις διὰ τῶν οἰκείων τειχῶν σώζουσι τοὺς ἀνθρώπους. [Ἐπὶ Μένωνος τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ, Πέρσαις, Γλαύκῳ πότνιεῖ, Προμηθεῖ.] Τούτου τοῦ Ξέρξου πατὴρ μὲν ἦν Δαρεῖος ὁ Περσῶν βασιλεὺς, μήτηρ δὲ Ἄτοσσα. Γίνωσκε δὲ ὅτι Δαρεῖοι τρεῖς εἰσι· πρῶτος δὲ τούτων υἱὸς Ὑστάσπου, προκριθεὶς ὑπὸ τῶν Περσῶν, καὶ βασιλεύσας αὐτῶν, ὃς ἦν καὶ Ξέρξου πατὴρ τοῦ στρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας· δεύτερος δὲ ὁ Ἀρταξέρξου πατὴρ, σύρος προσαγορευθεὶς, ἢ νόθος. Ἔσχατος δὲ Δαρεῖος ὁ ὑπ' Ἀλεξάνδρου τοῦ Φιλίππου καταλυθείς. Τινὲς δὲ καὶ τέταρτον Δαρεῖον λέγουσιν εἶναι.

Ἄλλως.

Ἡ τούτου τοῦ δράματος ὑπόθεσίς ἐστιν ἡ κατὰ τῆς Ἑλλάδος ἐπιστράτεια τοῦ Ξέρξου, καὶ αἱ ἐκεῖθεν δυστυχίαι καὶ ἀποχώρησις. Τὰ δὲ πρόσωπα ΧΟΡΟΣ γερόντων περὶ τὰ βασίλεια τοῦ Ξέρξου, ΑΤΟΣΣΑ, ἡ τοῦ Ξέρξου μήτηρ, ἡ καὶ προβιβασθεῖσα δι' ὀνειράτων τὴν τούτου ἧτταν, ΑΓΓΕΛΟΣ πάντα διασαφῶν, ΕΙΔΩΛΟΝ ΔΑΡΕΙΟΥ καὶ ΞΕΡΞΗΣ. Πᾶσα δὲ ἡ ἱστορία τοῦ Ξέρξου ἔχει οὕτως.

Ἱππίας ὁ Πεισιστράτου τύραννος ὢν Ἀθηναίων ἐξέπεσε τῆς τυραννίδος. Ἐλθὼν οὖν παρὰ Πέρσας ἱκετεύει Δαρεῖον στρατεύειν κατ' Ἀθηνῶν· καὶ ὃς πείθεται, ὡς Ἀριστείδης φησίν. Ἡρόδοτος δὲ γράφει Ἀθηναίους ἀναπεισθέντας ὑπ' Ἀρισταγόρου τοῦ Μιλησίου πορθῆσαι πόλιν τὰς Σάρδεις οὔσας ὑπὸ Δαρείου, καὶ ἑτέρως πολλάς. Ὃ καὶ μαθὼν Δαρεῖος ἤρετο τίνες οἱ Ἀθηναῖοι καὶ ἀπέστειλε κατ' αὐτῶν Μαρδόνιον μετὰ βαρείας δυνάμεως καὶ στόλου πολλοῦ. Ναυαγήσαντα δὲ τοῦτον περὶ Ἄθω, ὡς δισμυρίαν ἀνδρῶν ναυαγῆσαι, καὶ τραυματισθῆναι ὑπὸ θραυσμάτων καὶ αὐτὸν, παραλύει

μὲν ὁ Δαρεῖος τοῦτον τῆς ἀρχῆς. Δευτέρῳ δὲ ἔτει ἀπὸ τοῦδε ἔπεμψεν Ἀθηναίοις σπυρίδα, γῆν καὶ ὕδωρ αἰτῶν, ὡς δῆθεν ἐντεῦθεν δόξαι γῆς καὶ θαλάσσης εἶναι κύριος. Οἱ δὲ τοὺς μὲν Περσῶν πρέσβεις εἰς Φρέαρ ζῶντας βαλόντες ἄνωθεν γῆν καὶ λίθων βολὰς πέμποντες, τούτους κατέχωσαν. Μῦν δέ τινα Σάμιον ἑρμηνεύσαντα τοῖς Ἀθηναίοις τὰ Περσοῦ γράμματα κατά τινας μὲν ἀνεῖλον, κατά τινας δὲ ἄτιμον ἐποίησαν, ὡς καὶ Ἀρίθμιον τὸν Ζελείτην ἠτίμωσαν, χρύσιον βαρβαρικὸν αὐτοῖς παρὰ Δαρείου κομίσαντα πρεσβευόμενον. Κυρσίλον τῆς βουλῆς ἕνα κατεθαλάττωσαν καὶ ἀνεῖλον Ἀθηναῖοι, ὅτι γῆν καὶ ὕδωρ συνεβούλευε πέμπειν τῷ βαρβάρῳ· αἱ δὲ τῶν Ἀθηναίων γυναῖκες τὴν γυναῖκα Κυρσίλου ὁμοίως κατελίθωσαν, καὶ οἱ παῖδες τοὺς παῖδας αὐτῶν. Τῷ αὐτῷ ἔτει Ὀλυμπιάδι οα' Δαρεῖος μετὰ τὸ ἐκστῆναι Μαρδόνιον τῆς ἀρχῆς ἔπεμψε πάλιν κατὰ Ἀττικῆς Δάτιν καὶ Ἀρταφέρνην, ἀνέψιον αὐτοῦ, χιλίων νεῶν στόλῳ, πεντήκοντα μυριάδων στρατιὰν ἔχοντι. Καὶ Νάξον εἷλον, καὶ Ἐρετρίαν Εὐβοΐδα πόλιν, ἐν δὲ τῇ Δήλῳ Δάτις ἐθυμίασε τῷ Ἀπόλλωνι λιβανώτου τ' τάλαντα. Ἀποπλεύσαντες δὲ καὶ περὶ Μαραθῶνα στρατοπεδευσάμενοι σὺν οἷς καὶ ὁ τύραννος Ἱππίας Μιλτιάδου στρατηγοῦντος Ἀθηναίων καὶ Στησιλέου, πολεμαρχοῦντος δὲ Καλλιμάχου καὶ Κυναιγείρου καὶ Πλαταιῶν συμμαχούντων αὐτοῖς χιλίων ἡττῶνται καὶ πρὸς Δαρεῖον ὑποστρέφουσιν, ὅπερ ἀκηκοὼς, κατὰ τῆς Ἑλλάδος ηὐτρεπίζετο στρατεύειν. Ἐπὶ τρεῖς οὖν ὅλους ἐνιαυτοὺς στόλον τε ηὐτρέπιζε καὶ πεζὸν συνῆγε στρατόν. Τετάρτῳ δὲ ἔτει Δαρεῖος μὲν τελευτᾷ, Ξέρξης δὲ καὶ τὸν βασίλειαν καὶ τὸν πόλεμον διαδέχεται δέκα παρελθόντων ἐνιαυτῶν, Μαρδονίου μὲν ἀναγκάζοντος αὐτὸν πολεμεῖν, Ἀρταβάνου δὲ ἀποτρέποντος. Ἦν οὖν ὁ πᾶς ἀριθμὸς αὐτῷ τῆς στρατιᾶς ἀπόμαχός τε καὶ μάχιμος μυριάδες πεντακόσιαι πλοῖα, δὲ χίλια σς'. υ' δ' ἦν τάλαντα ἡμερησία τροφὴ τῷ στρατῷ. Ἐμέτρησε δὲ τὴν στρατιὰν Ξέρξης τοῦτον τὸν τρόπον. Μυρίανδρον τεῖχος κατεσκεύασε καὶ τοῦτο πληρῶν καὶ κενῶν οὕτω τὰς μυριάδας ἠρίθμει. Στρατευόντων οὖν κατὰ Ἑλλάδος ἠθέλησε καινοτομῆσαι τὰς τῶν στοιχείων φύσεις. Βουβαρὴς γὰρ καὶ ὁ πεντά-

πηχυς Ἀρταχαῖος προπεμφθέντες μετὰ πολλῶν μυριάδων τῆς ὀρυγῆς τοῦ Ἄθω ἐπεστάτουν καὶ διέκοπτον αὐτόν, καὶ ἐθαλάττουν εἰς βάθος. Ἕτεροι δὲ γεφυροῦν ἐπέμφθησαν τὸν Ἑλλήσποντον περὶ τὴν τραχεῖαν ἀκτὴν λεγομένην μεταξὺ Σήστου καὶ Ἀβύδου. Γεγονυίας δὲ τῆς γεφύρας καὶ λυθείσης ὑπὸ χειμῶνος, καὶ τῆς τοῦ πελάγου ῥύμης, διακοσίαις ῥάβδων πληγαῖς ἔτυψε τὸν Ἑλλήσποντον, καὶ δύο δεσμοῖς σιδηροῖς ἐκέλευσεν ἑκατέρωθεν τῶν μερῶν συσχεῖν τὸ πέλαγος. Καὶ δῆθεν τὴν θάλασσαν οἷα δούλην δεσμῶν τοῖς κλοιοῖς. Ἑτέρας δὲ δύο γεφύρας ἀντὶ τῆς προτέρας τούτῳ τῷ τρόπῳ ἐποίησεν. Ἐκέλευσε γὰρ ἅπαν τοῦτο τὸ πέλαγος πληρῶσαι νηῶν καὶ ταύτας παρ' ἀλλήλους συννῆσαι δεσμοῖς σιδηροῖς, καὶ ἀσφαλίσασθαι ταύτας ἐξ ἑκατέρας ἠϊόνος· εἶτα δοκεῖς διὰ πάσων τούτων συνεχῶς προσηλῶσαι καὶ τούτου γενομένου γῆν ἐπιβαλεῖν, καὶ καταστορέσαι μυρίνων καὶ δαφνῶν φύλλα. Ἑκατέρωθεν δὲ τῆς γεφύρας ἦσαν ἕτεροι δοκεῖς περικλείοντες τὴν γέφυραν, μήπως τις ὀλισθήσας καταπέσῃ πρὸς τὴν θάλασσαν. Οὕτω μὲν αἱ γέφυραι γεγόνασι κατὰ τὸν Ἑλλήσποντον καὶ λίθινον ἕδραν αὐτῷ ὑψήλην ἐκεῖ ἐποιήσαντο, ἐν ἧπερ ἐφιδρυνθεὶς ὕστερον ὅταν παρεγέγενεν τὸ στράτευμα ἔβλεπε. Πρῶτον ἐς περὶ Κελαινὸν, πόλιν τῆς Φρυγίας] ἐλθὼν ξενίζεται σὺν παντὶ τῷ στρατεύματι παρὰ Πυθίου τοῦ Λυδοῦ, ὃς καὶ τῷ Δαρείῳ πρὶν ἐδωρήσατο χρυσῆν ἀναδενδράδα καὶ πλάτανον, καὶ τῷ Ξέρξῃ τότε ἐχαρίζετο ἀργυρίου β' τάλαντα, καὶ υ' μυριάδας δαρείκου χρυσίου νομίσματος χιλίασιν ὀλίγαις ἀπολειπόμενα. Ὧν οὐδὲν ὁ Ξέρξης λαβὼν ἀλλὰ τὴν προαίρεσιν ἀσπασάμενος καὶ τὸ λεῖπον μᾶλλον τῶν μυριάδων ἀναπληρώσας αὐτῷ ἔμελλε πρὸς τὰ τοῦ Ἑλλησπόντου μέρη πορεύεσθαι διὰ Φρυγίης καὶ Λυδίης. Περί τινα δὲ τόπον ἰδὼν ὡραίαν πλάτανον, καθ' Ἡρόδοτον χρυσῆν ἑτέραν τοιαύτην ἐποίησεν, ἐφ' ἣν καθεζόμενος ἐν μεσημβρίᾳ σκιᾶς ἀπέλαυε. Πορευομένου δὲ αὐτοῦ προσωτέρω, ἐπικυψάντων μὲν τῶν ἵππων πιεῖν, ἀπεξηράνθη ὁ Μαίανδρος, ὡς καὶ ὁ Πενειὸς περὶ Θεσσαλίαν ὕστερον, καὶ ἐν Ἀθήναις ὁ Ἴλισσος, καὶ ἕτεροι. Τοξευούσης δὲ τῆς στρατιᾶς ὁ ἥλιος ἀπεκρύβετο τοῖς τοξεύμασιν. Ἐφθακότος δὲ περὶ τὸν Ἑλλήσπον-

λήσποντον ἔκλειψις ἡλίου καὶ σημεῖα ἐγένετο ἕτερα. Ὅμως ἑπτὰ νυξὶ καὶ ἡμέραις ὁ στρατὸς ἀπερικοπῶς τὰς γεφύρας ἐπεραιοῦτο. Τέλος ἐφ' ἅρματος καὶ αὐτὸς διαπεραιοῦται. Ἐρχομένου δὲ πρὸς τὴν Ἀττικὴν Ἀθηναίοις ἐδόθη χρησμὸς οὗτος·

Τεῖχος τριτογενεῖ ξύλινον δίδοι εὐρυόπα Ζεὺς
Μοῦνον ἀπόρθητον τελέθειν, τό σε τέκνα τ' ὀνήσει.
Μὴ δὲ σύ γ' ἱπποσύνην τε μένων καὶ πέζον ἰόντα
Πολλὸν ἀπ' ἠπείρου στρατὸν ἥσυχος, ἀλλ' ὑποχώρει.

Καὶ ἕτερα τοιαῦτα. Τοῦτο γοῦν ἀκούσαντες οἱ Ἀθηναῖοι οὐκ ἠδύναντο ξυνιέναι, τί τὸ ξύλινον τεῖχος, ἀλλ' οἱ γέροντες ᾤοντο πύργους ξυλίνους προστάττειν αὐτοῖς τὴν Πυθίαν ποιεῖν. Οὓς καί τινες ποιήσαντες, καὶ ἐπανάβαντες ὑπὸ Περσῶν πύργοις αὐτοῖς κατεκαύθησαν. Θεμιστοκλῆς δὲ μόνος εἰπὼν ξύλινον τεῖχος εἶναι τὰς τριήρεις, καὶ τοῦτο βούλεσθαι τὸν χρησμόν, ἔπεισε. Καὶ τοὺς μαχίμους τριήρεσιν ἐμβαλών, καὶ περὶ Σαλαμῖνα ὁρμίσας μετὰ τῶν ἄλλων Ἑλληνικῶν νεῶν γυναῖκας καὶ γέροντας καὶ παῖδας ἐξέπεμψεν εἰς Τροιζῆνα. Ἦσαν δὲ πᾶσαι αἱ τῶν Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλλήνων νῆες τοα'. Ἐρχομένου δὲ τοῦ Ξέρξου μετὰ τῆς πεζῆς στρατιᾶς καὶ μέλλοντος διαβαίνειν τὰς ἐν Ἑλλάδι οὕτω καλουμένας Πύλας Λεωνίδας ὁ Σπαρτιάτης μετὰ τ' κατέσχε τὴν πάροδον· πάνυ δὲ λαμπρῶς ἀγωνισάμενος, καὶ τῶν βαρβάρων πολλοὺς διαφθείρας καὶ ἀδελφοὺς β' τοῦ Ξέρξου, τέλος ὑπὸ τοσούτου πλήθους αὐτός τε καὶ οἱ σὺν αὐτῷ συμπατηθέντες ἀπώλλοντο. Ἐλθὼν δὲ ὁ Ξέρξης οὕτω μετὰ τῆς πεζῆς στρατιᾶς ταύτην μὲν περὶ Θήβας εἴασεν, αὐτὸς δὲ μετὰ οὐκ ὀλίγων ἀναβὰς περὶ τὸ Αἰγιάλεον ὄρος ἐκάθητο· τὸ δέ ἐστιν ἀντικρὺ Σαλαμῖνος, ὁρῶν τὴν ναυμαχίαν. Ἐν Σαλαμῖνι γὰρ συνέβαλον ἀμφότερα τὰ ναυτικά, τό τε βαρβαρικὸν καὶ τὸ Ἑλληνικόν. Ἡττηθέντος δὲ κατάκρας τοῦ βαρβαρικοῦ ναυτικοῦ θεώμενος ὁ Ξέρξης, καὶ ἅμα ἀκούων, ὡς μέλλουσιν Ἕλληνες καταλήψασθαι καὶ διαφθείρειν τὴν γέφυραν, Μαρδόνιον μὲν εἴασε μετὰ τῆς πεζῆς στρατιᾶς αὐτόθι. Αὐτὸς δὲ μέρος τι τοῦ στρατεύματος παραλαβών, δραμὼν καταλαμβάνει τὴν γέφυραν. Καὶ πλείστοις κινδύνοις

περιπεσὼν μόλις μετ' ὀλίγων καταλαμβάνει τὴν πατρίδα. Μαρδονίῳ δὲ συμβαλόντες οἱ Ἀθηναῖοι κατεπολέμησαν. Ἔσχε δὲ τὴν μὲν ἐν Σαλαμῖνι τῆς ναυμαχίας νίκην Θεμιστοκλῆς. Τὴν δὲ ἐν Πλαταιᾷ τοῦ πέζου νίκην Παυσανίας ὁ Λακεδαιμονίων στρατηγός.

v. 1. τάδε μὲν Περσῶν] Α. τοῦτο δεικτικῶς οἷον φησι τὶς πρὸς ἑαυτόν, ὅτι τάδε καὶ ταῦτα πιστὰ καὶ πιστώματα καλεῖται τῶν Περσῶν τῶν πορευθέντων εἰς τὴν Ἑλλάδα γῆν. Ἀντὶ τοῦ, ἡμεῖς πιστοὶ χρηματοφύλακες τῶν Περσῶν καλούμεθα, καὶ ἐσμὲν ἐπόπται τῶν οἴκων αὐτῶν· οὕς τινας ἡμᾶς αὐτὸς ὁ Ξέρξης ὁ βασιλεύς, ὁ τοῦ Δαρείου υἱός, ὡς πρεσβύτας καὶ ἐντίμους ὄντας (τοῦτο γὰρ δηλοῖ τὸ κατὰ πρεσβείαν) προέκρινε τῶν ἄλλων, ἐφορεύειν, ἤτοι ἄρχειν, καὶ ἐπόπτας εἶναι, καὶ ἐπιτηρητὰς τῆς χώρας αὐτοῦ, μὴ δυναμένους πολεμεῖν. Τὸ δὲ πιστὰ τινές φασιν, ὅτι ὑποπτεύσαντες τοὺς κατὰ χορὸν ἑαυτοὺς λέγειν πιστώματα Περσῶν. Ἀγνοοῦσι δὲ ὅτι πόλις ἐστὶ Περσῶν ἔσωθεν, Πίστειρα καλουμένη, ἣν συγκόψας ὁ ποιητὴς πιστὰ ἔφη.

οἰχομένων] Β. πορευθέντων.

τάδε μὲν Περσῶν] Γ. Ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου. Τὰ δὲ κῶλα εἰσίν, ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ μονόμετρα ξε'. Εἶτα εἰς ἑτέραν ὑπόθεσιν μεταβὰς τὸ μέτρον τοῦτο ἐνήλλαξε. Καί εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ καὶ ἀκατάληκτα καὶ μονόμετρα μς'. Ὧν τὸ τελευταῖον τροχαϊκὸν ἰθυφαλλικὸν διὰ τὰ ἑξῆς. Εἶτα εἰς ἑτέραν ὑπόθεσιν μεταβὰς καὶ ἑτέρῳ μέτρῳ ἐχρήσατο. Καί εἰσι τὰ ἑξῆς κῶλα τροχαϊκὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ καὶ πενθημιμερῆ καὶ βραχυκατάληκτοι, ἤτοι ἰθυφαλλικὰ καὶ ἀκατάληκτα κς'. Ὧν τὸ παρὰ τελευταῖον ἀναπαιστικὸν διὰ τὰ ἑξῆς πενθημιμερῆ· τὸ δὲ τελευταῖον ἰθυφαλλικόν. Μετὰ δὲ τὸ β' κῶλον καὶ τὸ η', μόριόν τι κώλου τὸ οα' τίθεται. Εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν τὸ πρῶτον αὖθις ἔλαβε μέτρον. Καί εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ καὶ μονόμετρα ιε'. Ἐν ἐκθέσει

δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ δ', ὅμοιοι τοῖς ἑξῆς.

v. 2. πιστὰ] B. Δέον εἰπεῖν· ἡμεῖς μὲν οἱ γέροντες καλούμεθα πιστὰ καὶ ἀσφαλῆ τῶν ἐστρατευκότων καθ' Ἑλλάδος Περσῶν, τουτέστιν, ἡμᾶς ὁ Ξέρξης ἐνταῦθα κατέλιπεν ἀσφαλεῖς καὶ πιστοὺς τῆς ἀρχῆς φύλακας, ὥσπερ καὶ παρακατιὼν λέγει, πρὸς πιστὰ τάδε ἐπήνεγκεν· οἱ δὲ λέγοντες τὸ πιστὰ ἀντὶ Πίστειρα κατὰ συγκοπήν, παντὶ δῆλον ὅτι ληροῦσι.

v. 3. καὶ τῶν ἀφνεῶν] A. Λείπει τὰ βασίλεια.

ἀφνεῶν] B. ὀλβίων.

v. 4. ἑδράνων] B. κατοικησέων. πρεσβείαν] ἐντιμότητα.

v. 6. Δαρειογενὴς] A. Δαρείου υἱός. *)

v. 7. ἐφορεύειν] B. ἐπιστατεῖν.

v. 8. ἀμφὶ δὲ νόστῳ] A. Ταράσσεται, φησί, καὶ θορυβεῖται ἡ ψυχὴ ἔσωθεν, τοῦτο γὰρ θυμὸς δηλοῖ, κακὰ μαντεύων περὶ τῆς ὑποστροφῆς τοῦ Ξέρξου, καὶ τῆς πολυχρύσου καὶ πλουσίας στρατιᾶς τῶν Περσῶν. Ὁμηρικῶς δὲ πρῶτον τὸν βασιλέα ἔταξεν, εἶτα τοὺς ὑπηκόους, φησὶ γὰρ Ἀτρεΐδαι τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί. (Iliad. A.)

νόστῳ] B. ὑποστροφῇ.

v. 10. ὀρσοπολεῖται] B. κινεῖται.

v. 12. πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς οἴχωκε] A. πᾶσα γὰρ ἡ δύναμις ἡ Ἀσιατογενής, ἤγουν ἡ Περσική, ἡ ἐν Ἀσίᾳ γεννηθεῖσα, παρεγένετο καὶ ἐπορεύθη μετὰ τοῦ βασιλέως εἰς τὴν Ἑλλάδα. Ἄλλως. Οἴχωκεν, ἀπόλωλεν ἡ πᾶσα δύναμις τῶν Περσῶν.

v. 13. οἴχωκε] B. ἐπορεύθη. νέον δ' ἄνδρα βαΰζει] ἤτοι πᾶσαν τὴν νεότητα ἀνακαλεῖται ὁ θυμός.

νέον δ' ἄνδρα βαΰζει] A. ἤτοι νεότητα πᾶσαν τῶν Περσῶν ἀνακαλεῖται ἡ Ἀσία. Λείπει δὲ τοῦτο. Γράφεται δὲ καὶ ἑόν, ἤτοι τὸν ἴδιον ἄνδρα.

v. 14. τις ἱππεὺς] B. τοῦ στρατοῦ ἢ τοῦ Ξέρξου, ἢ ἐξ ἐκείνων.

v. 16. οἵ τε τὸ Σούσων] B. Τοῦτο κατὰ ἄθροισμὸν καὶ μέρισμον. Ἄνω γὰρ εἰπὼν, ὡς πᾶσα ἰσχὺς Ἀσιατογενὴς εἰς Ἑλλάδα ὥρμησεν, νῦν ἐντεῦθεν ἀπαριθμεῖν ἄρχεται ὅθεν ὥρμησαν, καὶ τίνες οἱ τῆς στρατιᾶς ἡγέμονες. Σούσων ἠδ' Ἀγβατάνων] αὗται αἱ πόλεις βασίλεια Περσῶν ἦσαν.

ἠδ' Ἐκβατάνων] A. ὅτι Ἀκεσσαία πρότερον ἐκαλεῖτο ἀπὸ Ἀκεσσαίου τὰ νῦν Ἐκβάτανα λεγόμενα.

v. 17. καὶ τὸ παλαιὸν Κίσσινον ἕρκος] A. Ἔστι καὶ τοῦτο πόλισμα Περσῶν. Οἵ τινες, φησί, προλιπόντες τὸ ἄστυ τῶν Σούσων καὶ τῶν Ἐκβατάνων, καὶ τὸ παλαιὸν Κίσσινον ἕρκος ἔβαν ἐπορεύθησαν εἰς Ἑλλάδα οἱ μὲν ἔφιπποι, οἱ δὲ διὰ πλοίων, ἄλλοι δὲ πεζοί· παρέχοντες καὶ ποιοῦντες στύφος καὶ πύκνωμα τοῦ πολέμου. Τινὲς δὲ τὸ παρέχοντες ἀντὶ τοῦ ὄντες λέγουσιν. Ἕτεροι δὲ ἀντὶ τοῦ διδόντες καὶ τὸ πολέμου πολέμῳ φασίν.

v. 18. προλιπόντες] B. ἀφέντες. ἔβαν] εἰς τὴν Ἑλλάδα.

v. 20. στῖφος] B. τάξιν, τὸ πύκνωμα. παρέχοντες] ποιοῦντες.

v. 21. οἷος Ἀμίστρης] A. Βασιλεῖς μὲν τῶν ἰδίων πόλεων, ὑποτεταγμένοι δὲ τῷ Πέρσῃ. Τὰ μὲν τῶν ὀνομάτων ἱστόρησεν, τὰ δὲ τελείως ἔπλασεν. Οἷοι ἦν ὁ Ἀμίστρης, καὶ ὁ Ἀρταφρένης, καὶ ὁ Ἀστάσπης, ταγοὶ καὶ ἡγεμόνες τῶν Περσῶν· σοῦνται καὶ ὁρμῶσι πρὸς τὴν Ἑλλάδα· βασιλεῖς μὲν τῶν ἰδίων πόλεων, ὕποχοι δὲ καὶ ὑποκλινεῖς καὶ ὑποτεταγμένοι μεγάλῳ βασιλεῖ, τῷ Πέρσῃ δηλονότι. Κατὰ δέ τινας ἐστιν ὑπέρθεσις ἐν τῷ Ἀρταφρένης διὰ τὸ μέτρον.

v. 24. ὕποχοι] B. ὑπόχειροι.

v. 25. σοῦνται] B. ὁρμοῦσι.

v. 26. τοξοδάμαντες] A. τοξότας διὰ τῶν τόξων δαμάζοντες τοὺς ἀντιπάλους· καὶ ἱππικοί, φοβεροὶ μὲν εἰς τὸ θεαθῆναι, τοῦτ' ἐστιν, ἱκανοὶ φοβεῖν ἐκ τῆς ὄψεως. ἐπιτήδειοι δὲ καὶ δεξιοὶ πρὸς πόλεμον, ἐν τλήμονι καὶ καρτερικῇ καὶ γενναίᾳ δόξῃ καὶ γνώμῃ ψυχῆς.

v. 28. δόξῃ] A. γνώμη, ἢ φιλοτιμία, ἢ ἐνυποστάτῳ δοκήσει καὶ πείσματι ψυχῆς.

εὐτλήμονι δόξῃ] B. τοιοῦτοι γάρ εἰσιν, ὡς τοῖς αὐτοὺς θεωρουμένοις φόβον ἐμποιεῖν, καὶ δεινοὶ κατὰ τὴν μάχην, εὐτλημόνι καὶ καρτερικῇ δόξῃ ψυχῆς· τουτέστιν, οὐ μόνον τῷ εἴδει φοβεροί, ἀλλὰ καὶ δόξαν πᾶσιν παρέχουσιν, ὡς ἄρα δεινοὶ πρὸς τὸ μάχεσθαι ἐν καρτερίᾳ καὶ γενναιότητι ψυχῆς. Δέον δὲ εἰπεῖν· εὐτλήμονος καὶ καρτερικῆς ψυχῆς, πρὸς τὸ δόξῃ ἐπήνεγκε, εὐτλήμονι δόξῃ ψυχῆς εἰπών. Ὥσπερ καὶ ἐν ἄλλοις τίσι πολλαχοῦ, καὶ Εὐριπίδῃ εἴρηται, καὶ ἐν τῷ παρόντι Αἰσχύλῳ λέγοντι εἰς τὸ ὄπισθεν δρᾶμα ψαλίοις τετραβαμόσι μωνύχων πώλων· (Eurip. Phoeniss. 808.) οὐ γὰρ ἦσαν οἱ χαλινοὶ τετραβάμονες, ἀλλ' οἱ ἵπποι.

v. 29. ἱππιοχάρμης] A. ὁ διὰ τῶν ἵππων εἰς τὴν μάχην πορευόμενος.

v. 33. ἄλλους δ' ὁ μέγας] A. ἄλλους δέ, φησίν, ἔπεμψε συμμάχους τῶν Περσῶν ὁ μέγας καὶ ὁ πολλὰ θρέμματα ἔχων Νεῖλος. Ὑποχείριοι γὰρ ἦσαν Περσῶν τότε οἱ Αἰγύπτιοι. Εἶτα καταλέγει τίνες ἦσαν οἱ ἀπ' Αἰγύπτου, καί φησιν, ὁ Σουσισκάνης, καὶ ὁ Πηγασταγὼν ὁ Αἰγυπτιογενής. Τινὲς δὲ διαιροῦσι τὸ Σουσικάνης, καὶ πηγὰς καὶ ταγῶν. Τὰ γὰρ ὀνόματα ὁ ποιητὴς πέπλακε, καὶ οὐκ ἔστιν Αἰγυπτιακά. Ἕτεροι δὲ τὸ πηγάς, καὶ τὸ ταγῶν ὡς ἓν ἀναγινώσκουσιν Πηγασταγών.

v. 34. Νεῖλος] B. ὑποχείριοι γὰρ Περσῶν ἦσαν Αἰγύπτιοι. Σουσισκάνης] ἦσαν δὲ οὗτοι.

v. 36. ἱερᾶς Μέμφιδος] B. ἱερὰν τὴν Μέμφιδα καλεῖ διὰ τὸ τιμᾶσθαι ἐκεῖ τὸν Ἆπιν, καὶ μυστήρια τοῖς Αἰγυπτίοις γίνεσθαι.

v. 37. Ὠγυγίας] B. τὰς παλαιὰς λέγει δὲ τὰς ἑκατοντάπυλας.

v. 39. ἑλειοβάται] A. τὸ Αἰγύπτιον ἕλος οἰκοῦντες. Ἢ κοινῶς Αἰγύπτιοι λέγονται· ἑλώδης γὰρ ἡ Αἴγυπτος. Παρά τισι δὲ ἑλειοβάται, οἱ ἐπὶ ἕλους ἐλαύνειν δυνάμενοι ναῦς, ὅπερ ἐστὶ τῶν δυσχερεστάτων. Τινὲς δὲ εἰς

τὸ ἐλειοβάτας στίζοντες, τὸ ἑξῆς, ἐρέται δεινοὶ, λέγουσιν, ἀντὶ τοῦ κωπηλάτας νηῶν ἐπιτήδειοι.

ἐλειοβάται] B. Αἰγύπτιοι, ὅλος γὰρ τόπος ἐν Αἰγυπτίοις. ἐρέται] κωπηλάται.

v. 40. ἀνάριθμοι] B. τοῦτο πρὸς τὸ πλῆθος ἔδει ἐπενεγκεῖν καὶ εἰπεῖν ἀνάριθμον· νῦν δὲ πρὸς τὸ πρότερον ἀρσενικὸν ἀπέδωκεν.

v. 41. ἀβροδιαίτων] A. τοιοῦτοι γὰρ ὄντως οἱ Λυδοί· οὓς τὰς Σάρδεις οἰκοῦντας Κῦρος ὁ τῶν Περσῶν βασιλεύς, ὁ τοῦ Καμβύσου πατὴρ, πολεμήσας κατεστρεψάτο, καὶ ὑποχειρίους ἑαυτῷ πεποίηκεν. Ἀβροδίαιτοι δὲ οὗτοι· ὅθεν καὶ τὸ παρ' Ἀνακρέοντι Λυδοπαθεῖς τινες, ἀντὶ τοῦ ἡδυπαθεῖς. Καὶ τὸ περιφερόμενον, μή τε μοι Λυδῶν κάρυκας μή τε μαστίγων ψόφους, τρυφηλοὺς αὐτοὺς παριστάνει. Καὶ ὁ Λυδοφοίτης δὲ μυροπώλης ταύτην τὴν τρυφὴν δηλοῖ. Καὶ τὴν Βάκχαριν δὲ ἔνιοι μύρον Λυδῶν ἔφασαν.

ἀβροδιαίτων] B. πολυτελῶν ἔν τε τροφαῖς καὶ ἐνδύμασιν.

v. 42. οἵτ' ἐπίπαν ἠπειρογενὲς] A. οἱ δι' ὅλου τὴν ἤπειρον οἰκοῦντες.

ἐπίπαν] B. παντελῶς. ἠπειρογενὲς] Ἤπειρος τόπος ἐν τῇ Ἀσίᾳ οὕτω καλούμενος, ἤγουν ἡ Λυκαονία, ὥσπερ καὶ ἐν τῇ Ἑλλάδι.

v. 43. τοὺς Μητραγαθὴς] A. οὕς τινας Λύδους ἐξορμῶσι καὶ ἐξάγουσι καὶ παρακινοῦσι πρὸς τὴν Ἑλλάδα ἐποχουμένους ἐν πολλοῖς ἅρμασι, Μητραγαθὴς ὁ Ἀρκεύς τε ἀγαθὸς ἡγεμόνες οἰκονομοῦντες αὐτούς, καὶ αἱ πλούσιαι Σάρδεις. Οὗτοι γὰρ τὰς Σάρδεις κατῴκουν.

v. 44. δίοποι] A. οἱ διέποντες, ἡγεμόνες.

δίοπτοι] B. περίβλεπτοι.

v. 47. δίρρυμα τε] A. Εἰπὼν πολλοῖς ἅρμασι τοὺς Λυδοὺς ἐποχεῖσθαι, παρακατιὼν τὴν ἁρματηλασίαν, καὶ ἐκ πόσων ἵππων αὐτὴ συνίστατο, ἐδήλωσεν, εἰρηκώς, τέλη, ἅρματα δηλαδὴ, ἐξορμῶσι τῶν Σάρδεων τέθριππα καὶ

ἐξαίππα. Ἡ τέλη, τὰ τάγματα. Ἐκ τούτου δὲ τῶν ἵππων τὸ πλῆθος δηλοῖ.

διῤῥυμα] B. τέθριππα. τριῤῥυμα τέλη] ἔξιππα πληρώματα, στίφη.

v. 49. πελάται] A. ἔνοικοι, γείτονες.

στεῦνται] B. ὁρμῶσι. ἱεροῦ] μεγάλου. Τμώλου] ὄρος Λυδίας. πελάται] πλησιάσται.

v. 51. λόγχης ἄκμονες] A. Ἀκίνητοι ὑπὸ λόγχης, ὡς ἀκμὼν ὑπὸ σφυρῶν.

ἄκμονες] B. καρτερικοί, ἐκ μεταφορᾶς τοῦ ἄκμονος.

v. 52. Βαβυλὼν δ' ἡ πολύχρυσος] A. ἡ πλουσία δὲ Βαβυλὼν πέμπει πάμμικτον ὄχλον. Εἶτα ἑφερμηνεύων, τοῦτο, φησί, ναῶν τε ἐπόχους, ἤτοι λαὸν ναυτικὸν ταῖς ναυσὶν ἐποχούμενον, καὶ πιστούς, θαῤῥοῦντας φρονήματι τοξικῷ, ἤτοι ἐμπείρους τῆς τοξικῆς.

v. 54. σύρδην] B. ὁμοῦ. ἐπόχους] ἐπιβάτας.

v. 55. λήματι] B. φρονήματι. πίστους] θαῤῥαλέους.

v. 56. τὸ μαχαιρόφορον τ' ἔθνος] A. κοινῶς ἁπάντων Περσῶν.

v. 58. ὑποπομπαῖς] A. προτροπαῖς.

δειναῖς] B. μεγάλαις. ὑποπομπαῖς] προπομπαῖς.

v. 59. τοιόνδ' ἄνθος] A. τοιοῦτο καλλώπισμα καὶ τὸ ἐξαίρετον μέρος τῶν ἀνδρῶν τῆς γῆς τῆς Περσίδος οἴχεται καὶ πορεύεται πρὸς τὴν Ἑλλάδα· περὶ οὓς πᾶσα γῆ Ἀσιῆτις ἡ ἀναθρεψαμένη αὐτοὺς στενάζει ἐν πόθῳ μαραντικῷ καὶ καυστικῷ.

ἄνθος] B. ἐξαίρετον.

v. 60. οἴχεται] B. ἐπορεύθη.

v. 62. μαλερῷ] B. θερμῷ καὶ διαπύρῳ.

v. 63. τοκέες τ' ἄλοχοί τε] A. οἱ πατέρες δὲ αὐτῶν καὶ αἱ ὁμόκοιτοι αὐτῶν γυναῖκες τρομέουσι τὸν χρόνον τείνοντα καὶ μηκυνόμενον τῇ τῶν ἡμερῶν παραφορᾷ, τὸν ἡμερόλεγδον ἤτοι τὸν ἐκ τῶν ἡμερῶν καταριθμούμενον, παρὰ τὸ ἡμέρα, καὶ τὸ λέγω, τὸ ἀριθμῶ.

ἡμερόλεγδον] B. τὸν ἐξ ἡμερῶν συλλεγέντα.

v. 64. τείνοντα] B. αὐξάνοντα. μηκυνόμενον

v. 65. πεπέρακε μὲν ὁ περσέπτολις] A. ἐπέρασε μέν, φησίν, ἤδη εἰς τὴν ἀντίπορον γείτονα χώραν, ἤτοι τὴν Εὐρώπην· οἱ γὰρ Πέρσαι τῆς Ἀσίας εἰσὶ κάτοικοι, ὁ τοῦ βασιλέως Ξέρξου στρατός, ὁ τὰς πόλεις πορθῶν, ἀμείψας καὶ ἀλλάξας τὸν πόρθμον τῆς θυγατρὸς τοῦ Ἀθάμαντος Ἕλλης, ἤτοι τὸν Ἑλλήσποντον, ἐν σχεδίᾳ λίνῳ δεδεμένῃ. Γεφυρώσας γὰρ τὴν θάλασσαν διὰ τῶν νηῶν πεζῇ ταύτην τὸν στρατὸν αὐτοῦ περάσαι πεποίηκεν. Ταῦτα δὲ κωμῳδεῖται Εὔπολις ἐν Μαρικᾷ· „Πεπέρακε μὲν ὁ περσέπτολις ἤδη μαρίνας."

ἤδη] B. πάλαι.

v. 67. χώραν] B. τὴν Εὐρώπην.

v. 68. λινοδέσμῳ σχεδίᾳ] B. στολῇ νηῶν.

v. 70. Ἀθαμάντιδος Ἕλλης] A. Ἀθάμας ἔσχε γυναῖκα ἐξ ἧς τὴν Ἕλλην καὶ τὸν Φρύξον ἐγέννησε· τελευτησάσης δὲ τῆς μητρὸς αὐτῶν ἔλαβε τὴν Ἰνώ, ἥτις τοῖς παισὶ φθονοῦσα τοῦ Ἀθάμαντος πρωτοτύπους τοὺς τῆς χώρας πάντας λαβοῦσα καρπούς, ἐλυμήνατο αὐτούς, ὥστε μηκέτι σπειρομένους ἀναδίδοσθαι. Λιμοῦ δὲ ἐπὶ τῆς χώρας ἐπικρατήσαντος οἱ ἐγχώριοι ἐβουλεύσαντο πρὸς τὸν Ἀπόλλωνα ἀπελθεῖν καὶ μαντεύσασθαι, ὥστε γνῶναι τὸ αἴτιον. Τούτους δὲ ἡ Ἰνὼ δεξιωσαμένη πεποίηκε τοῦ μαντείου ἐπαναστρέφοντας μηδὲν ἕτερον λέγειν, ἢ ὅτι τὴν Ἕλλην καὶ τὸν Φρύξον αὐτῷ τυθῆναι ὁ Ἀπόλλων εἴρηκεν. Ἐπήκοος οὖν ὁ Ἀθάμας τοῦ τοιούτου χρησμοῦ γενόμενος τοῖς παισὶν αὐτοῦ ἐν τοῖς ποιμνίοις διατρίβουσιν ἐμήνυσε κριὸν λαβοῦσι τὸν πρώτιστον θῦσαι τοῦτον τῷ Ἀπόλλωνι. Λαβόντων δὲ τὸν κριὸν καὶ ἐπανερχομένων ὁ κριὸς τὸ κατ' αὐτῶν σκευωρούμενον αὐτοῖς ἐδήλωσε. Φυγῇ γοῦν, τῇ συμβουλῇ τούτου, ἐχρήσαντο, αὐτῷ ἐποχούμενοι, καὶ τὸν πλοῦν διαπεραιούμενοι. Ἐν δὲ τῷ διαπεραιοῦσθαι τούτους, ἡ μὲν Ἕλλη ἐς μέσον τοῦ πόντου πέπτωκεν, ἀφ' ἧς ὁ τοιοῦτος ἐκλήθη Ἑλλήσποντος· ὁ δὲ Φρύξος ἔν τινι προσελιμενέσθη λιμένι, ἀφ' οὗ ὁ τοιοῦτος Φρύξου λιμὴν ὀνομάζεται.

Ἀθαμάντιδος Ἕλλης] B. Ἐν γὰρ ταῖς νηυσὶ ἐζεύξε τὸν Ἑλλήσποντον ἑπταστάδιον ὄντα τὸ εὖρος, καὶ γῆν ἐπιχέας πεζῇ δι᾽ αὐτοῦ τὸν στρατὸν ὁδεῦσαι πεποίηκεν. Ἀθάμας δὲ ἐκ Νεφέλης Ἕλλην καὶ Φρύξον ἐγέννησε. Τελευτάσης δὲ τῆς Νεφέλης ἠγάγετο γυναῖκα Ἰνῶ, ἥτις, Ἕλλῃ καὶ Φρύξῳ φθονοῦσα, ὡς μητρυιά, ἐλυμήνατο τίσι μηχαναῖς τὰ σπέρματα ὡς μηκέτι σπειράμενα οἷά τε ἐκ τῆς γῆς ἀναδέδοσθαι. Λιμοῦ οὖν κατειληφότος τὴν χώραν οἱ ταύτης ἔνοικοι βουλόμενοι ἀπιέναι, πρὸς τὸ μαντεῖον, λύσιν παρ᾽ ἐκείνου μαθεῖν τοῦ κακοῦ, διεφθάρησαν ὑπὸ τῆς Ἰνοῦς χρήμασιν, ἵν᾽ ἐκεῖθεν ἀποστρέφοντες μηδὲν ἄλλο λέγοιεν πρὸς Ἀθάμαντα, ἢ ὡς Φρύξον τε καὶ Ἕλλην θῦσαι Ἀπόλλωνα προστάττειν εἰς ἀπαλλαγὴν τοῦ κακοῦ. Ἀθάμαντος οὖν προςπεμπομένου αὐτοὺς ἐκ τῶν ποιμνίων, καὶ προστάττοντας κριὸν μετ᾽ αὐτῶν ἀγαγεῖν, ἐπειδὴ κριὸν παραλαβόντες ἔμελλον πορεύεσθαι, οὗτος παραδόξως αὐτοῖς τὸ κατ᾽ αὐτῶν ἐμήνυσε δρᾶμα. Φεύγοντες οὖν ἐποχούμενοι τῷ κριῷ, ἐπεὶ θαλάττης ἐπέβησαν, ἡ μὲν Ἕλλη ὀλισθήσασα τοῦ κριοῦ πίπτει ἔντος τοῦ πελάγους; ἀφ᾽ ἧς Ἑλλήσποντος κέκληται. Ὁ δὲ Φρύξος προσορμήσας λιμένι καὶ τελευτήσας τὸν βίον ἐκεῖ Φρύξου λιμένα τοῦτον ὡς αὐτοῦ καλεῖσθαι πεποίηκεν.

v. 71. πολύγομφον ὅδισμα] A. ἀμφὶ τῷ αὐχένι τοῦ πόντου ζυγὸν βαλὼν πολύγομφον ὅδισμα καὶ βάδισμα, τῶν τῆς θαλάσσης δηλονότι νώτων ἄνωθεν. Ἐγεφύρωσε γὰρ τὸ ἑπταστάδιον τῆς θαλάσσης, ταῖς ναυσὶ συνδήσας καὶ γῆν ἐπιβαλὼν ἄνωθεν, ὥστε ὁδὸν ποιῆσαι ἐπὶ τῶν νεῶν. Διὸ πολύγομφον, ὅδισμα εἶπε. Γράφεται καὶ ἔρεισμα τὴν ναῦν.

πολύγομφον] B. πολύκαρπον. ὅδισμα] πορείαν.

v. 72. αὔχενι πόντου] B. Διὰ τὸ εἶναι τοῦτον στένον, ἑπτὰ σταδίων γάρ, παρεικάζει αὐχένι, ἄλλως τε καὶ ὅτι ἀρχὴ τῆς ἔσω θαλάττης ἐστίν.

v. 73. πολυάνδρου] A. ὁ θούριος δὲ καὶ ὁ πολεμικώτατος ἄρχων ὁ Ξέρξης τῆς πολυάνδρου Ἀσίας, ἐπὶ πᾶσαν χθόνα, τὴν Εὐρώπην δηλονότι, ἐλαύνει ποιμανόριον θεῖον· διχόθεν ἐκ γῆς καὶ θαλάσσης. Ποιμανόριον δὲ τὸ

πλῆθος τὸ στρατευτικόν, τὸ ἀνδρικὸν πλῆθος. Σημαίνει δὲ τὸ στράτευμα παρὰ τὸ τοὺς βασιλεῖς λέγεσθαι ποιμένας. Ὅθεν ποιμανόριον τὸ ἐκ ποίμνης ἀνδρῶν συνηγμένον βασίλειον.

την εἰρώπην

v. 74. ἐπὶ πᾶσαν χθόνα] B. ἠλπίζετο γὰρ Ξέρξης πᾶσαν τὴν γῆν δουλώσειν, μήτοι γε τὴν Ἑλλάδα.

v. 75. ποιμανόριον θεῖον] B. ποιμνίον ἀνδρῶν. Θαυμαστὸν δὲ ἐς τὸ πλῆθος.

v. 76. Διχόθεν] B. ἐξ ἀμφοτέρων τῶν μερῶν. πεζονόμοις ἔκ τε θαλάσσης] Δέον εἰπεῖν ἔκ τε γῆς καὶ θαλάσσης, εἰς μὲν τὸ θαλάσσης τὴν ἀκολουθίαν τοῦ λόγου ἐτήρησεν, εἰς δὲ τὸ γῆς ἐνήλλαξε, καὶ ἀντὶ τοῦ εἰπεῖν γῆς, πεζονόμοις ἤτοι πέζοις εἶπε, πέζοι γάρ εἰσιν οἱ κατὰ τὴν γῆν ὁδεύοντες.

v. 78. ὀχυροῖσι πεποιθὼς] A. πεποιθὼς καὶ θαῤῥῶν ἐφέταις, ἢ τοξόταις καὶ ἡγεμόσι τῆς χρυσονόμου γενεᾶς, ὀχυροῖς, στυφέλοις καὶ σκληροῖς, ὁ ἰσόθεος φὼς καὶ ἀνὴρ, τοῦτ' ἔστιν ὁ Ξέρξης. Τὸ δὲ χρυσονόμου ἀντὶ τοῦ πλουσίας εἶπε. Τινὲς δὲ χρυσογόνου λέγουσι, διὰ τὸ τὸν Περσέα ἀπὸ χρυσοῦ γεγενῆσθαι· ὃ καὶ βέλτιον. Ἀπογόνου γοῦν φησὶ τῆς Περσέως γενεᾶς, ἢ τῆς τῶν χρυσῶν ἀνθρώπων· ἢ πολυχρύσου.

ὀχυροῖσι] B. δυνατοῖς.

v. 79. στυφέλοις] B. ταράκταις. ἐφέταις] τοξόταις. χρυσονόμου] πλουσιωτάτης, τοιοῦτοι γὰρ οἱ Πέρσαι.

v. 80. φὼς] B. ἀνήρ.

v. 81. κυάνεον] B. σκοτεινόν, φοβερόν.

v. 82. δέργμα] B. βλέμμα.

v. 84. Σύριον θ' ἅρμα διώκων] A. ἀντὶ τοῦ Ἀσσύριον· οἱ γὰρ Πέρσαι πρότερον Ἀσσύριοι ἐκαλοῦντο.

Ἀσσύριον] B. Περσικόν. διώκων] ἐλαύνων.

v. 85. δουρικλύτοις ἀνδράσι] A. τοῖς Ἀθηναίοις.

δουρικλύτοις] B. πολεμικωτάτοις. ἀνδράσι] τοῖς Ἕλλησι.

v. 86. τοξόδαμνον Ἄρην] A. τὸν τῶν Περσῶν. Τοξόται γάρ.

v. 87. δόκιμος δ᾽ οὔτις] A. ἀνδρεῖος δόκησιν περὶ ἑαυτοῦ ἔχων μεγάλην. ὑποστὰς] ἀντιστάς, ἀντιμαχεσάμενος.

δόκιμος] B. ἱκανος ἔσται. ὑποστὰς] ὑπομείνας τοῦτο.

v. 88. μεγάλῳ ῥεύματι] B. σύναπτε τὸ μεγάλῳ ῥεύματι πρὸς τὸ ἄμαχον.

v. 89. ἐχυροῖς ἕρκεσιν] A. τάξεσιν.

ἐχυροῖς] B. στερέοις. ἕρκεσιν] τείχεσι.

v. 90. ἄμαχον κῦμα θαλάσσης] A. τὴν προσβολὴν τῶν Περσῶν.

ἄμαχον κῦμα] B. ἤτοι τῶν Περσῶν.

v. 91. ἀπρόσοιστος] A. ἀκαταμάχητος.

ἀπρόσοιστος] B. ἀπρόσδεκτος. Εἰ γὰρ καὶ Πέρσαι τὰ εἰς πόλεμον θαυμαστοὶ καὶ Ξέρξης τοσοῦτον πλῆθος κατὰ τῆς Ἑλλάδος ἐπήγαγεν, ἀλλ᾽ οὔτι οἶδε ποῦ τὸ πρᾶγμα προβαίη· Θεοῦ γὰρ βουλήσει ἀλλότε ἄλλως τὰ τῆς νίκης χωρεῖ. Ὥστε καὶ τοὺς πολλοὺς ὑπ᾽ ὀλίγων ἂν καταπολεμουμένους θεάσατο πολλάκις. Διὸ καὶ ἡμεῖς ἐσμὲν ταραχῆς καὶ φροντίδος μεστοί.

v. 92. ἀλκίφρων] B. ἐν δυνάμει φρονῶν καὶ πολέμῳ.

v. 93. δολόμητιν δ᾽ ἀπάταν] A. Ὡς ἔδει παρατέτακται ὁ Πέρσης. Εἰ δὲ ἡ τοῦ θεοῦ ἐπιβουλὴ τὰ τῆς νίκης ἀναβάλλεται, τίς ὁ νικήσων θεόν;

v. 94. ἀλύξει] B. ἐκφύγοι.

v. 95. πηδήματος εὐπετέος ἀναΐσσων] A. εὐκινήτου. Ὅμηρος (Iliad. IX. 501.)

> Ἡ δ᾽ ἄτη σθεναρή τε καὶ ἀρτίπος, οὕνεκα πάσας
> Πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ᾽ αἶαν
> Βλάπτουσ᾽ ἀνθρώπους.

Ἡ γὰρ ἐκ θεοῦ, φησίν, ἀμαύρωσις καὶ δόλωσις ἄφυκτός ἐστιν. Ἅμα γὰρ δολοῖ καὶ προσαίνει καὶ κακοποιεῖ.

πλῆθος τὸ στρατευτικόν, τὸ ἀνδρικὸν πλῆθος. Σημαίνει δὲ τὸ στράτευμα παρὰ τὸ τοὺς βασιλεῖς λέγεσθαι ποιμένας. Ὅθεν ποιμανόριον τὸ ἐκ ποίμνης ἀνδρῶν συνηγμένον· βασίλειον.

v. 74. ἐπὶ πᾶσαν χθόνα] B. ἠλπίζετο γὰρ Ξέρξης πᾶσαν τὴν γῆν δουλώσειν, μήτοι γε τὴν Ἑλλάδα.

v. 75. ποιμανόριον θεῖον] B. ποιμνίον ἀνδρῶν. Θαυμαστὸν δὲ ἐς τὸ πλῆθος.

v. 76. Διχόθεν] B. ἐξ ἀμφοτέρων τῶν μερῶν. πεζονόμοις ἔκ τε θαλάσσης] Δέον εἰπεῖν ἔκ τε γῆς καὶ θαλάσσης, εἰς μὲν τὸ θαλάσσης τὴν ἀκολουθίαν τοῦ λόγου ἐτήρησεν, εἰς δὲ τὸ γῆς ἐνήλλαξε, καὶ ἀντὶ τοῦ εἰπεῖν γῆς, πεζονόμοις ἤτοι πέζοις εἶπε, πέζοι γάρ εἰσιν οἱ κατὰ τὴν γῆν ὁδεύοντες.

v. 78. ὀχυροῖσι πεποιθὼς] A. πεποιθὼς καὶ θαῤῥῶν ἐφέταις, ἢ τοξόταις καὶ ἡγεμόσι τῆς χρυσονόμου γενεᾶς, ὀχυροῖς, στυφέλοις καὶ σκληροῖς, ὁ ἰσόθεος φὼς καὶ ἀνήρ, τοῦτ' ἔστιν ὁ Ξέρξης. Τὸ δὲ χρυσονόμου ἀντὶ τοῦ πλουσίας εἶπε. Τινὲς δὲ χρυσογόνου λέγουσι, διὰ τὸ τὸν Περσέα ἀπὸ χρυσοῦ γεγενῆσθαι· ὁ καὶ βέλτιον. Ἀπογόνου γοῦν φησὶ τῆς Περσέως γενεᾶς, ἢ τῆς τῶν χρυσῶν ἀνθρώπων· ἢ πολυχρύσου.

ὀχυροῖσι] B. δυνατοῖς.

v. 79. στυφέλοις] B. ταράκταις. ἐφέταις] τοξόταις. χρυσονόμου] πλουσιωτάτης, τοιοῦτοι γὰρ οἱ Πέρσαι.

v. 80. φὼς] B. ἀνήρ.

v. 81. κυάνεον] B. σκοτεινόν, φοβερόν.

v. 82. δέργμα] B. βλέμμα.

v. 84. Σύριον θ' ἅρμα διώκων] A. ἀντὶ τοῦ Ἀσσύριον· οἱ γὰρ Πέρσαι πρότερον Ἀσσύριοι ἐκαλοῦντο.

Ἀσσύριον] B. Περσικόν. διώκων] ἐλαύνων.

v. 85. δουρικλύτοις ἄνδρασι] A. τοῖς Ἀθηναίοις.

δουρικλύτοις] B. πολεμικωτάτοις. ἄνδρασι] τοῖς Ἕλλησι.

v. 86. τοξόδαμνον Ἄρην] A. τὸν τῶν Περσῶν. Τοξόται γάρ.

v. 87. δόκιμος δ' οὔτις] A. ἀνδρεῖος δόκησιν περὶ ἑαυτοῦ ἔχων μεγάλην. ὑποστὰς] ἀντιστάς, ἀντιμαχεσάμενος.

δόκιμος] B. ἱκανος ἔσται. ὑποστὰς] ὑπομείνας τοῦτο.

v. 88. μεγάλῳ ῥεύματι] B. σύναπτε τὸ μεγάλῳ ῥεύματι πρὸς τὸ ἄμαχον.

v. 89. ἐχυροῖς ἕρκεσιν] A. τάξεσιν.

ἐχυροῖς] B. στερέοις. ἕρκεσιν] τείχεσι.

v. 90. ἄμαχον κῦμα θαλάσσης] A. τὴν προςβολὴν τῶν Περσῶν.

ἄμαχον κῦμα] B. ἤτοι τῶν Περσῶν.

v. 91. ἀπρόςοιστος] A. ἀκαταμάχητος.

ἀπρόςοιστος] B. ἀπρόςδεκτος. Εἰ γὰρ καὶ Πέρσαι τὰ εἰς πόλεμον θαυμαστοὶ καὶ Ξέρξης τοσοῦτον πλῆθος κατὰ τῆς Ἑλλάδος ἐπήγαγεν, ἀλλ' οὔτι οἶδε ποῦ τὸ πρᾶγμα προβαίη· Θεοῦ γὰρ βουλήσει ἀλλότε ἄλλως τὰ τῆς νίκης χωρεῖ. Ὥςτε καὶ τοὺς πολλοὺς ὑπ' ὀλίγων ἂν καταπολεμουμένους θεάσατο πολλάκις. Διὸ καὶ ἡμεῖς ἐσμὲν ταραχῆς καὶ φροντίδος μεστοί.

v. 92. ἀλκίφρων] B. ἐν δυνάμει φρονῶν καὶ πολέμῳ.

v. 93. δολόμητιν δ' ἀπάταν] A. Ὡς ἔδει παρατέτακται ὁ Πέρσης. Εἰ δὲ ἡ τοῦ θεοῦ ἐπιβουλὴ τὰ τῆς νίκης ἀναβάλλεται, τίς ὁ νικήσων θεόν;

v. 94. ἀλύξει] B. ἐκφύγοι.

v. 95. πηδήματος εὐπετέος ἀνάίσσων] A. εὐκινήτου. Ὅμηρος (Iliad. IX. 501.)

Ἡ δ' ἄτη σθεναρή τε καὶ ἄρτιπος, οὕνεκα πάσας
Πόλλον ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν
Βλάπτουσ' ἀνθρώπους.

Ἡ γὰρ ἐκ θεοῦ, φησίν, ἀμαύρωσις καὶ δόλωσις ἄφυκτός ἐστιν. Ἅμα γὰρ δολοῖ καὶ προσαίνει καὶ κακοποιεῖ.

κραιπνῷ] B. τάχει.

v. 96. εὐπετέος] B. συντομωτάτου. ἀναΐσσων] ὁρμῶν. Ὅς γὰρ ταχύτατός ἐστιν ἅλεσθαι πηδήματος εὐπετέος ἄρχει.

v. 97. Φιλόφρων] B. Φιλοφρόνως ἔδει εἰπεῖν, πρὸς δὲ τὸ ὄνομα τοῦτο ἐπήνεγκεν.

v. 99. ἀρκύστατα] B. δίκτυα.

v. 100. τόθεν] B. διὰ τοῦτο.

v. 102. θεόθεν] A. θεόθεν γὰρ ἡ μοῖρα κατεκράτησε τοῖς Πέρσαις ὥστε καὶ πολέμους καὶ μάχας ἐγείρειν. Τοῦτ' ἔστιν, ἀνέκαθεν ἀνδρεῖοί εἰσι, καὶ κατὰ τὴν εἱμαρμένην πολεμοῦσι. Πολεμικοὶ δὲ ὄντες οὐχ ἡττηθήσονται.

θεόθεν γὰρ] B. ἤγουν ἐξ ἀρχῆς εἱμαρμένον ἦν Πέρσαις παρὰ θεοῦ ἐν πολέμοις τοὺς ἄλλους νικᾶν.

v. 104. ἐπέσκηψε] A. ἀντὶ τοῦ εἰδέναι ἐποίησε.

ἐπέσκηψε] B. ἐπῆλθε καὶ ἐξ ἀρχῆς συμβέβηκε.

v. 105. πολέμους πυργοδαΐκτους] A. οἱ τοὺς πύργους κατακόπτουσι καὶ κατερείπουσιν. Ἱππιοχάρμας δὲ κλόνους· τοὺς πολεμικοὺς θορύβους καὶ συντετριμμένους, καὶ τούτοις οἱ ἵπποι χαρίζουσι.

πυργοδαΐκτους] B. πύργους δαμάζοντας.

v. 106. διέπειν] B. ἐφορᾶν, διαπράττεσθαι. κλόνους] ταραχάς.

v. 107. ἀναστάσεις] B. ἀφανισμούς.

v. 108. ἔμαθον δ' εὐρυπόροιο] A. ἔμαθον δὲ ἐσορᾶν καὶ βλέπειν πόντιον ἄλσος τῆς εὐρυπόροιο θαλάσσης, ἤτοι διὰ θαλάσσης τὰς ὁδοὺς αὐτῶν ποιεῖν, πολιαινομένης αὐτῆς ἐν πνεύματι λαβρῷ, ἀφριζομένης δηλαδὴ τῇ κωπηλασίᾳ, ἢ τῷ βιαίῳ ἀνέμῳ· πίσυνοι καὶ θαῤῥοῦντες πείσμασι λεπτοδόμοις, τοῖς λεπτῶς κατεσκευασμένοις, ἤτοι τοῖς ναυσί. Πλὴν οὐχ οἱ Πέρσαι ναυτικοί, ἀλλ' οἱ ὑπήκοοι αὐτῶν· ὥστε τὸ ἔμαθον, ἀντὶ τοῦ μαθεῖν ἐποίησαν, φησίν, οἱ Πέρσαι τοὺς ὑπηκόους αὐτῶν.

v. 109. πολιαινομένης] B. λευκαινομένης τοῖς ὕδασι.

v. 110. λαυρῷ] B. σφοδρῷ.

v. 111. πόντιον] B. θαλάττιον. Ἐπειδὴ τὸ ἄλσος ἐπὶ ξηρᾶς, διὰ τοῦτο πόντιον εἶπεν.

v. 112. λεπτοδόμοις πείσμασι] B. λεπτοῖς σχοινίοις.

v. 113. λαοπόροις τε] A. ταῖς τοὺς λαοὺς διαπορθμευούσαις, ἢ ταῖς ἀπὸ τῶν κωπηλασιῶν πλάναις, ταῖς ὑπὸ τῶν λαῶν γινομέναις· οὐχ ὡς αὐτῶν τῶν Περσῶν θαλαττίων ὄντων, ἀλλὰ τῶν ἐκείνοις ὑπηκόων παραλίων.

λαοπόροις τε μηχαναῖς] B. ναῦσι περώσαις τοὺς λαούς.

v. 114. ταῦτα μοι μελαγχίτων] A. διὰ ταῦτα ἡ φρήν μου ἡ μελαγχίτων καὶ πενθήρης ἐστίν, ἡ ἀμφιμέλαινα, ἀμύσσεται φόβῳ, ἤτοι διακόπτεται ὑπὸ τοῦ φόβου· ἀσυνδέτως· Ἢ οὕτως, ἡ φρήν μου ἡ μελαγχίτων, ἤτοι ἡ συνετὴς καὶ ἐν βάθει κειμένη, καὶ ἀφανὴς οὖσα περὶ φόβῳ διακόπτεται. Εἴρηται δὲ παρὰ τό· (Iliad. A. 243.)

— — σὺ δ' ἔνδοθι θυμὸν ἀμύξεις.

Τοῖς γὰρ τοῦ σώματος πάθεσι δοκοῦμεν συμπάσχειν καὶ τὴν ψυχήν.

ταῦτα] B. διά. μελαγχίτων] συνέτης ἢ πενθήρης.

v. 115. ἀμύσσεται] B. σπαράσσεται.

v. 116. ὀᾶ] A. Περσικὸν θρήνημα.

v. 117. μὴ πόλις πύθηται] A. Μὴ πύθηται, φησί, καὶ ἀκούσῃ τὶς τῶν ἑτέρων πόλεων κενὸν ἀνδρῶν ὂν τὸ ἄστυ τὸ τῆς Σουσίδος. Οὕτω γὰρ ἂν τὸ Κισσίων πόλισμα ἀντίδουπον ἔσεται, ἤτοι ἀντηχήσει τοῖς θρήνοις ἐκ τοῦ ἑκατέρου μέρους. Μὴ ἀντηχήσῃ, φησί, θρῆνον αὐτῶν τελευτησάντων.

πόλις] B. ἑτέρα. πύθηται] ἀκούσῃ. Ὃ λέγει τοιοῦτόν ἐστι. Μή τις τῶν πασῶν πόλεων πύθηται καὶ ἀκούσῃ τὰ Σοῦσα ἀνδρῶν ἔρημα γενόμενα. Τουτέστι μὴ γένοιτό ποτε ἀφανισθῆναι τὴν τῶν Περσῶν ἀρχήν· εἰ γὰρ ἔσται τοῦτο, τὸ Κισσίνων πόλισμα ἐξ ἐναντίου θρῆνον ἐγείρει. Σοῦσα

γὰρ καὶ Κίσσινα καὶ Ἐκβάτανα Περσικαὶ πόλεις, ἐν αἷς οἱ τῶν Περσῶν ἄρχοντες βασίλεια ἐποιοῦντο.

v. 118. κένανδρον] B. ἀνδρῶν ἔρημον.

v. 121. ἀντίδουπον] B. ἀντῆχες ἐν τῷ θρήνῳ. ἔσσεται.] ἢ πρὸς τὸ ἔσσεται καὶ τὸ ὀὰ στίζον, ἵνα πρὸς τὸ ἀπύων ἔξωθεν λαμβάνῃς ἔσται, λογιζόμενος καθολικὸν τὸ γυναικοπληθὴς ὅμιλος, διὰ πάσας τὰς ἐν Περσίδι γυναῖκας, ἢ πρὸς τὸ ἔσσεται ὑπόστιξον, ἵν' ᾖ ὁ γυναικόπληθης ὅμιλος μόνα, αἱ ἐν Κισσίνοις γυναῖκες. Εἰ δέ τις εἴποι ὡς γυναικοπληθοῦς ὁμίλου ἀπύοντος ἔδει εἰπεῖν, φαμὲν, ὡς ἐπειδὴ ὁ τῶν γυναικῶν ὅμιλος μέρος ἦν τοῦ Κισσίνου πολίσματος, διὰ τοῦτο γυναικοπληθὴς ὅμιλος εἶπεν. Εὕρηται δὲ αὕτη ἡ σύνταξις οὐκ ἐν ποιηταῖς μόνον, ἀλλὰ καὶ ἐν Θουκυδίδῃ.

v. 122. ὀὰ τοῦτ' ἔπος] A. ὁ γυναικοπληθὴς ὅμιλος ἐκεῖσε ἀπύων ὀὰ, τοῦτο δηλοῖ τὸ ἔπος. Τὸ δὲ ἀπύων οὕτως νοητέον· ἢ ἔσται ἀπύων καὶ φωνῶν, ἔξωθεν λαμβανομένου τοῦ ἔσται. Ἢ τὴν μετοχὴν ἀντὶ ῥήματος τοῦ ἀπύσει.

v. 123. ἀπύων] B. ἔσται βοῶν.

v. 125. πεδῇ λακὶς] A. ἀπὸ κοινοῦ πάλιν τὸ μὴ, ἵν' ᾖ οὕτως, μὴ πέσῃ ῥῆξις ἐν τοῖς πέπλοις τοῖς βυσσίνοις, ἤτοι μὴ διαῤῥήξωσι τὰ ἱμάτια αὐτῶν.

βυσσίνοις] B. κοκκίνοις. λακὶς] ἤγουν κτύπος ὑπὸ χειρῶν ἢ σχίσματος. Σχιζομένων γὰρ τῶν πέπλων ἠχὼ γίνεται.

v. 126. πᾶς γὰρ ἱππηλάτας] A. πᾶς γὰρ ἱππικὸς λαὸς, καὶ πεδοστιβὴς, ἤτοι τῷ πέδῳ καὶ τῇ γῇ περιπατῶν, καὶ πεζῇ βαδίζων, καταλελοίπασι τὴν πόλιν, ἀκολουθοῦντες τῷ Ξέρξῃ, ὥσπερ τὸ σμῆνος τῶν μελισσῶν ἕπεται τῷ ἀρχηγῷ αὐτῶν. Λέγεται γὰρ ὡς εἰ μὴ ἀρχηγὸς τῶν μελισσῶν πρότερον πετάσει, ἄλλως οὐχ ἵπτανται αἱ ἕτεραι.

v. 127. πεδοστιβὴς] B. πεζικός.

v. 128. σμῆνος] B. πλῆθος.

v. 129. ἀρχάμῳ] B. ἡγέμονι ἤγουν τῷ Ξέρξῃ.

v. 130. τὸν ἀμφίζευκτον] A. ἐξαμείψας καὶ περάσας τὸν ἀμφίζευκτον ἅλιον πρῶνα τὸν κοινὸν τῆς ἀμφοτέρας γῆς, τῆς Εὐρώπης δηλαδὴ καὶ τῆς Ἀσίας. Ἀμφίζευκτον δὲ, τὸν ζευγνῦντα ἄμφω τὰς ἠπείρους, ἢ ζευγνύμενον ἐξ ἀμφοῖν. Ἢ τὸν ὑποζευχθέντα· βατὸν γὰρ αὐτὸν ἐποίησεν ὁ Ξέρξης.

ἀμφίζευκτον] B. τὸν ἤδη ἀμφοτέραις ζευχθέντα διὰ τῶν πλοιῶν.

v. 131. ἀμφοτέρας] B. Ἀσίας καὶ Εὐρώπης. ἅλιον] θαλάσσιον.

v. 132. πρῶνα] A. τὸν προνεύοντα καὶ εἰς τὰς ἀμφοτέρας ἠπείρους. Ἢ τὸν κοινὸν ἑκατέρας γῆς. Μεταξὺ γάρ ἐστιν Εὐρώπης καὶ Ἀσίας. Ἄλλως. Πρῶνα ἀμφοτέρας αἴας κοινὸν, οἱ μὲν τὸν Ἑλλήσποντον, οἱ δὲ Ταῦρον, τὸ ὄρος.

πρῶνα] B. ἐξοχήν. Ἐνταῦθα καταχρηστικῶς τὸ πρῶνα εἶπε· πρῶν γὰρ κυρίως ἡ τῶν ὄρων ἐξοχή. Ἐνταῦθα δὲ διὰ τοῦτο εἶπε, διὰ τὸ εἶναι αὐτὸν ἐξοχὴν τῆς ἔξω θαλάσσης πρὸς τὴν εἴσω, καὶ οἱονεὶ αὐχένα. Ἐθεράπευσε δὲ αὐτὸ εἰπεῖν ἅλιον.

v. 133. λέκτρα δ' ἀνδρῶν] A. τὰ λέκτρα δὲ τῶν ἀνδρῶν τῇ αὐτῶν ἀποδημίᾳ καὶ ἀπουσίᾳ πίμπλανται καὶ πληροῦνται τοῖς δάκρυσιν. Αἱ δὲ Περσίδες γυναῖκες ἀκροπενθεῖς καὶ ἐπιμανῶς πενθοῦσαι.

λέκτρα] B. αἱ κοῖται.

v. 134. δακρύμασι] B. τῶν γυναικῶν.

v. 135. Περσίδες] B. Τοῦτο ὀρθοπτωτόν. Δέον γὰρ εἰπεῖν Περσίδων ἑκάστη λείπεται μονόζυξ, πολύκλαυστος ἐν φιλάνορι πόθῳ, ἐξ ὀρθοῦ ἐπήνεγκε τὴν σύνταξιν, καὶ ἀντὶ εἰπεῖν ἀκροπενθὴς πρὸς τὸ ἑκάστης οὕτω γὰρ ὁ λόγος ἀπῄτει, πρὸς τὸ Περσίδες ἔταξεν. ἀκροπενθεῖς] πολύκλαυστοι.

v. 136. ἑκάστη πόθῳ] A. Ἑκάστη γοῦν Περσὶς γυνὴ τὸν ἑαυτῆς εὐνατῆρα καὶ ἄνδρα ἀποπεμψαμένη τὸν αἰχμήεντα καὶ θοῦρον καὶ πολεμικὸν λείπεται αὐτὴ τοῦ λοιποῦ μονόζυξ καὶ μόνη.

Φιλάνορι] B. ἀνδρῶν.

v. 138. εὐνατῆρ'] B. σύνοικον.

v. 140. ἀλλ' ἄγε Πέρσαι] A. ἀλλὰ φέρε, ὦ Πέρσαι, ἐνεζόμενοι καὶ ἐγκαθήμενοι εἰς τοῦτο τὸ ἀρχαῖον στέγος, ἤγουν εἰς ταύτην τὴν ἀρχαίαν καθέδραν, φροντίσωμεν καὶ βουλευσώμεθα πῶς πράσσει καὶ τί ποιεῖ ἐν Ἑλλάδι ὁ Ξέρξης, χρεία δὲ προσήκει τὸ δὲ ἀντὶ τοῦ γάρ. Ἡ χρεία γὰρ προσῆκον ποιεῖ τὸ βουλεύεσθαι.

ἐνεζόμενοι] B. κατοικοῦντες.

v. 142. βαθύβουλον] B. συνετωτάτην.

v. 143. προσήκει] B. προσῆλθε.

v. 145. τὸ πατρωνύμιον] A. τὸ πατρωνύμιον γένος, ἤτοι ὁ κατὰ πατέρα συγγενὴς ἡμῖν, τοῦτ' ἔστιν, ὁ ἐκ προγόνου Ἰθαγενής.

v. 146. γένος] B. ὑπάρχει.

v. 147. πότερον τόξου ῥῦμα] A. πότερον ἄρα, φησίν, ἡ ὁρμὴ τοῦ τόξου ἐστὶ τὸ νικῆσαν καὶ ἡττῆσαν τοὺς Ἀθηναίους; ἢ ἰσχὺς τῆς δορυκράνου λόγχης κεκράτηκε καὶ ἐνίκησε τοὺς Πέρσας δηλαδή. Οἱ μὲν γὰρ Πέρσαι τοξόται· οἱ δ' Ἀθηναῖοι, λογχηφόροι. Ὃ δὲ λέγει, ἐστὶ τοιοῦτον· ἆρα οἱ Πέρσαι ἐνίκησαν τοὺς Ἀθηναίους, ἢ οἱ Ἀθηναῖοι τοὺς Πέρσας;

τόξου ῥῦμα] B. ἕλκυσμα· ἤγουν οἱ τοξικώτατοι Πέρσαι.

v. 148. δορυκράνου] B. τοῖς ἐκ κρανίου ξύλου οὔσης· τοῦτο γὰρ ἰσχυρότατον καὶ στεγανώτατον πρὸς τὸ ποιεῖσθαι δόρατα. Ἢ ἐκ τοῦ εἰπεῖν δορυκράνου λόγχης ἐδήλωσεν ἐν ταυτῷ δύο, δόρυ καὶ κράνος. Τὸ γὰρ δορικράνου λόγχης ἰσχὺς τοιοῦτόν ἐστιν, ὡς ἂν εἰ ἔλεγεν ἄνδρες κράνει καὶ δορὶ ἰσχύοντες.

v. 150. ἀλλ' ἥδε θεῶν] A. Ἀλλ' αὕτη ἡ τοῦ βασιλέως μήτηρ, ἡ δέσποινα δὲ ἐμή, ὑπάρχουσα φῶς τοῖς ὀφθαλμοῖς ἡμῶν ἴσον τῶν θεῶν ὁρμᾶται ἤτοι ἔρχεται. Λέγει δὲ τὴν Ἄτοσσαν, ἥτις ἦν θυγάτηρ μὲν Κύρου, γυνὴ δὲ Δαρείου, μήτηρ δὲ Ξέρξου κατὰ Ἡρόδοτον.

v. 151.

v. 149. φάος] B. θέαμα.

v. 151. καὶ προςφθόγγοις δὲ] A. καὶ προςηγόροις δὲ λόγοις πρέπον αὐτὴν προςφωνεῖν, ἤτοι πρέπει χαιρετίσαι αὐτήν. Εἶτα κοινῶς ὁ χορὸς χαιρετίζων αὐτήν, φησίν, ὦ χαῖρε βασίλισσα τῶν Περσίδων τῶν βαθυζώνων. Βαθύζωνοι δὲ αἱ Περσίδες, διὰ τὸ κροσσωτὰς ζώνας ἔχειν. Ταῦτα δὲ ἀκούσασα ἡ Ἄτοσσα τοῦ χοροῦ εἰπόντος, εἴ τι μὴ ἡ πρὶν εὐτυχία μεθέστηκε, φησί, διὰ ταῦτα καὶ ἐγὼ παραγίνομαι ἐνταῦθα πρὸς ὑμᾶς καταλείψασα τοὺς χρυσῷ κεκοσμημένους οἴκους, καὶ τὸν βασιλικὸν κοιτῶνα· καὶ ἐμὲ κατὰ τὴν καρδίαν ἔσωθεν κόπτει φροντίς· εἰς ὑμᾶς δὲ ἐρῶ λόγον, οὐδαμῶς ἐμαυτῆς οὖσα, ἤτοι οὐδ' ὅλως ἐμαυτῆς κυρία τυγχάνουσα, οὐκ ἄφοβος. Δονοῦμαι γὰρ καὶ τῶν φρενῶν ἐξίσταμαι, τῷ ὀνείρῳ.

προςφθόγγοις] B. χαιρετιστικοῖς.

v. 155. θεοῦ μὲν εὐνάτειρα Περσῶν] A. τοὺς βασιλεῖς θεοὺς καλοῦσιν οἱ Πέρσαι.

θεοῦ μὲν] B. τοῦ Δαρείου. εὐνάτειρα] σύνοικος. θεοῦ δὲ] τοῦ Ξέρξου.

v. 156. δαίμων παλαιὸς] A. ἡ εὐδαιμονία.

δαίμων παλαιὸς νῦν ἐφέστηκε] B. ἤγουν ἡ παλαιὰ εὐτυχία τῶν Περσῶν μεταβέβληται, ἣν ἐν τοῖς πολέμοις εἶχον, καὶ πάντων ὡς εἰπεῖν ἀνθρώπων ἐδόκουν ἄριστοι.

v. 157. ταῦτα] B. διὰ τοῦτο. χρυσεοστόλμους] χρυσῷ κεκαλλωπισμένους. Στολμὸς γὰρ ὁ καλλωπισμός.

ταῦτα δὴ λιποῦσ' ἱκάνω] Γ. ἡ εἴςθεσις μονοστροφικῆς περιόδου, εἰ δὲ βούλει, διπλῆς μερικῆς. Οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ιζʹ.

v. 159. ἀμύσσει] B. σπαράσσει.

v. 160. οὐδαμῶς ἐμαυτῆς οὖσ' ἀδείμαντος] B. τουτέστι ἔξω τοῦ καθεστηκότος τυγχάνουσα ὑπὸ τοῦ φόβου, ὃν ἐν τῇ ψυχῇ ἔχω.

v. 161. μέγας πλοῦτος] A. δέδοικα, φησί, μήπως ὁ μέγας πλοῦτος καὶ ἡ εὐδαιμονία, κονίσσας ἢ κονισθεὶς καὶ βληθεὶς ἐν τῷ ποδί, καὶ ῥιφεὶς καὶ λακτισθεὶς εἰς οὖδας

ἀνατρέψῃ τὸν ὄλβον ὃν ὁ Δαρεῖος εἷλεν. Ἤτοι τὸ κλέος ὃ ἔλαβεν ὁ Δαρεῖος καὶ εἰς μέγα ὕψωσεν, οὐ χωρὶς τῶν θεῶν.

κονίσας] B. ταράξας. Ἡ σύνταξις· μὴ ὁ μέγας πλοῦτος κονίσας καὶ ταράξας τὸ ἔδαφος ἐν ποδὶ ἀνατρέψῃ καὶ ἀπολέσῃ τὸν ὄλβον καὶ τὴν εὐδαιμονίαν τῶν Περσῶν, ὃν μετὰ τῶν θεῶν μέγας καὶ θαυμαστὸς Δαρεῖος ἐποίησε. Σωματοποιεῖ δὲ ἐνταῦθα τὸν πλοῦτον· ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. Φοβοῦμαι μὴ ἡ μεγίστη τῶν Περσῶν εὐδαιμονία αὐτὴ ὑφ' ἑαυτῆς ἀνατραπείη καὶ ἀφανισθείη. Ὅθεν διπλῆν κατὰ νοῦν στρέφω φροντίδα. Ἔστι δὲ αὐτή τις, μήτε τὸν πλοῦτον περὶ πλείστου ποιεῖσθαι, ὃς τὸν ὑπερμαχοῦντα οὐκ ἔχει· τοῦτο γάρ ἐστι τὸ ἄνανδρον· μήτε τοῖς ἀχρημάτοις, ἤγουν τοῖς πένησι λάμπειν φῶς τοσοῦτον καὶ εὐδαιμονίαν, ὅση δύναμις πάρεστιν· τουτέστιν, οὔτε ὁ πλοῦτός ἐστι περισπούδαστος, ὁ μὴ ἀσφαλής, οὔτ' αὖ τὸ ἐναντίον μακάριστοί εἰσιν οἱ πένητες· ἔχοντες μὲν ἰσχὺν τὴν αὐτῶν χρημάτων, ἢ ἀπολειπόμενοι. Λέγει δὲ ταῦτα διὰ τὸ μηδὲν ὄφελος εἶναι ἔτι τῶν τοσούτων τῆς τῶν Περσῶν ἀρχῆς θησαυρῶν, εἰ Ξέρξης ἡττηθείη, πάντας Πέρσας μεθ' ἑαυτοῦ ἐπαγόμενος, καὶ τῆς Περσίδος μετὰ γυναικῶν καὶ γερόντων ἀπολειφθείσης. Δέον δὲ οὕτως εἰπεῖν, μήτε χρημάτων ἀνάνδρων πλῆθος ἔτι σέβειν, μήτε μακαρίζειν τοὺς ἀχρημάτους, ἐνήλλαξε, καὶ ἀντὶ τοῦ εἰπεῖν μακαρίζειν, λάμπειν εἶπεν.

v. 163. ταῦτά μοι διπλῆ μέριμν' ἄφραστος] A. ἤτοι ἄλεκτος. Ἡ δὲ τοιάδε, μήτε χρημάτων πλῆθος σέβειν ἀνάνδρων, ἤτοι ἀνδρῶν ἐκεῖσε μὴ παρόντων· μήτε τοῖς ἀχρημάτοις ἀνδράσι, δηλονότι τοῖς πένησι, λάμπειν φῶς εὐτυχές, ὅ ἐστι σθένος. Τοῦτ' ἔστιν, οὐ πάσης ἀπολαύουσι τῆς τοῦ φωτὸς ἡδονῆς οἱ πένητες· ἑτέρου γὰρ λείποντος τὸ τῆς εὐδοκιμήσεως δυσχερές. Χωρὶς μὲν ἀνδρῶν ἄχρηστά εἰσι τὰ χρήματα, χωρὶς δὲ χρημάτων οἱ ἄνδρες· καὶ ἁπλῶς οἱ μὴ ἔχοντες ταῦτα ἀνίσχυροι.

ταῦτα] B. διὰ τοῦτο. ἄφραστος] ἄῤῥητος.

v. 165. φῶς] B. δόξαν.

v. 166. ἔστι γὰρ πλοῦτος] A. ἔστι γὰρ ἡμῖν πλοῦτος ἀμεμφὴς καὶ ἄφθονος· δεδοίκαμεν δὲ διὰ τὸ μὴ ἔχειν ἄνδρας. Ὀφθαλμὸν γὰρ καὶ φῶς τὴν τοῦ δεσπότου παρουσίαν νομίζω. ἀμφὶ δ' ὀφθαλμοῖς] ἤγουν ἀμφὶ τῷ Ξέρξῃ, ὀφθαλμὸν γὰρ ἐκεῖνον καλεῖ.

ἀμεμφὴς] B. πολύς· ὃν οὐ δύναταί τις μέμψασθαι. Ἔστι δὲ ἐνταῦθα τὸ ἀμεμφὴς ὅμοιον τῷ ἄφθονος. Λέγει δὲ ὡς ἔστι μέν τις πλούσιος σφόδρα, μὴ δυνάμενος δὲ τοῦ πλούτου ὑπερμαχεῖν τῷ φόβῳ σύνεστιν.

v. 168. πρὸς τάδ' ὡς οὕτως ἐχόντων] A. πρὸς ταῦτα, φησὶ γίνεσθέ μοι σύμβουλοι τούτου τοῦ λόγου, ὦ Πέρσαι, γηραλέα πιστώματα, ἤτοι ὦ ἀρχαῖοι γέροντες πιστοί, ὡς τούτων, ὧν εἶπον, οὕτως ἐχόντων, ἀντὶ τοῦ ἀληθῶν ὄντων.

σύμβουλοι λόγου τοῦδε] B. συμβουλεύσατέ μοι τὸν περὶ τούτου λόγον.

v. 170. ἐστί μοι βουλεύματα] B. πᾶσα γὰρ ἀρίστη βουλὴ τοῖς γέρουσι πρόςεστιν, ἐμπειρίαν διὰ τὸ γῆρας ἔχουσι, καὶ αὐτὴ τοῦτο νομίζω, διὰ γὰρ τὸ μοὶ τοῦτο ἐδήλωσεν.

v. 171. εὖ τόδ' ἴσθι γῆς ἄνασσα] A. Γίνωσκε ὦ βασίλισσα, ἐπὶ λόγου καὶ ἔργου, — ἐφ' οὗ ἂν δυνώμεθα πρᾶξαι καὶ εἰπεῖν, οὐ δίς σε φράσαι, ὥςτε μὴ ἐν λόγῳ καὶ ἔργῳ βοηθῆσαί σοι.

v. 172. ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ] B. ἃ ἂν ὑπ' ἐξουσίαν καὶ δύναμιν ἡμῖν ἐστι.

v. 174. πολλοῖς μὲν αἰεὶ] A. Ἡ Ἄτοσσα φησὶ πρὸς τὸν χορὸν πολλὰ μὲν νυκτερινὰ ὀνείρατα φαντάζομαι, ἐξ οὗ καιροῦ ὁ ἐμὸς παῖς ὁ Ξέρξης διακομίσας στρατὸν πορεύεται καὶ ἄπεισιν εἰς τὴν γῆν τῶν Ἰαόνων, θέλων ἐκπορθῆσαι αὐτήν· ἀλλ' οὐδαμῶς τοιοῦτον ὄναρ φανερὸν εἶδον ποτε, ὥςπερ ἐπὶ τῆς παρελθούσης νυκτός. Λέξω δέ σοι τοῦτο. Ἰστέον δὲ ὅτι Ἰάονες οἱ Ἀθηναῖοι λέγονται, ἐκ τινος Ἰάονος βασιλεύσαντος αὐτῶν.

πολλοῖς μὲν αἰεὶ] Γ. Ἡ εἴσθεσις μονοστροφικῆς περιόδου. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λθ΄· ὧν τελευταῖος

Σωθεὶς δ' ὁμοίως τῆςδε κοιρανεῖ χθονός.

v. 175. στείλας στρατὸν] A. τοῦτ' ἔστι κοσμήσας. Ὁμώνυμος γάρ ἐστι λέξις. Ἔστι γὰρ στέλλω τὸ κοσμῶ, ἐξ οὗ καὶ στολή· στέλλω τὸ πλέω, ἐξ οὗ καὶ στόλος; στέλλω τὸ ἀποστέλλω, ἐξ οὗ καὶ ἀπόστολος.

στείλας] B. ὁρμήσας, κινήσας.

v. 176. Ἰαόνων] B. τῶν Ἀθηναίων.

v. 177. ἐναργὲς] B. φανερόν.

v. 178. πάροιθεν] B. προλαβούσης.

v. 179. ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε] A. ἐντεῦθεν ἔλαβεν ὁ Σοφοκλῆς τό·

Ἐδόξατην μοι τάδ' ἠπείρῳ μολεῖν.

καὶ Εὐριπίδης (Iphig. in Taur. v. 44.)

Ἔδοξ' ἐν ὕπνῳ τῆςδ' ἀπαλλαχθεῖσα γῆς.

Πρόςεχε δὲ τῇ τοῦ ὀνείρου ἀναγνώσει.

ἐδοξάτην] B. ἐφάνησαν. εὐείμονε] καλῶς ἐσταλμέναι καὶ ἐνδεδυμέναι.

v. 180. ἠσκημένη] B. κεκοσμημένη.

v. 181. Δωρικοῖσιν] B. Ἑλληνικαῖς.

v. 182. τῶν νῦν] B. γυναικῶν.

v. 183. γένους ταὐτοῦ] A. Ἄνδρων ὁ Ἁλικαρνασσεὺς φησὶ τὸν Ὠκεανὸν γῆμαι Πομφολύγην καὶ Παρθενόπην· σχεῖν δὲ ἐκ μὲν Παρθενόπης, Εὐρώπην καὶ Θρᾴκην, ἐκ δὲ Πομφολύγης Ἀσίαν καὶ Λιβύην· ἀφ' ὧν τὰς ἠπείρους ὀνομασθῆναι συμβέβηκεν. Ἡ γοῦν Ἄτοσσα φησὶ δύο γυναῖκας κατ' ὄναρ ἰδεῖν, τὰς δύο ἠπείρους ταύτας, Ἀσίαν καὶ Εὐρώπην.

v. 185. βάρβαρον] B. τὴν Ἀσίαν.

v. 186. τούτω στάσιν] A. τούτω, φησί, τω γυναῖκε τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην λίαν ἐγὼ ἐδόκουν ὁρᾷν στάσιν τινα καὶ φιλονεικίαν τεύχειν καὶ κατασκευάζειν καὶ ποιεῖν ἐν ἀλλήλαις. Παῖς δὲ ὁ ἐμὸς μαθὼν στασιαζούσας ταύτας κατεῖχε καὶ ἐπραΰνε, καὶ ἡμέρου αὐτάς· ἤθελε γὰρ ὁ Ξέρξης εἰς ἓν ἀγαγεῖν κράτος τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν· ὑπὸ ἅρμασι δὲ ζεύγνυσιν αὐτώ, ἀντὶ τοῦ αὐτάς, καὶ λέπαδνα, ἤτοι ζυγόλωρα τίθησιν ἐπὶ τῶν αὐχένων αὐτῶν.

τούτω] B. ἰστέον, ὅτι ἐπειδὴ αὐταὶ δέον εἰπεῖν, ἀρσενικῶς ἐξήνεγκε κατ' Ἀττικὴν συνήθειαν, ἀντὶ τοῦ αὐταὶ τούτω εἰπών, διὰ τοῦτο καὶ τὸ ἀλλήλοις ἀρσενικῶς πρὸς τοῦτο ἀπέδωκεν. Οὕτως γὰρ ἐν πᾶσι τοῖς παλαιοῖς βιβλίοις εἴρηται διὰ τῆς Ο καὶ Ι διφθόγγου γραφόμενον.

στάσιν] μάχην.

v. 187. τεύχειν] B. ποιεῖν.

v. 189. λέπαδνα] A. οἱ παχεῖς ἱμάντες, οἷς ἀναδεσμοῦνται οἱ τράχηλοι τῶν ἵππων πρὸς τὸν ζυγόν. Ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ λέπω τὸ λεπίζω, λέπανον καὶ λέπαδνον. Τινὲς δὲ λέπαδνα τοὺς μασχαλιστῆρας φασί.

αὐτὼ] B. αὐτάς. λέπαδνα] ζυγόλωρα.

v. 190. χ' ἡ μὲν] A. καὶ ἡ μέν, ἤγουν Ἀσία ἐπυργοῦτο καὶ ἐκοσμεῖτο καὶ ἤρετο τῇ στολῇ τῇδε. Δεικτικῶς δὲ τοῦτο, ἀντὶ τοῦ Περσικῇ ταύτῃ, ἣν φορῶ. Εἶχε δὲ στόμα εὐαρκτον καὶ ὑπήκοον καὶ πειθήνιον ἐν τῷ χαλινῷ.

τῇδ' ἐπυργοῦτο] B. ταύτῃ τῇ Περσικῇ ἐσεμνύνετο.

v. 191. εὐαρκτον] B. εὐπειθές.

v. 192. ἡ δ' ἐσφαδάζε] A. ἡ δὲ Εὐρώπη ἐσφάδαζε καὶ ὥρμα, καὶ ἐπήδα, καὶ διὰ τῶν χειρῶν, ἔντη τοῦ δίφρου βίᾳ ῥήσσει, ἢ τὸν δίφρον *), καὶ ξυναρπάζει ἄνευ χαλινῶν, ἤτοι ἀχαλίνωτον γενόμενον, καὶ τὸν ζυγὸν συνθλᾷ.

ἔντη δι... δίφρου χα... λινά ...

*) Ita correxit Abreſchius vulgatam lectionem: καὶ διὰ τῶν χειρῶν ἐν τῇ τοῦ δίφρου βίᾳ ῥήσσει τὸν δίφρον. Nempe ἔντη ſ. ἔντεα δίφρου ſunt frena et lora quibus currui adjuncta erat illa mulier, quae Europam ſ. potius Graeciam repraeſentabat.

πολλοῖς μὲν αἰεὶ] Γ. Ἡ εἴςθεσις μονοστροφικῆς περιόδου. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λθ′ ὧν τελευταῖος

Σωθεὶς δ' ὁμοίως τῆςδε κοιρανεῖ χθονός.

v. 175. στείλας στρατὸν] A. τοῦτ' ἔστι κοσμήσας. Ὁμώνυμος γάρ ἐστι λέξις. Ἔστι γὰρ στέλλω τὸ κοσμῶ, ἐξ οὗ καὶ στολή· στέλλω τὸ πλέω, ἐξ οὗ καὶ στόλος; στέλλω τὸ ἀποστέλλω, ἐξ οὗ καὶ ἀπόστολος.

στείλας] B. ὁρμήσας, κινήσας.

v. 176. Ἰαόνων] B. τῶν Ἀθηναίων.

v. 177. ἐναργὲς] B. φανερόν.

v. 178. πάροιθεν] B. προλαβούσης.

v. 179. ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε] A. ἐντεῦθεν ἔλαβεν ὁ Σοφοκλῆς τό·

Ἐδόξατην μοι τάδ' ἠπείρῳ μολεῖν.

καὶ Εὐριπίδης (Iphig. in Taur. v. 44.)

Ἔδοξ' ἐν ὕπνῳ τῆςδ' ἀπαλλαχθεῖσα γῆς.

Πρόςεχε δὲ τῇ τοῦ ὀνείρου ἀναγνώσει.

ἐδοξάτην] B. ἐφάνησαν. εὐείμονε] καλῶς ἐσταλμέναι καὶ ἐνδεδυμέναι.

v. 180. ἠσκημένη] B. κεκοσμημένη.

v. 181. Δωρικοῖσιν] B. Ἑλληνικαῖς.

v. 182. τῶν νῦν] B. γυναικῶν.

v. 183. γένους ταυτοῦ] A. Ἄνδρων ὁ Ἁλικαρνασσεύς φησι τὸν Ὠκεανὸν γήμαντα Πομφολύγην καὶ Παρθενόπην· σχεῖν δὲ ἐκ μὲν Παρθενόπης, Εὐρώπην καὶ Θρᾴκην, ἐκ δὲ Πομφολύγης Ἀσίαν καὶ Λιβύην· ἀφ' ὧν τὰς ἠπείρους ὀνομασθῆναι συμβέβηκεν. Ἡ γοῦν Ἄτοσσα φησὶ δύο γυναῖκας κατ' ὄναρ ἰδεῖν, τὰς δύο ἠπείρους ταύτας, Ἀσίαν καὶ Εὐρώπην.

v. 185. βάρβαρον] B. τὴν Ἀσίαν.

v. 186. τούτω στάσιν] A. τούτω, φησὶ, τὼ γυναῖκε τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην λίαν ἐγὼ ἐδόκουν ὁρᾷν στάσιν τινα καὶ φιλονεικίαν τεύχειν καὶ κατασκευάζειν καὶ ποιεῖν ἐν ἀλλήλαις. Παῖς δὲ ὁ ἐμὸς μαθὼν στασιαζούσας ταύτας κατεῖχε καὶ ἐπραΰνε, καὶ ἡμέρου αὐτάς· ἤθελε γὰρ ὁ Ξέρξης εἰς ἓν ἀγαγεῖν κράτος τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν· ὑπὸ ἅρμασι δὲ ζεύγνυσιν αὐτώ, ἀντὶ τοῦ αὐτάς, καὶ λέπαδνα, ἤτοι ζυγόλωρα τίθησιν ἐπὶ τῶν αὐχένων αὐτῶν.

τούτω] B. ἰστέον, ὅτι ἐπειδὴ αὐταὶ δέον εἰπεῖν, ἀρσενικῶς ἐξήνεγκε κατ' Ἀττικὴν συνήθειαν, ἀντὶ τοῦ αὐταὶ τούτω εἰπών, διὰ τοῦτο καὶ τὸ ἀλλήλοις ἀρσενικῶς πρὸς τοῦτο ἀπέδωκεν. Οὕτως γὰρ ἐν πᾶσι τοῖς παλαιοῖς βιβλίοις εἴρηται διὰ τῆς Ο καὶ Ι διφθόγγου γραφόμενον.

στάσιν] μάχην.

v. 187. τεύχειν] B. ποιεῖν.

v. 189. λέπαδνα] A. οἱ παχεῖς ἱμάντες, οἷς ἀναδεσμοῦνται οἱ τράχηλοι τῶν ἵππων πρὸς τὸν ζυγόν. Ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ λέπω τὸ λεπίζω, λέπανον καὶ λέπαδνον. Τινὲς δὲ λέπαδνα τοὺς μασχαλιστῆρας φασί.

αὐτὼ] B. αὐτάς. λέπαδνα] ζυγόλωρα.

v. 190. χ' ἡ μὲν] A. καὶ ἡ μέν, ἤγουν Ἀσία ἐπυργοῦτο καὶ ἐκοσμεῖτο καὶ ἤρετο τῇ στολῇ τῇδε. Δεικτικῶς δὲ τοῦτο, ἀντὶ τοῦ Περσικῇ ταύτῃ, ἣν φορῶ. Εἶχε δὲ στόμα εὐαρκτον καὶ ὑπήκοον καὶ πειθήνιον ἐν τῷ χαλινῷ.

τῇδ' ἐπυργοῦτο] B. ταύτῃ τῇ Περσικῇ ἐσεμνύνετο.

v. 191. εὐαρκτον] B. εὐπειθές.

v. 192. ἡ δ' ἐσφαδάζε] A. ἡ δὲ Εὐρώπη ἐσφάδαζε καὶ ὥρμα, καὶ ἐπήδα, καὶ διὰ τῶν χειρῶν, ἔντη τοῦ δίφρου βίᾳ ῥήσσει, ἢ τὸν δίφρον *), καὶ ξυναρπάζει ἄνευ χαλινῶν, ἤτοι ἀχαλίνωτον γενόμενον, καὶ τὸν ζυγὸν συνθλᾷ.

ἔντη βι… διφρου χ… λινα…

---

*) Ita correxit Abreſchius vulgatam lectionem: καὶ διὰ τῶν χειρῶν ἐν τῇ τοῦ δίφρου βίᾳ ῥήσσει τὸν δίφρον. Nempe ἔντη ſ. ἔντεα δίφρου ſunt frena et lora quibus currui adjuncta erat illa mulier, quae Europam ſ. potius Graeciam repraeſentabat.

Πίπτει δὲ ἐκ τοῦ ἅρματος ὁ Ξέρξης, οὗτος γὰρ ἦν ὁ ὑπὸ ζυγὸν ἔχων αὐτάς. Καὶ πατὴρ Δαρεῖος παρίσταται οἰκτείρων αὐτόν. Ἐπεὶ δὲ τοῦτο εἶδεν ὁ Ξέρξης, αἰδεσθεὶς τὸ πτῶμα διαῤῥηγνύει τοὺς οἰκείους πέπλους. Ἄλλως. ἐσφάδαζε] ἐσκάριζε.

ἐσκάριζεν:

ἐσφάδαζε] B. ἐταράττετο, ἐστασίαζε.

ἐν τῇ] B. ἐν ταύτῃ τῇ δεξίᾳ.

v. 193. ξυναρπάζει] B. ἐκφεύγει.

v. 196. Δαρεῖος οἰκτείρων σφε] B. διὰ τοῦτο ᾤκτειρε τὸν Ξέρξην Δαρεῖος, διὰ τὸ καὶ αὐτὸν εἰς Ἑλλάδα μετὰ στρατοῦ ἐλθεῖν καὶ ἡττηθῆναι, καὶ ταῦτα μυριοπλάσιον πλῆθος ἔχοντα ἢ πρώην ἐκεῖνος. Δαρεῖος μὲν γὰρ ἐν τῇ πρώτῃ στρατίᾳ οὐκ ἦν, ἀλλὰ στρατηγὸν αὐτοῦ τὸν Δᾶτιν ἔπεμψε. Ξέρξης δὲ οὐκ ἠνέσχετο ἕτερον πέμψαι, ἀλλ' αὐτὸς παρῆν. Ὅθεν καὶ ἡττηθεὶς μείζω τὴν αἰσχύνην ἐκτήσατο, ἢ εἰ μηδὲν ἦν.

v. 197. ῥήγνυσιν] B. ὑπ' αἰδοῦς.

v. 199. καλιῤῥόου πηγῆς] A. πηγή τις ἱερὰ ἀφ' ἧς ἀνιμᾶτο νᾶμα ταῖς θυσίαις ἐπιχέεσθαι· διὰ γοῦν τὸ ἐξ αὐτῆς τὰς θυσίας γίνεσθαι καλίῤῥοον αὐτὴν ὠνόμασεν. Ἀποτροπιαστὴν δὲ τῶν ὀνείρων φασὶν εἶναι τὸν ἥλιον. Τούτου γὰρ ἐπιλάμψαντος οἱ ὄνειροι διασκεδάζονται.

καλιῤῥόου] B. Καλιῤῥόη, ὄνομα πηγῆς, ἀφ' ἧς οἱ μέλλοντες θύσειν τὰς χεῖρας ἐκάθαιρον. Φασὶ γοῦν διὰ τὸ αἰτίαν εἶναι καθάρμου Καλιῤῥόην αὐτὴν ὠνομάσθαι. Λέγει δὲ ἐνταῦθα Ἄτοσσα καλιῤῥόου ἅψασθαι, ἢ ὅτι ἐν τῇ Περσίδι ἦν αὐτὴ ἡ πηγή, ἢ ὡς καθαρὸν ἔχουσα ὕδωρ καλίῤῥοον ἐκάλεσε τὴν πηγήν, ἀφ' ἧς τὰς χεῖρας ἐνίψατο.

v. 200. θυηπόλῳ] B. θυσίαν μελλούσῃ ἐπηνεγκεῖν.

v. 201. ἀποτρόποισι δαίμοσι] A. οἷς ἀποτροπιαζόμεθα τοὺς ὀνείρους.

βωμῷ] B. ἐν ᾧ τὰ θύματα ἔσφαζον ἐκαλεῖτο βωμός, ὢν τετραγωνοειδὴς τόπος τοῦ ἱεροῦ. Ἐσχάρα δὲ ὁ λάκκος ἐν ᾧ τὰ ἱερὰ ἔκαιον. Πέλανος] οὐ μόνον ὁ ῥύπος, ὡς καὶ Εὐριπίδης φησὶν ἀφρώδη πέλανον (Orest. 220.) ἤτοι

τὸν ἐξ ἀφροῦ ῥύπον ἀλλὰ καὶ θῦμά τι. ἀποτρόποισι δαίμοσι] τοῖς ἀποτρεπτικοῖς κακῶν ὀνειράτων.

v. 202. θέλουσα θῦσαι πέλανον] A. Πέλανος κυρίως ὁ πεπηγὼς ῥύπος λέγεται. Ἄλλως· Ὁ ἀφρὸς ὁ γινόμενος ἐν τῇ χύτρᾳ. Ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ πέλω τὸ ἀναστρέφομαι· ἐνταῦθα δὲ πέλανον τὴν θυσίαν φησί.

ὧν τέλη τάδε] B. οἵ τινες εἰσὶ τῶν τοιούτων ἔφοροι. Λέγει δὲ τὸν Ἀπόλλωνα.

v. 204. ἄφθογγος] B. ἄφωνος.

v. 205. μεθύστερον] A. μετὰ δὲ τοῦτο ὁρῶ κίρκον, ἤτοι ἱέρακα, σφαδάζοντα καὶ ὀξέως κινούμενον ἐν τοῖς πτεροῖς, καὶ χηλαῖς, ἤτοι τοῖς ὄνυξι, τὸ κάρα καὶ τὴν κεφαλὴν τοῦ ἀετοῦ διακόπτοντα. Ὁ δὲ ἀετός, ἤγουν ὁ Ξέρξης, οὐδὲν ἄλλο ἐποίει, ἢ μόνον παρεῖχε τῷ ἱέρακι τὸ σῶμα χρῆσθαι, ὡς βούλεται. Ἀετὸν οὖν τὸν Ξέρξην φησί, διὰ τὸ βασιλικὸν καὶ γενναῖον, ἱέρακα δὲ τὸ τῶν Ἀθηναίων στράτευμα, διὰ τὸ πρὸς τοὺς Πέρσας ἐλάττονα ἔχειν κατὰ πολὺ τὴν δύναμιν.

κίρκον] B. ὀξύπτερον.

v. 206. κάρα] B. τοῦ ἀετοῦ.

v. 207. πτήξας] B. φοβηθείς.

v. 208. παρεῖχε] B. τῷ κίρκῳ. ταῦτ᾽ ἔμοιγε] ταῦτα ἰδοῦσα φοβοῦμαι, οἶμαι δὲ καὶ ὑμᾶς ἀκούοντας.

v. 211. οὐχ ὑπεύθυνος πόλει] A. οὐ τιμωρητέος, οὐ δίκας ὀφείλων, διὰ τὸ ὑμᾶς αὐτὸν παρορμῆσαι, καὶ κοινῷ δόγματι γενέσθαι τὴν ἐκείνου ἔξοδον καὶ πρὸς τοὺς Ἀθηναίους ἄφιξιν.

οὐχ ὑπεύθυνος] B. οὐ μεμπτός.

v. 212. ὁμοίως τῆσδε κοιρανεῖ χθονὸς] B. ὥσπερ καὶ πρώην, Ὑπὲρ γὰρ τῆς τῶν Περσῶν ἀρχῆς, ὅπως ἔτι μεγίστη γένοιτο, προενοεῖτο.

v. 213. οὔ σε βουλόμεσθα] A. ὁ χορὸς ἀκούσας τοῦ ὀνείρου τῆς Ἀτόσσης φησὶ πρὸς αὐτήν, ὦ μῆτερ τοῦ Ξέρξου οὐδαμῶς θέλομεν οὔτε ἄγαν ἐκφοβεῖν ἐν λόγοις σέ, ἤτοι λέγειν ὅτι κατὰ ταῦτά ἐστιν ἃ εἶδες, οὔτε παραθαρ-

σύνεσιν τῷ οἴεσθαι ὅτι καλά· τοὺς θεοὺς δὲ τοὺς οὐρανίωνας πρῶτον ἐν ἱκεσίᾳ παρακαλέσασα, εἴτι κακὸν καὶ μισητὸν εἶδες, ζήτει αὐτοὺς ποιεῖν ἀποσόβησιν τούτων, τὰ καλὰ δὲ πεπληρωμένα γενέσθαι καὶ σῶα καὶ τῷ Ξέρξῃ καὶ τῇ πόλει. Δεύτερον δὲ πρέπει σὲ ἐπιθῦσαι θυσίας τῇ γῇ τε καὶ τοῖς κάτω νεκροῖς, αἰτοῦ δὲ καὶ ζήτει καὶ παρακάλει τὸν Δαρεῖον, ὃν λέγεις ἰδεῖν κατ' ὄναρ ταῦτά σοι ἀγαθὰ κάτωθεν ἀπὸ τῆς γῆς πέμπειν εἰς φάος, ἤτοι ἀναδιδόναι σοι ἀγαθὰ τὰ ὀνείρατα ἃ εἶδες. Οἱ γὰρ ὄνειροι ἐκ τῆς γῆς ἀνέρχεσθαι λέγονται.

οὔ σε βουλόμεσθα] B. οὐκ ἐθελήσομεν διακρίναι τὸ ὄναρ, εἴτε χρηστόν ἐστιν, εἴτ' ἀπευκταῖον. Ἐὰν γὰρ δυστυχίας σημαντικὸν εἴπωμεν εἶναι, λυπήσομέν σε καὶ ἐμβαλοῦμεν εἰς φόβον, ἀγωνιῶσαν ὑπὲρ παιδὸς μή τι κακὸν πάθοι. Ἐὰν δὲ χρηστὸν καὶ λυσιτελὲς αὐτὸ διακρίνωμεν, θρασυνοῦμέν σε καὶ ἀμελῆσαι ποιήσομεν τῶν θεῶν. Διὸ τούτους ἱκετεύουσα εὔχου τὰ λῷστα.

οὔ σε βουλόμεσθα] Γ. ἡ εἴσθεσις διπλῆς μερικῆς. Οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λδ' ὧν τελευταῖος·

καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν.

v. 214. προστροπαῖς ἱκνουμένη] B. παρακλήσεσι ἱκετεύουσα.

v. 215. φλαῦρον] B. κακόν, φοβερόν. ἀποτροπὴν τελεῖν] ἀποδίωξιν πληροῦν.

v. 218. φθιτοῖς] B. νεκροῖς. πρευμενῶς] συμπαθῶς.

v. 221. τἄμπαλιν δὲ] A. καὶ ταῦτα ἐναντία τούτων τῶν ἀγαθῶν αἰτοῦ κατεχόμενα τῇ γῇ ἀμαυροῦσθαι, ἤτοι ὑπὸ τῆς γῆς κρατηθέντα, ἀφανισθῆναι τῷ σκότει.

τἄμπαλιν δὲ] B. τὰ ἐναντία. τῶνδε] τῶν ἐσθλῶν. κάτοχ'] κεκρατημένα. ἀμαυροῦσθαι] ἀφανίζεσθαι.

v. 222. ταῦτα θυμόμαντις ὢν] A. ταῦτα, φησί, παρῄνεσα οὐ φύσει μάντις ὤν, ἀλλ' ἀπὸ λογισμοῦ κρίνων καὶ ὑπὸ ἐνθυμήσεως. Τοῦτο γὰρ δηλοῖ τὸ θυμόμαντις.

θυμόμαντις] B. οὐ τέχνῃ μάντις, ἀλλ' ἐκ λογισμοῦ κρίνων. πρευμενῶς] εὐνοϊκῶς, συμπαθῶς.

v. 223. τῶνδε κρίνομεν πέρι] A. τὸ Φανερὸν κρίνομεν, εἰς καλὸν τὰ ὁραθέντα σοὶ ὀνείρατα ἐκβιβασθῆναι. Τὸ δ' ἄλλο κρίνομεν, τόδε καλὸν γενέσθαι, τό, ἐὰν ἀπέλθουσα θύσῃς τοῖς θεοῖς, ὡς προέφημεν.

πανταχῇ] B. κατὰ πάντα τὸν τρόπον. τελεῖν σοι] τοὺς θεοὺς καὶ τὸν πόσιν. τῶνδε κρίνομεν πέρι] κρίνομεν δὲ καὶ λογιζόμεθα περὶ τῶνδε. Ὧν ἐθεάσω κατ' ὄναρ, εἰ πρὸς τοὺς θεοὺς ἀναθήσεις, καὶ χοὰς τῷ πόσει ποιήσεις, καλῶς τούτους τελεῖν σοι κατὰ πάντα τρόπον ταυτί. Εἴτε γὰρ χρηστά ἐστι, ταχέως τελέσουσιν, εἴτ' αὖ τουναντίον, ἀλεξίκακοι γένωνται, ἐξιλεωθέντες θυσίαις τε καὶ δεήσεσι ταῖς σαῖς.

v. 224. ἀλλὰ μὴν εὔνους] A. ἀλλὰ δὴ σὺ ὁ πρῶτος ἀκούσας τοῦ ὀνείρου εὐνοϊκῶς συνεβούλευσας ἐξιλεώσασθαι οὐρανίους καὶ καταχθονίους δαίμονας.

v. 225. παιδὶ καὶ δόμοις ἐμοῖσι] B. τῇ ἡμῶν ἀρχῇ. τήνδ' ἐκύρωσας Φάτιν] τὸ τοῖς θεοῖς εὔχεσθαι καὶ παρ' ἐκείνων αἰτεῖν τὰ βέλτιστα.

v. 226. ἐξίλεοῖτο δὲ] A. σὺ μέν, Φησίν, ἐκύρωσας καὶ ἐβεβαίωσας ταύτην τὴν Φήμην, τὸ θῦσαι δηλονότι τοῖς θεοῖς ὑπὲρ τοῦ παιδὸς τοῦ ἐμοῦ καὶ τῶν ἐμῶν οἴκων· εἴθε δὲ ἡ ἐξιλέωσις εἰς ἀγαθὸν ἀποβαίνοι. Ταῦτα δὲ ὡς λέγεις, πάντα ποιήσομεν τοῖς θεοῖς, καὶ τοῖς κάτω νεκροῖς, ὁπόταν ἀπέλθωμεν εἰς τοὺς οἴκους ἡμῶν.

ἐφίεσαι] B. ἀποδέχῃ, προστάττεις.

v. 227. ἔνερθε γῆς Φίλοις] B. ἤγουν τῷ Δαρείῳ.

v. 230. τῆλε πρὸς δυσμαῖς] A. Ἐρωτηθεὶς ὁ χορὸς ποῦ λέγουσι τὰς Ἀθήνας κρατεῖσθαι, καὶ ἐν ποίῳ μέρει τῆς γῆς, Φησίν, ὅτι μακρὰν πρὸς ταῖς δυσμαῖς τῶν Φθινασμάτων τοῦ θεοῦ ἡλίου. Ὁ ἥλιος γὰρ παρὰ Πέρσαις τιμᾶται. Φθινασμάτων δέ, τῶν λήξεων, τῶν δυσμῶν, ἢ τῶν ἐκλείψεων· ὅτε γὰρ δύει ὁ ἥλιος, ἐκλείπει. Ἔνθα καὶ λίψ ὁ ἄνεμος ἀπὸ δυσμῶν.

τῆλε] B. μακράν. ἀνάκτος ἡλίου] τοῦ βασιλέως τῶν Περσῶν, τοῦτον γὰρ μάλιστα πάντων σέβονται. φθινασμάτων] λήξεων.

v. 231. ἱμεῖρ'] B. ἐπεθύμει.

v. 232. πᾶσα γὰρ] A. Ἐὰν Ἀθήνας κρατήσῃ ὁ Ξέρξης τηνικαῦτα καὶ τὴν Ἑλλάδα πᾶσαν καταδουλώσει. Αἱ γὰρ Ἀθῆναι εἰσὶν ἰσχυρόταται τῆς Ἑλλάδος. Τοῦτο λέγει θέλων ἐπαινέσαι τὰς Ἀθήνας.

πᾶσα] B. ναί. γένοιτ' ἂν] εἰ Ἀθήνας εἷλε.

v. 233. ἀνδροπλήθεια στρατοῦ] B. εἰποῦσ' Ἄτοσσα ὡς ἐπεθύμει Ξέρξης Ἀθήνας ἑλεῖν, ἐπειδὴ ὁ χορὸς ἔφη πρὸς αὐτήν, ναὶ ἐπεθύμει, εἰ γὰρ Ἀθήνας εἷλε, πᾶσα ἂν ἐγεγόνει ὑπήκοος αὐτῷ ἡ Ἑλλάς, νῦν αὐτὴ πάλιν φησίν, οὕτω πολὺν στρατὸν Ἀθηναῖοι ἔχουσιν ὡς ἀνάλωτον εἶναι τὴν πόλιν αὐτῶν, καὶ τὸν αὐτοὺς καταγωνισάμενον καὶ πάντας ἂν ἀνθρώπους ὑπὸ χεῖρα λαβεῖν;

v. 234. ἔρξας πολλὰ] A. τῆς ἐν Μαραθῶνι πεζομαχίας μέμνηται. Μήδους δὲ τοὺς Πέρσας εἴρηκεν.

Μήδους] B. τοὺς Πέρσας. κατὰ] ὅτ' ἐς Μαραθῶνα ἡττήθησαν.

v. 235. τούτοισιν] B. τῷ πλήθει καὶ τῇ ἀνδρείᾳ. ἐξαρκὴς] πολύς.

v. 236. ἀργύρου πηγή τις] A. ἐν Θωρικῷ γὰρ καὶ ἐν Θαυρίῳ μέταλλα ἀργύρου τυγχάνουσιν. *)

ἀργύρου πηγή τις] B. ἐν Θωρικῷ γὰρ τῆς Ἀττικῆς ἀργύρου μέταλλα.

v. 237. πότερα γὰρ] A. Ἆρα, φησί, διὰ τῶν χειρῶν αὐτοῖς πρέπει ἡ βολὴ ἡ τοξική; Ἀντὶ τοῦ ἆρα οἴδασι τοξεύειν οἱ Ἀθηναῖοι; Ἀποκριθεὶς δὲ ὁ χορὸς λέγει, οὐδαμῶς τόξα ἕλκειν οἴδασιν· ἔγχη δὲ σταδαῖα ἤτοι ξίφη σταδαῖα, δι' ὧν συστάδην καὶ ἐγγγύως καὶ πλησίον μάχονται. Τοὺς γὰρ ἐκ διαστημάτων μαχομένους κατηυτέλιζον.

τοξουλκὸς αἰχμή] B. ἐπειδὴ ἡ αἰχμὴ ἐπὶ λόγχης λέγεται, διὰ τοῦτο καὶ τοξουλκὸς εἶπεν, ἐμφαίνουσα διὰ τούτου τὰ τόξα.

v. 238. σταδαῖα] B. στάσιμα καὶ ἀγχέμαχα.

v. 239. τίς δὲ ποιμάνωρ] A. τίς δέ, Φησίν, ἐστὶ ποιμάνωρ ἤτοι βασιλεὺς τοῦ λαοῦ καὶ τοῦ στρατεύματος; Ποιμένες γὰρ οἱ βασιλεῖς λέγονται. Ὁ δὲ χορὸς ἀποκριθεὶς λέγει, οὐχί τινος ἀνδρὸς ὀνομάζονται δοῦλοι οὐδ' ὑπηκόοι. μὴ ἔχοντες τὸν ἐφεστηκό

ποιμάνωρ ἔπεστι] B. ἡγεμὼν αὐτοῖς.

v. 241. πῶς ἂν οὖν μένοιεν] A. Ἀκούσασα ἡ Ἄτοσσα ὅτι οὐδέ τινος ἀνδρὸς εἰσὶ δοῦλοι οὐδὲ ὑπήκοοι οἱ Ἀθηναῖοι, Φησί, πῶς ἂν οὖν εἰ ἀναρχίαν εἶχον, μὴ ἔχοντες ἐφεστηκότα, καὶ πρὸς διάφορα διὰ τοῦτο θελήματα μετετράποντο, ἴσχυσαν πολεμῆσαι τοὺς ἐπελθόντας αὐτοῖς, ὡς ἐξ ἑνὸς συνθήματος, Πέρσας.

πῶς ἂν οὖν] B. μὴ ὄντος τοῦ συνέχοντος αὐτοὺς ἐν πολέμῳ ἄρχοντος.

v. 242. ὥςτε] B. οὕτως ὑπομένουσι.

v. 243. δεινά τοι λέγεις] A. χαλεπὰ λέγεις τοῖς γονεῦσιν τῶν ἰόντων καὶ ἐλθόντων εἰς Ἀθήνας; ἀντὶ τοῦ ἡμῖν· ὥςτε φροντίσαι αὐτῶν.

δεινά τ. λ.] B. ἐπειδὴ τοιούτους αὐτοὺς εἶναι λέγεις, δεινὰ τοῖς τέκουσι λέγεις, τουτέστι φόβον ἐμβάλλεις πάτρασί τε καὶ μήτρασι τῶν ἀπελθόντων ἐκεῖσε παίδων φροντίσαι μή τι πάθωσιν.

v. 244. ἀλλ' ἐμοὶ] A. Ἰδὼν ὁ χορὸς τὸν ἄγγελον ἐρχόμενον, Φησὶ πρὸς τὴν Ἄτοσσαν, ἀλλ' ὡς ἐμοὶ δοκεῖ, ἤτοι κατὰ τὴν ἐμὴν δόξαν καὶ δόκησιν ~~πάντως γνώσεις~~ ἀληθῆ λόγον. Τοῦδε γὰρ τούτου τοῦ ἀνδρός, τὸ δράμημα καὶ τὸ βάδισμα Περσικὸν Φαίνεται καὶ Φέρει ἡμῖν, ὥςτε ἀκούειν Φανερόν τι πρᾶγμα, ἀγαθὸν ἢ κακόν.

v. 245. τοῦδε γὰρ δράμημα] B. ὁ τοῦδε τοῦ ἀνδρὸς δρόμος Περσικός ἐστι, τοῦτο γὰρ δηλοῖ Περσικὸν πρέπει μαθεῖν· τουτέστιν ἐκ Περσῶν ἐστὶ τῶν ἐς Ἑλλάδα διεστρατευκότων ὁ οὗτος ἄγγελος, πρὸς ἡμᾶς ἰὼν καὶ Φέρων ἡμῖν κλύειν καὶ ἀκούειν σαφές τι πρᾶγος καὶ πρᾶγμα ἐσθλὸν ἢ κακόν. πρέπει] διαλάμπει.

v. 247. ὦ γῆς ἁπάσης] Γ. εἴςθεσις ἑτέρα διπλῆς μερικῆς στίχων καὶ κώλων μα΄. Εἰσὶ δὲ οἱ μὲν στίχοι τοῦ

ὑποκριτοῦ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι· τὰ δὲ κῶλα τοῦ χοροῦ ἀντισπαστικά.

v. 248. καὶ πολὺς πλούτου λιμὴν] B. ἤγουν πλοῦτε, περιφραστικῶς. Διὰ τούτου δὲ εἶπε λιμένα πλούτου, ἢ διὰ τὸ τοὺς πλέοντας ἐν λιμένει καταφεύγειν καὶ σώζεσθαι, οὕτω δὲ καὶ ὁ πλοῦτος τοὺς ἔχοντας αὐτὸν ἐνδόξους ποιεῖ καὶ φυλακὴν αὐτοῖς ἐντίθησιν.

v. 250. τὸ Περσῶν δ' ἄνθος] A. τὸ κάλλος, τὸ στράτευμα.

ὀλβὸς] B. εὐδαιμονία. ἄνθος] τὸ ἐξαίρετον.

v. 251. ὤ μοὶ κακὸν μὲν] A. Φεῦ μοι, κακὸν μέν ἐστιν ἀγγέλλειν καὶ μηνύειν καὶ λέγειν κακά· στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν· ὅμως δὲ ἀναγκαῖόν ἐστιν ἀναπτύξαι καὶ ἀνακαλύψαι καὶ φανερὸν θεῖναι ὅλον τὸ πάθος. Ἅπας γὰρ στρατὸς τῶν Περσῶν ὄλωλεν.

v. 252. ἀναπτύξαι] B. δηλῶσαι, σαφηνίσαι.

v. 254. ἄνια] A. λυπηρά, καὶ ἀνιαρά.

ἄνια] B. τὰ λυπηρά.

ἄνια] Γ. Ἀντισπαστικὰ κῶλα τὰ μὲν γ' ἡμιόλια, τὸ δὲ δ' πενθημιμερές. Ἔοικε δὲ στροφῇ.

v. 255. νεόκοτα] A. νεωστὶ μηνυθέντα ἡμῖν ὑπό τινος τῶν δαιμόνων. Τὰ νεωστὶ διὰ κότον τῶν θεῶν τινος γινόμενα.

νεόκοτα] B. νεοφανῆ.

δαΐα] B. πολεμικά, ἀφανιστικά.

v. 256. διαίνεσθε] A. δακρύετε κλύοντες καὶ ἀκούοντες τόδ' ἄχος ὃ εἶπον, ἀντὶ τοῦ ταύτην τὴν λύπην.

v. 258. ὡς πάντα γ' ἔστ' ἐκεῖνα] A. τὸ ὡς ἀντὶ τοῦ ὅτι, καὶ ἀντὶ τοῦ λίαν. Πάντα ἐκεῖνα, ὅσα ἔφην διαπεπραγμένα ἐστί· κἀγὼ δὲ ἀέλπτως νόστιμον βλέπω φάος, ἀντὶ τοῦ ἀνελπίστως ὑποστρέψας ζῶ, καὶ βλέπω τὸ φῶς.

ἐκεῖνα] B. ἃ ἐπίστασθε. διαπεπραγμένα] ἐφθαρμένα.

v. 260. ἢ μακροβίοτος] A. ὄντως μακροβίοτος καὶ πολυχρόνιος ὅδε καὶ οὗτος ὁ αἰὼν καὶ χρόνος καὶ βίος ἐφάνη ἡμῖν τοῖς γεραιοῖς, διὰ τὸ ἀκούειν τοῦτο τὸ πῆμα καὶ τὸ βλάβος τὸ ἀνέλπιστον. Καὶ ἄλλως· εἰς τοῦτο ἐμακρύνθη ὁ βίος ἡμῶν, εἰς τὸ ἀκοῦσαι τὰ τοιαῦτα κακά.

ἢ μακροβίοτος] B. οὕτως διὰ τοῦτο μέχρι τοῦ παρόντος καιροῦ βεβιώκαμεν, ἵνα τοιούτων συμφορῶν ἀκουσταὶ γενώμεθα; ἀναγνωστέον δὲ ἢ κατὰ στάμα καὶ ὑποστιγμὴν, ἢ κατὰ στάμα μόνον. Ἦ, ἄρα, ὄντως.

v. 263. ἄελπτον] B. ἀνέλπιστον.

v. 264. καὶ μὴν] A. αὐτὸς ἐκεῖσε παρὼν καὶ αὐτοψεῖ ὁρῶν τὰ τελούμενα, καὶ μὴ ἐξ ἑτέρων ἀκηκοὼς φράσαιμι ἂν οἷα καὶ ποδαπὰ κακὰ ἐπορσύνθη καὶ κατεσκευάσθη καὶ ἐγένετο.

v. 265. ἐπορσύνθη κακὰ] B. παρ' Ἑλλήνων ἐγεγόνει τοῖς Πέρσαις.

v. 267. παμμιγῆ] A. διαφόρων ἐθνῶν.

τὰ πολλὰ βέλεα παμμιγῆ] B. ἤγουν στρατὸς ἐκ πολλῶν ἐθνῶν συγκεκροτημένος.

v. 268. ἐπ' αἶαν] A. ἐπ' αἶαν Ἑλλάδα, δίαν χώραν.

v. 270. δυςπότμων] B. ἀθλίων.

v. 271. πρόςχωρος] B. πλησιόχωρος τῇ Σαλαμῖνι.

v. 273. πολυβαφῆ] A. ὑπὸ τοῦ αἵματος.

ἁλίδονα] B. ἐν τῇ θαλάσσῃ φερόμενα. πολυβαφῆ] ἐξ αἵματος.

v. 275. πλαγκτοῖς ἐν διπλάκεσσιν] A. πλαγκτοῖς, ὡς ἂν εἴποι τις διαύλοις. Τὰ γὰρ κύματα ἐγχεῖται καὶ ὑπονοστεῖ. Διπλάκεσσι δέ, ταῖς δύο πλαξί, τῆς θαλάσσης τε καὶ γῆς. Ἢ ἐν Σαλαμῖνι καὶ Πλαταιαῖς.

πλαγκτοῖς] B. πλησιαζομένοις ὑπὸ τῶν κυμάτων, ἢ ἐν αἷς ταῦτα πλανᾶνται. διπλάκεσσιν] διπλαῖς ἀκταῖς Σαλαμῖνος καὶ τῆς γῆς, ἢ ταῖς διπλαῖς ἔνθα φερομέναις στροφαῖς κυμάτων.

v. 276. ἤρκει] B. ἐβοήθει, ἄρκετα ἦν.

v. 277. ἐμβολαῖς] A. ἀντὶ τοῦ προσβολαῖς. ἐμβολαῖς] B. προσκρούσεσιν.

v. 278. ἴυζ'] B. βοά, θρήνησον. ἄποτμον] ἀθλίαν.

v. 279. δυσαιανῆ] A. δυσθρήνητον. B. δυστυχῆ καὶ δυσθρήνητον, αἰάζω γὰρ τὸ θρηνῶ.

v. 280. δαΐοις] A. διακεκομμένοις. B. πολεμίοις. ὡς πάντα παγκάκως ἔθεσαν] B. ἤγουν τὸ καθ' Ἑλλήνων στράτευσαι κακῶς διενοήθησαν, ἐφθάρησαν γάρ.

v. 281. στρατοῦ φθαρέντος] B. εἵνεκα.

v. 282. ὦ πλεῖστον ἔχθος] B. ἤγουν ὦ Σαλαμὶς καὶ πρὸς μόνην τὴν ἀκοὴν δυσχέρειαν φέρουσα ἐμοί γε καὶ σφόδρα μισητή.

v. 283. φεῦ τῶν Ἀθηνῶν] B. ἐκεῖσε γὰρ πάντες οἴχονται Πέρσαι.

v. 284. στυγναὶ δ' Ἀθᾶναι] A. καὶ αἱ Ἀθῆναι στυγναὶ γεγόνασι τοῖς πολεμικοῖς Πέρσαις. Τινὲς δὲ τὸ στυγναὶ δ' Ἀθῆναι τοιοῦτόν φασιν, ὅτι ἡμῖν τοῖς δαΐοις στυγνότητος αἴτιαί πάρεισιν εἰς μνήμην αἱ Ἀθῆναι. Ὅ ἐστι τῶν Ἀθηνῶν ἡ μνήμη στυγνοὺς ἡμᾶς ποιεῖ. Ἔστι δὲ τὸ πρότερον κάλλιον.

στυγναὶ] B. μίσηται. Στυγνότητα καὶ λύπην αἱ Ἀθῆναι φέρουσαι τοῖς πολεμίοις, καὶ πρὸς μνήμην αὐτοῖς ἰοῦσαι, μήτοι γε δὴ εἰς πεῖραν ἰοῦσ' αὐτῶν. δαΐοις] πολεμίοις.

v. 285. πάρα] B. πάρεστι. Οὐ μόνον τὸ πάρα ἀντὶ πάρεστιν, ἀλλὰ καὶ ἀντὶ πάρεισιν ὡς ἐνταῦθα. Παρὰ γὰρ πρόθεσίς ἐστιν, ἀναβιβαζομένου τοῦ τόνου ποιητικῶς. Ἔξωθεν δὲ ὑπαρκτικὸν ῥῆμα νοοῦμεν, εἴτε ἑνικῶς εἴτε πληθυντικῶς.

ματαίως μηδὲν βλάψασαι

v. 286. ὡς πολλὰς Περσίδων] A. ὅτι πολλὰς δηλαδὴ πόλεις μητέρας ἢ γυναῖκας ἔκτισαν καὶ ἐποίησαν εὔνιδας καὶ ἐστερημένας καὶ ἀνάνδρους, ἤτοι οὐκ ἐχούσας ἄνδρας.

πολλὰς Περσίδων] B. Τὸ πολλὰς νοητέον, ἢ ἀντὶ τοῦ πόλεις, ἢ ἀντὶ τοῦ μητέρας καὶ γαμετάς.

Ὅπερ σαφηνίζεται ἐκ τοῦ εὔνιδας καὶ ἐκ τοῦ ἀνάνδρους, τοῦ μὲν εὔνιδας πρὸς τὸ μητέρας νοουμένου, ἀντὶ τοῦ ἐστερημένας τῶν οἰκείων παίδων, τοῦδε ἀνάνδρους πρὸς τὸ γαμετάς. Ἅτινα νοοῦνται καὶ εἰ τὸ πόλλας ἀντὶ πόλεις ἐκλάβῃς. Τὸ δὲ ἔκτισαν ἀντὶ ἐποίησαν, κτίζομεν γὰρ τεῖχος ἀντὶ τοῦ ποιοῦμεν. Τὸ δὲ Περσίδων εἰ μὲν τὸ πόλλας πρὸς τὸ πόλεις εἴπῃς, ἀντὶ Περσικῶν πόλεων νοήσεις, εἰ δὲ πρὸς τὸ δεύτερον, ἀντὶ τοῦ γυναικῶν.

μάταν] A. ματαίως, μηδὲν βλαψάσας.

v. 287. ἔκτισαν] A. ἐποίησαν.

εὔνιδας ἠδ' ἀνάνδρους] A. ὀρφανάς, ἐστερημένας. Καὶ ἀνάνδρους ἤτοι οὐκ ἐχούσας ἄνδρας.

v. 290. τὸ μήτε λέξαι] A. λείπει ἡ πρός. Τοιοῦτοι δὲ οἱ συμφοραῖς μεγάλαις κατεχόμενοι.

τὸ μήτε λέξαι] B. μὴ νοήσῃς ἐνταῦθα ἔξωθεν κατά. Εἰποῦσα γὰρ ὡς ὑπερβάλλει ἥδε ἡ συμφορά, ἐπήνεγκε τὴν ὑπερβολήν. Ἥτις ἐστί, τὸ μήτε λέξαι, μήτ' ἐρωτῆσαι τὰ πάθη. Ἔστι δὲ ὅμοιον κἀκεῖνο, ὅ φησι Προμηθεὺς πρὸς τὸν χορὸν λέγων· (Prometh. vinct. v. 786.)

Ἐπεὶ προθυμεῖσθ' οὐκ ἐναντιώσομαι,
τὸ μὴ γεγωνεῖν πᾶν ὅσον προςχρῄζετε.

v. 291. πημονὰς] B. συμφοράς.

v. 292. ἀναπτύξας] B. σαφηνίσας.

v. 293. καταστὰς] A. κατάστασιν λαβὼν τοῦ θορύβου, μὴ θορυβούμενος.

καταστὰς] B. ἀντὶ τοῦ εἰς κατάστασιν ἐλθών, ἐθρήνει γάρ.

v. 294. τίς οὐ τέθνηκε] A. καλῶς πρῶτον περὶ τῶν ζώντων ἐρωτᾷ ~~ἡ Ἄτοσσα τὸν ἄγγελον~~, ὡς ὄντων ὀλίγων· ~~ὁ δὲ~~ παρίστησι καὶ τὸ πλῆθος τῶν ἀποθανόντων.

v. 295. τῶν ἀρχελείων] A. λαῶν ἀρχόντων. Ἄλλως. Τῶν βασιλέων ἀπὸ τοῦ τῶν λαῶν ἄρχειν. ὅς τ' ἐπὶ σκηπτουχίᾳ] τινὲς ὥστε διὰ τοῦ ω μεγάλου γράφουσι, καὶ φασὶ πῶς τεθνηκώς, ἤγουν ἐπὶ σκηπτουχίᾳ θανών.

ἀρχελείων] B. ἡγεμόνων τῶν λαῶν. ὅς τ'] Τὸ ὅς εἰ μὲν μικρογραφεῖται πάνυ σαφέστατον, εἰ δὲ μεγαλογράψεις, ὡς ἔν τισι τῶν βιβλίων εὑρίσκεται, οὕτως εἴπης. Εἰποῦσα γὰρ· τίνα τῶν τοῦ στρατοῦ ἡγεμόνων θρηνήσομεν; ἐπιφέρει κατ' ἐπίκρισιν, ὥστε ἐπεὶ τοῦτον θρηνήσομεν, ὧν ἐτάχθη στρατηγός, τούτους ἀνάνδρους κατέλιπε θανών. Τουτέστιν, ἐπειδὴ οὗτος ἀπώλετο κἀκεῖνοι ἐφθάρησαν. σκηπτουχίᾳ] ἀρχῇ καὶ ἐξουσίᾳ.

v. 298. ἐμοῖς μὲν εἶπας] A. ἡ Ἄτοσσα ἀκούσασα τοῦ ἀγγέλου εἰπόντος, ὅτε ὁ Ξέρξης ζῇ, φησίν, εἶπας φῶς μέγα τοῖς ἐμοῖς οἴκοις καὶ λαμπρὰν ἡμέραν ἐκ νυκτὸς μελαίνης. Ἐνόμιζε γὰρ καὶ αὐτὸν τεθνᾶναι.

v. 299. μελαγχίμου] B. μελαίνης.

v. 300. Ἀρτεμβάρης δὲ] A. ὁ Ἀρτεμβάρης δὲ ἡγεμὼν καὶ ὁ διοικήτης τῆς μυρίας καὶ πολλῆς ἵππου, ἤτοι ὁ ἔχων ἵππους πολλοὺς θείνεται καὶ τύπτεται καὶ σφάττεται παρὰ τὰς ἀκτὰς καὶ τοὺς αἰγιαλοὺς τοὺς σκληροὺς καὶ τραχεῖς. Σιληνίαι αἰγιαλός ~~ἐστι τῆς~~ Σαλαμῖνος τῆς λεγομένης τροπαίας ἄκρας, ὡς Φιλόξενος ἐν τῷ περὶ λιμένων φησί. μτιμόξενος

μυρίας] B. πολλῆς. βραβεὺς] ἡγεμών.

v. 301. στυφλοὺς] B. σκληράς. θείνεται] τύπτεται. Σιληνίων] Σηλήνιαι αἰγιαλός ἐστι τῆς Σαλαμῖνος οὕτω καλούμενος. Λέγεται δὲ καὶ Τρόπαια Ἄκρα, ὡς Φιλόξενος ἐν τῷ περὶ λιμένων ἱστορεῖ.

v. 302. χὠ χιλίαρχος] A. καὶ ὁ χιλίων στρατιωτῶν ἀρχὼν Δαδάκης ἐκ τῆς νηὸς ἀφήλατο, καὶ ἐπήδησε πήδημα κοῦφον καὶ ἐλαφρὸν καὶ σύντομον καὶ ταχύ, ἐν πληγῇ δορός. Ἤγουν τῷ δόρατι πληγεὶς ἐξετινάχθη ἔξωθεν τῆς νεώς.

πληγῇ] B. τρώσει.

v. 303. ἀφήλατο] B. ἐπήδησε.

v. 304. Τενάγων δ' ἄριστος Βακτρίων ἰθαγενὴς] A. ὁ ἰθαγενὴς καὶ ὁ πολίτης τῶν Βακτρίων· Βάκτρα δὲ πόλις Περσίδος· πολεῖ καὶ ἀναστρέφεται τὴν θαλασσόπληκτον νῆσον τοῦ Αἴαντος. Ἐμφαίνεται γὰρ διὰ τούτου ὡς οὐ καλῶς μα-

μαχεσάμενος καὶ ἀναιρεθείς, πρὸς τὰς τῶν μακάρων νήσους αὐλίζεται. Φαίνεται δὲ ὁ Αἰσχύλος κωμῳδῶν τοῦτον. Ἄλλως. Εὐφήμως κεῖται ἐν Σαλαμῖνι.

v. 305. θαλασσόπληκτον] B. Τοῦτο ἀδολεσχία, πᾶσα γὰρ νῆσος ὑπὸ θαλάσσης πλησιάζεται ἢ πλήττεται. Λέγει δὲ τὴν Σαλαμῖνα. Τὸ δὲ πολεῖ ἀντὶ τοῦ συστρέφεται· θανόντος γὰρ περὶ τοῦτον τὸν τόπον ἐνταῦθα ἡ ψυχὴ αὐτοῦ ἐμφιλοχωρεῖ.

v. 306. Λίλαιος, Ἀρσάκης] A. ταῦτα τὰ ὀνόματα οὐκ ἔχει τὸν τῆς Αἰγύπτου χαρακτῆρα, ἀλλὰ ποιητικῶς διαπέπλασται.

v. 307. οἵδ' ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα] A. οὗτοι περὶ τὴν νῆσον τὴν πελειοθρέμμονα, ἤτοι τὴν Σαλαμῖνα· πολυτρήρων γὰρ αὕτη· συνέκρουον ἀλλήλοις. Ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζώων τῶν συγκρουόντων τοῖς κέρασι. Ἄλλως. Τὴν πολυτρήρωνα Σαλαμῖνα παρὰ τὸ Ὁμηρικόν· (Iliad. B. 502.)

— πολυτρήρωνά τε Θίσβην.

νῆσον τὴν πελειοθρέμμονα] B. τὴν Σαλαμῖνα τὰς περιστέρας ἔχουσαν μᾶλλον τῶν ἄλλων.

v. 308. κύρισσον] B. προσέκρουον· πεσόντες γὰρ ἡμιθνῆτες ποσί τε καὶ κεφαλῇ ἐστροβοῦντο. Εἴρηται δὲ τὸ ἐκύρισσον ἐκ μεταφορᾶς τῶν ἀλόγων ζώων τῶν τυπτόντων τοῖς κέρασιν ἄλληλα.

v. 310. Ἀδεύης καὶ Φερεσσεβῆς] A. οὐδὲ ταῦτα τὰ ὀνόματα τὸν Αἰγύπτιον ἔχει χαρακτῆρα, ἀλλὰ ποιητικῶς διαπέπλασται. οὐχ ἔχει

v. 312. Μάταλλος μυριόνταρχος θανὼν] A. καὶ ὁ Μάταλλος ὁ ἡγεμὼν καὶ ἄρχων τῆς μελαίνης ἵππου τῆς τριςμυρίας, θανὼν ἔτεγγε, καὶ ἔβρεχεν ἐν πορφυρέῃ βαφῇ, ἤτοι τῇ διὰ τοῦ αἵματος, τὴν πυῤῥὰν γενειάδα τὴν ζαπληθῆ καὶ ἄγαν πολλὴν καὶ δασύτριχον. Τινὲς δὲ ἀντὶ γενικῆς, πυῤῥᾶς γενειάδος, καὶ τὸ ἑξῆς, ἔτεγγεν χρῶτα, ἔβρεχε τῷ αἵματι.

Χρυσεὺς] B. ὄνομα. Μάταλλος] ἐπίθετον.

v. 313. ἵππου μελαίνης] B. διὰ τὸ ὀλίγους πάνυ λευκοὺς εὑρίσκεσθαι ἵππους, τοὺς δὲ ἄλλους ἐκ τῶν ἑτέρων χρωμάτων ὄντας, ἃ πρὸς τὸ μέλαν μᾶλλον ᾠκείωται, διὰ τοῦτο μελαίνης ἵππου φησίν.

v. 313. πυῤῥὰν] B. ξάνθην. ζαπληθῆ] πολλήν. δάσκιον] μεγίστην ἀποτελοῦσαν διὰ τὸ πλῆθος σκίαν.

v. 315. ἔτεγγ'] B. ἔβρεχεν. ἀμείβων χρῶτα] ἐναλλάττων ὄψιν. πορφυρέᾳ βαφῇ] ἐρυθρᾷ τῇ τοῦ αἵματος.

v. 316. Μᾶγος Ἄραβος] A. Μάγος ἐθνικόν, Ἄραβος κύριον.

Μᾶγος] B. Ἀξίωμα παρὰ Πέρσαις τὸ Μάγος. Ἔλεγον δὲ οὕτω τοὺς ἀστρονόμους.

v. 317. σκληρᾶς μέτοικος γῆς] A. ἐκεῖ ἀπελθὼν κατῴκησε τὴν Σαλαμῖνα τὴν σκληρὰν καὶ πετρώδη. Ἢ καὶ οὕτως· ἐν Σαλαμῖνι μετοικήσας εὐφήμως· παρόσον ἀνυπόστροφος αὐτῷ ἡ ἐκ ταύτης ἔφοδος γέγονεν.

σκληρᾶς] B. πετρώδους. γῆς] τῆς Βακτρίας. κατέφθιτο] ἐφθάρη.

v. 318. Ἀμίστρις] B. ὄνομα. ἀμφιστρεὺς] ἐπίθετον· ἢ πρὸς τὸ Ἀμίστρης στίξον, ἵν' ὦσι δύο ὀνόματα.

v. 319. ὅ τ' ἐσθλὸς] A. ὁ ἐσθλός τε καὶ ἀγαθὸς Ἀριόμαρδος ὁ παρασχὼν καὶ δοὺς πένθος καὶ θρῆνον ταῖς Σάρδεσι· πατρὶς γὰρ αἱ Σάρδεις αὐτῷ. Ὁ Θάμυρίς τε ὁ ταγὸς καὶ ἡγεμὼν πεντήκοντα πεντάκις, τοῦτ' ἔστι διακοσίων πεντήκοντα· τὸ γένος ὢν ἀπὸ Λύρνης τῆς χώρας, κεῖται δείλαιος καὶ ἄθλιος θανὼν οὐ μάλα εὐτυχῶς.

νωμῶν] B. κατέφθιτο ἀπὸ τοῦ κοινοῦ. Ἀριόμαρδος] κατέφθιτο. Σάρδεσι] ἐντεῦθεν γὰρ ἦν.

v. 320. Σησάμης] B. κατέφθιτο. ὁ Μύσιος] ὁ ἀπὸ Μυσίας.

v. 321. πεντήκοντα πεντάκις] B. ἤγουν διακοσίων πεντήκοντα.

v. 323. οὐ μάλ' εὐτυχῶς] B. ἀλλὰ δυςτυχῶς, καὶ παρὰ τὴν ἀξίαν, οὐ γὰρ ἔδει τὸν τηλικοῦτον τὴν ὥραν ἀθλίως ἀπολώλοτα κατὰ γῆς ἐῤῥίφθαι.

v. 324. Συέννεσίς τε πρῶτος] A. Συέννεσίς τε πρῶτος εἰς θαῤῥαλεότητα καὶ ἀνδρείαν, ὁ ἡγεμὼν τῶν Κιλίκων, εὐκλεῶς ἀπώλετο, ἀντὶ τοῦ καλῶς καὶ ἀνδρείως μαχεσάμενος ἀπώλετο, εἷς ἀνὴρ ὤν, καὶ πολλοὺς πόνους ἐμποιήσας τοῖς ἐχθροῖς, ὡς κατὰ πολλῶν μαχεσάμενος.

v. 325. ἄπαρχος] B. ἐξαίρετος· ἀπὸ τοῦ ἀπαρχὴ γίνεσθαι. πλεῖστον πόνον] ἤγουν ἀνδρείως ἀγωνισάμενος καὶ δυςκαταγώνιστος δόξας τῷ πολέμῳ.

v. 328. πολλῶν παρόντων] A. λείπει τὸ κακῶν.

v. 329. ὕψιστα] B. μέγιστα, ὑπέρτατα.

v. 330. αἴσχη] B. ὀνείδη. λιγέα] ὀξέα.

v. 331. ἀναστρέψας] A. ἀναλαβών.

ἀναστρέψας] B. ἀναλαβὼν τὸν λόγον.

v. 333. ἀξιῶσαι] A. ἄξιον ἡγήσασθαι, τολμῆσαι.

v. 334. ἐμβολαῖς] A. προςβολαῖς. B. συγκρούσεσι.

v. 335. ἕκατι] B. χάριν.

v. 336. κρατῆσαι] B. τῶν Ἑλλήνων.

v. 337. τριακάδας δέκα] B. τριακοσίας ναῦς.

v. 338. δέκας δ' ἦν] A. ἐκ τῶν τ' δέκα ἦσαν αἱ ἡγούμεναι, αἱ βελτίονες.

χωρίς] B. ἴδια.

v. 340. πλῆθος] B. νηῶν. ὑπέρκομποι] ἐξαίρετοι.

v. 341. ἑκατὸν δίς] A. σζ' αἱ ἄρισται, ἢ σιδ', ἵνα ᾖ τὸ δὶς ἐκ κοινοῦ.

ἑκατὸν δίς] B. κατὰ κοινὸν τὸ δὶς ἵν' ᾖ διακόσια ιδ'.

v. 342. μή σοι δοκοῦμεν] A. μὴ δόκει ἡμᾶς ἡττηθῆναι ἐν ταύτῃ τῇ μάχῃ ἤτοι τῇ ναυμαχίᾳ· ἀλλ' οὕτω τὶς δαίμων κατέφθειρε τὸν λαὸν ἤτοι τὸν στρατὸν τῶν Περσῶν.

δοκοῦμεν] B. οὕτως ἔχοντες.

v. 343. ἀλλ' ὧδε] B. ἐνταῦθα, ἤγουν εἰς τὸ πλῆθος, τὸ ὧδε ἀντὶ τοῦ ἐνταῦθα, ἢ ἀντὶ τοῦ οὕτω νόει.

v. 344. τάλαντα βρίσας] A. τὰ τῶν Περσῶν ζυγὰ βαρήσας.

— ῥέπε δ' αἴσιμον ἦμαρ' Ἀχαιῶν. (Iliad. Θ. 72.)

τάλαντα βρίσας] B. τὰ ζυγὰ τῆς νίκης ἐπικλίνας εἰς τοὺς Ἕλληνας.

v. 347. ἔρκος] A. Ἀλκαῖος·

Ἄνδρες γὰρ πόλεως πύργος ἀρήϊος.

ἀνδρῶν γὰρ ὄντων] B. ἐν τῇ πόλει. ἀσφαλὴς] ἡ βοήθεια τῶν θεῶν. Εἰ γὰρ θεοὶ Ἀθηναίους σώζουσιν, ἀπόρθητος ἐς ἀεὶ ἡ τούτων ἂν εἴη πόλις, ἐπεὶ ἀσφαλής ἐστι φυλακὴ ἡ τούτων βοήθεια.

v. 348. ἀρχὴ δὲ ναυσὶ] A. ἀρχὴ δὲ τῆς συμβολῆς τῶν νηῶν, ἤτοι τῆς ναυμαχίας, ἆρα οἱ Ἕλληνες, ἢ ὁ παῖς ὁ ἐμὸς Ξέρξης καταυχήσας, ἐπαρθείς, καὶ θαρσύνας τῷ πλήθει τῶν νηῶν;

συμβολῆς] B. συῤῥάξεως.

v. 350. καταυχήσας] B. θαῤῥήσας.

v. 351. ἦρξεν μὲν] A. ἀρχή τις ἐγένετο τοῦ παντὸς κακοῦ ποθὲν ἐλθὼν τελχίν τις ἢ δαίμων. Εἶτα διηγεῖται τὸ γεγονὸς καὶ λέγει, ὅτι τις Ἕλλην ἀπὸ τοῦ στρατεύματος τῶν Ἀθηναίων ἐλθὼν εἶπε τῷ Ξέρξῃ τάδε· ἃ καὶ κατὰ μικρὸν ἐξεῖπε· νῦν δὲ τὴν ἱστορίαν ἐροῦμεν. Βουληθέντων τῶν Ἑλλήνων, ἤτοι τῶν Λακεδαιμονίων τῶν τοῖς Ἀθηναίοις συμμαχούντων ἀπελθεῖν πρὸς τὴν ἑαυτῶν πατρίδα διὰ τὸ μὴ παραδοθῆναι ταύτην τῷ Ξέρξῃ, τῶν αὐτῆς ἀνδρῶν οὖσαν ἄμοιρον, Θεμιστοκλῆς Σίκινον τὸν παιδαγωγὸν ἔπεμψε πρὸς τὸν Ξέρξην, λέγων ὅλως τὰ περὶ αὐτοῦ φρονεῖν καὶ φροντίζειν εὐκαιρίας πῶς αὐτῷ τὰς Ἀθήνας προδώσει· εἶθ' οὕτως εἰπεῖν τὸν Σίκινον πρὸς αὐτὸν ὡς μέλλουσι φυγεῖν οἱ Ἕλληνες· τοῦτο δὲ ἐποίησεν ἵνα ἐν ἀπογνώσει μάχοιντο οἱ Ἕλληνες· τοῦτο γοῦν ὁ Ξέρξης ἀκούσας, πρὸς τὰς διεξόδους τῶν Λακεδαιμονίων

πεπομφὼς νῆας, τὴν ἔξοδον αὐτῶν ὑπέφραξεν. Οὗτοι δὲ μὴ ἔχοντες ὅποι τράποιντο, στάντες γενναίως, τὸν μὲν Ξέρξου στόλον ἠφάνισαν ἅπαντα, εἶθ' οὕτως καὶ πρὸς τοὺς τάττοντας ἐκείνους ἐλθόντες ἐκεῖσε τούτους ἀπέκτειναν.

v. 352. ἀλάστωρ] B. φθορεύς.

v. 353. ἀνὴρ γὰρ Ἕλλην] A. ἀνὴρ, φησὶν, Ἕλλην ἐκ τοῦ στρατοῦ τῶν Ἀθηναίων· ἦν δ' οὗτος Σίκινος ὁ τοῦ Θεμιστοκλέους παιδαγωγός· ἐλθὼν εἶπε τῷ Ξέρξῃ ταῦτα, ὅτι εἰ τὸ σκότος τῆς μελαίνης καὶ τῆς ἀφεγγοῦς καὶ σκοτεινῆς νυκτὸς παραγένοιτο καὶ ἔλθοι, ἤτοι εἰ γένοιτο νύξ, οἱ Ἕλληνες οὐ καρτερήσαιεν καὶ ὑπομένοιεν, ἀλλὰ καὶ τοῖς καταστρώμασι τῶν νηῶν, περιφραστικῶς ταῖς ναῦσιν, ἐπιπηδῶντες ἄλλος ἀλλαχοῦ ἐν φυγῇ κρυφίᾳ τὴν ζωὴν φυλάξουσιν. Ὁ δὲ Ξέρξης οὐ ξυνεὶς καὶ νοήσας τὸν δόλον τοῦ Ἕλληνος ἀνδρὸς, ὃν ἄνωθεν εἴπομεν, εὐθὺς πᾶσι τοῖς ἄρχουσι τῶν νεῶν προφωνεῖ τοῦτον τὸν λόγον, ὁπηνίκα ἂν δύνῃ ἥλιος τὴν γῆν καίων ἐν ταῖς οἰκείαις ἀκτῖσι, τὸ κνέφας δὲ καὶ τὸ σκότος λάβῃ τὸ τέμενος τοῦ αἰθέρος· περιφραστικῶς αὐτὸν τὸν αἰθέρα· τότε τάξαι τὰς νῆας ἐν τρισὶ τάξεσι, φυλάσσειν τοὺς ἐκπλοῦς ἤγουν τὰς ἐξόδους καὶ τὰς ἐξελάσεις τῶν Ἀθηναίων καὶ τόπους θαλασσίους· ἄλλας δὲ νῆας τάξαι ἀπὸ κοινοῦ, κύκλωθεν περὶ τὴν τοῦ Αἴαντος νῆσον, τοῦτ' ἔστι τὴν Σαλαμῖνα.

ἀνὴρ γὰρ Ἕλλην] B. Σύκινος ὁ Θεμιστοκλέους παιδαγωγός.

v. 355. κνέφας] B. σκότος.

v. 356. σέλμασι] B. καθέδραις.

v. 357. ἐπανθοροῦντες] B. ἀναπηδῶντες.

v. 358. βιοτὸν] B. ζωὴν αὐτῶν.

v. 359. ὁ δ'] B. ὁ Ξέρξης. ὡς] ἐπεί.

v. 360. τὸν θεῶν φθόνον] B. Νέμεσιν, ἣν τοῖς μεγάλα φρονοῦσιν ἐπάγουσιν, ἀπροσδοκήτως καταβάλλοντες αὐτούς.

v. 362. εὖτ' ἂν φλέγων ἀκτῖσιν] A. ὡς ἀπὸ Ξέρξου ὁ λόγος.

εὖτ' ἂν] B. ὁπηνίκα.

v. 363. τέμενος] B. τὸν τόπον.

v. 364. στῖφος] A. πλῆθος.

στοίχοις] B. τάξεσι.

v. 465. ἔκπλους] B. ἐξελεύσεις.

v. 366. ἄλλος τε] B. ναῦς τάξαι. νῆσον] φυλάσσειν.

v. 367. ὡς εἰ μόρον φευξοίαθ' Ἕλληνες κακὸν] A. ἀπὸ διηγηματικοῦ ἐπὶ τὸ μιμητικόν. Ὡς ἐὰν οἱ Ἕλληνες φευξοίατο καὶ φύγοιεν τὸν θάνατον τὸν χαλεπὸν, εὑρόντες τινὰ δρασμὸν καὶ φυγὴν κρυφέως διὰ τῶν νηῶν, πᾶσιν ἦν προκείμενον, τῆς κεφαλῆς στερίσκεσθαι. Τοῦτ' ἔστι, πᾶσιν ἠπείλει τοῖς ταχθεῖσι παρ' αὐτοῦ φυλάξαι τοὺς Ἕλληνας, στερίσκεσθαι τῆς κεφαλῆς, ἐὰν οἱ Ἕλληνες ἐκφύγωσιν. Ἄτοπον δὲ ἀπειλεῖν τοσούτῳ πλήθει θάνατον. Βέλτιον οὖν εἰπεῖν τὸ κράτος, ἀντὶ τοῦ κράτους, κατὰ ἀντίπτωσιν ἵν' ᾖ στερίσκεσθαι τοῦ κράτους ἤτοι τῆς τιμῆς καὶ τῆς ἀρχῆς.

v. 369. πᾶσι] B. τοῖς βαρβάροις.

v. 370. τοσαῦτ' ἔλεξε] A. τοσαῦτα φησίν, εἶπεν ὁ Ξέρξης, ὑπὸ ἀλαζόνος καὶ τερπομένης διανοίας λίαν· οὐ γὰρ τὸ μέλλον ἠπίστατο. Οἱ δέ, οἱ ὑπ' αὐτὸν δηλονότι, οὐκ ἀτάκτως, ἀλλ' ἐν εὐείκτῳ καὶ πειθηνίῳ λογισμῷ ἐπορσύνοντο, καὶ κατεσκεύαζον καὶ ἡτοίμαζον εὐωχίαν. Ἵνα πρῶτον εὐωχηθῶσιν, εἶθ' οὕτως ἐξέλθωσι πρὸς τὴν ναυμαχίαν. Πᾶς τε ἀνὴρ ναυτικὸς τὴν εὐήρετμον κώπην ἐδέσμευεν ἀμφὶ τὸν σκαλμὸν καὶ τὸ ξύλον ἐν τῷ τροπωτῆρι καὶ τῷ λώρῳ. Ἄλλως. Κώπην εὐήρετμον ἀμφὶ σκαλμὸν ἐδέσμευεν. Τροπωτὴρ δέ, ὁ δεσμεύων τὴν κώπην πρὸς τῷ σκαλμῷ.

κάρτα] B. λίαν.

v. 371. τὸ μέλλον] B. ὃ πείσεται.

v. 372. οὐκ ἀκόσμως] B. οὐ ταραχθέντες πρὸς τὸν λόγον ἐκείνου, ἀλλὰ πεισθέντες αὐτῷ.

v. 373. ἐπορσύνοντο] B. εὐτρέπιζον ἑαυτοῖς.

v. 374. τροποῦτο] B. διετίθει. σκαλμὸν] τὸ ξύλον ἐν ᾧ ἡ κώπη δεῖται. εὐήρετμον] καλῶς ἐρέσσοντα.

v. 375. κατέφθιτο] B. παρῆλθε.

v. 376. κώπης ἄναξ] B. ἤτοι κωπηλάτης.

v. 377. ὅπλων ἐπιστάτης] A. ἐπιστήμων.

v. 378. νέως μακρᾶς] A. πολεμικῆς.

παρεκάλει] B. παρεκίνει. μακρᾶς] πολλῆς, ἢ τῶν ἰδιωτικῶς λεγομένων κατέργων· ἃ ἴδια μακρὰ πλοῖα καλοῦσιν.

v. 380. διάπλοον] B. διαπλέοντες τὸν τεταγμένον τόπον. καθίστασαν] ἐποίησαν.

v. 382. ἐχώρει] B. παρήρχετο.

v. 383. κρυφαῖον ἔκπλουν] A. ὡς ἡμεῖς ᾠόμεθα.

ἔκπλουν] B. ἔκπλευσιν. καθίστατο] ἐποίει.

v. 385. ἰδεῖν] B. τινὰ αὐτήν.

v. 387. μολπηδὸν] B. ἠχητικῶς. ὄρθιον] μέγα.

v. 388. ἀντηλάλαξε] B. τῷ τῶν Ἑλλήνων ἤχῳ ἀντήχησε.

v. 390. γνώμης ἀποσφαλεῖσιν] B. προσδοκίας ἁμαρτάνουσιν.

v. 391. σεμνὸν] B. μέγαν, λαμπρόν.

v. 392. ἐς μάχην] B. εὐφήμουν.

v. 393. σάλπιγξ] A. ἡ σάλπιγξ καὶ ἐν αὐτῷ, βοὴ καὶ ἦχοι πάντα ἐκεῖνα ὑπερέφλεγεν, ἤτοι τὰ τῶν Ἑλλήνων. πάντ' ἐκεῖν' ἐπέφλεγεν] τὰ τῶν Ἑλλήνων ἐξέκαιεν καὶ ἀνήγειρεν ἡ σάλπιγξ.

αὐτῇ] B. ἐν ἤχῳ. ἐπέφλεγεν] λαμπρῶς ἐπεῖχε.

v. 394. κώπης ῥοθιάδος] A. τῆς ἠχητικῆς, ἢ τῆς ἐν ὑγρῷ ἐλαυνομένης.

ῥοθιάδος] B. ἦχον ἐκ ῥοθίου ἀποτελούσης.

v. 395. βρύχιον] B. ποταπήν· ἠχητικήν.

v. 396. ἐκφανεῖς] B. ἔκδηλοι.

v. 397. τὸ δεξιὸν μὲν] A. τὸ δεξιὸν κέρας καὶ μέρος τὸ τοῦ Θεμιστοκλέως μετ' εὐταξίας προηγεμόνευε τῶν ἄλλων, καὶ προήρχετο· δεύτερον δὲ ὑπεξεχώρει καὶ ἐξήρχετο καὶ ὁ πᾶς στόλος, καὶ παρῆν ἀκούειν βοὴν πολλήν, ἥτις ἦν ταῦτα· ἔλθετε ὦ Ἕλληνες ἐλευθεροῦτε ἀπὸ τῶν βαρβάρων τὴν πατρίδα ὑμῶν καὶ τὰς γυναῖκας καὶ τοὺς παῖδας, καὶ πάντα τὰ ὑμέτερα.

τὸ σύμβολον λέγει στόλον δὲ λέγει παρ' οἰωνεῖς ὀξὺ συνεσταλμένον εἰσίν· οὐ γὰρ ἔλεγον στόλον τὰ ἀποζευγμένα

τὸ ἀριστερὸν καὶ τὸ μέσον

τὸ δεξιὸν] B. οὕτως εἴωθασι σχηματίζειν τὸ στρατόπεδον κέρας μὲν δέξιον τιθέντες καὶ ἀριστερὸν ἐξ ἑκατέρων τῶν μερῶν· τὸ μεταξὺ δὲ μέτωπον καλοῦντες, τὸ δὲ ὄπισθεν οὐραγίαν· ἣν ἰδιωτικῶς σάκαν καλοῦσιν.

v. 398. ἡγεῖτο] B. προωδοποίει.

v. 399. ὁμοῦ] B. τῷ κινεῖσθαι.

v. 402. ἕδη] B. τὰ ἀγάλματα.

v. 403. θήκας τε προγόνων] A. τάφους.

v. 404. καὶ μὴν παρ' ἡμῶν ὑπηντίαζε] A. καὶ δὴ καὶ ἐναντίως τούτοις ἐφέρετο ὁ ῥόθος καὶ ὁ ἦχος καὶ κραυγὴ τῆς Περσικῆς γλώσσης, τοῦτ' ἔστιν, ἀντεφωνοῦμεν ἐκείνοις· καὶ οὐκ ἔτι ἦν ἀκμὴ καὶ καιρὸς τοῦ μέλλειν καὶ βραδύνειν.

v. 405. ὑπηντίαζε] B. συνήντα. ἀκμὴ] καιρός.

v. 406. χαλκήρη στόλον] A. τηνικαῦτα δὲ ναῦς Ἀθηναϊκὴ ἔπαισε καὶ ἔτυψε τὸν χαλκήρη στόλον, ἤτοι τὸ ἔμβολον, τὸ ἐν νηῒ Περσικῇ δηλονότι. Στόλος δὲ λέγεται τὸ ἔμβολον παρὰ τὸ εἰς ὀξὺ συνεστάλθαι· στόλον γὰρ ἔλεγον τὰ ἀπωξυμμένα. Λέγει δὲ χαλκήρη, τὸν χαλκῷ περιβεβλημένον.

εὐθὺς δὲ] B. Δέον οὕτως εἰπεῖν, εὐθὺς δὲ ναῦς ἐν νηῒ ὥρμησεν, ὁ δὲ ἔπαισεν εἶπεν. Ἐπειδὴ γὰρ ἡ ὁρμὴ αὐτῆς ἐπιτύψει καὶ συγκρούσει νηὸς ἑτέρας ἐγένετο, διὰ τοῦτο ἔπαισεν εἶπε. Χαλκήλατον δὲ στόλον λέγει τὴν ὁρμὴν ἣν μετὰ σιδήρου ἐποιεῖτο· τὰ γὰρ μακρὰ πλοῖα ἔμπροσθεν ἔχουσιν, ὡς αἰχμὴν ἀπὸ σιδήρου. Δι' ἧς τοῖς τῶν πολεμίων πλοίοις ἐπιφερόμενα θραῦσιν ἐργάζονται. στόλον] πορείαν.

v. 407. ἦρξε δ' ἐμβολῆς] A. ἀρχὴν ἐποίησε τοῦ πρώτου πολέμου ναῦς Ἀθηναϊκή, ἤγουν ὁ Λυκομήδης ὁ Αἰσχραίου παῖς, καὶ διακόπτει τηνικαῦτα πάντα τὰ κόρυμβα καὶ τὰ ἀκροστόλια τῆς Φοινίσσης, ἤγουν τῆς Περσικῆς νηός· οἱ γὰρ Φοίνικες τῶν Περσῶν εἰσίν· ἄλλος δὲ ἐπ' ἄλλην νῆα Περσικὴν ἐπιτηδείως ἦγε τὸ δόρυ· τὴν γὰρ ναῦν λέγει δόρυ.

ΤΗΝ ΝΑΥΝ ΔΟΡΥ ΕΙΡΗΚΕΝ:

Ἑλληνικὴ] B. ὁ τοῦ Θεμιστοκλέους.

v. 409. κορύμβ'] B. τὰ ἄκρα. ἴθυνεν] ἐπέφερεν.

v. 410. τὰ πρῶτα μὲν] A. κατὰ τὴν ἀρχὴν μέν, φησί, τὸ συγκίνημα τοῦ Περσικοῦ στρατοῦ ἀνθίστατο καὶ ἀντεμάχετο τοῖς Ἀθηναίοις· ἐπεὶ δὲ ἐν στενῷ συνηθροίσθη τὸ πλῆθος τῶν νεῶν· μεταξὺ δὲ Σαλαμῖνος καὶ Αἰγίνης ἦν τὸ στενόν· καὶ οὐδαμοῦ τις βοήθεια ἀλλήλοις παρῆν· οὐ γὰρ ἠδύνατο ἕτερος ἑτέρῳ συμμαχῆσαι διὰ τὴν στενότητα τοῦ τόπου· αὐτοὶ δὲ οἱ Πέρσαι ὑπ' αὐτῶν ἐτύπτοντο ταῖς συγκρούσεσι καὶ προσαράξεσι τῶν νηῶν, καὶ συνέθλαττον πάντα κωπήρη στόλον, οἱ Ἕλληνές δὲ οὐκ ἀβούλως καὶ ἀδιδάκτως κυκλόθεν ἔτυπτον τοὺς Πέρσας, ἔπιπτον δὲ αἱ νῆες· θάλασσα δὲ οὐκ ἔτι ἦν, ὥστε ἰδεῖν αὐτήν, ἤτοι οὐκ ἐφαίνετο ἡ θάλασσα γέμουσα τῶν νεκρῶν· οἱ αἰγιαλοὶ δὲ καὶ αἱ θαλάσσιαι πέτραι ἔγεμον τῶν πτωμάτων, πᾶσα δὲ ναῦς Περσικὴ ἠρέσσετο καὶ ἐκωπηλατεῖτο ἐν φυγῇ, ἀκόσμως καὶ ἀτάκτως. Οἱ γὰρ φεύγοντες οὐκ εὐτάκτως πορεύονται.

ῥεῦμα] B. πλῆθος.

v. 411. ἀντεῖχεν] B. καθίστατο. ἐν στενῷ] τῷ μεταξὺ Αἰγίνης καὶ Σαλαμῖνος. νεῶν] τῶν Περσικῶν.

v. 412. ἀρωγὴ δ' οὔ τις] B. οὐ γὰρ εἶχον ποῖ φύγοιεν. ἀλλήλοις] τοῖς ἐν ταῖς ναυσὶ Πέρσαις.

v. 413. ἐμβολαῖς] B. συγκρούσεσι.

v. 414. παίοντ' ἔθραυον] A. παράλογον τὸ δυϊκόν.

v. 415. οὐκ ἀφραδμόνως] A. οὐχ ἁπλῶς, οὐδὲ ἀδιδάκτως.

ἀφραδμόνως] B. ἀνεπιστημόνως.

v. 416. ἔθεινον] B. ἐχώρουν.

v. 417. σκάφη νεῶν] A. ἀντὶ τοῦ αἱ νῆες.

νεῶν] B. τῶν Περσικῶν.

v. 418. ναυαγίων] A. ναυαγία αὐτὸ τὸ πάθος, ναυάγιον δέ, αὐτὸ τὸ ναυαγῆσαν σκάφος.* Ναυαγίων δὲ ἐνταῦθα τῶν πτωμάτων.

v. 419. χοιράδες] B. θαλάσσιοι. πέτραι ἐπλήθυον] ἔγεμον.

v. 420. ἠρέσσετο] B. ἐχώρει διὰ κωπηλασίας.

v. 422. τοὶ δ' ὥςτε θύννους] A. οὗτοι δὲ οἱ Ἕλληνες ἔπαιον καὶ ἔκοπτον ὥςπερ θύννους ἀγαῖσι κωπῶν· ἤγουν κλάσμασι· θραύσμασίν τ' ἐρειπίων. ἰχθύων βόλον] ἄγραν.

τοὶ δ'] B. οἱ Ἕλληνες. βόλον] ἄγραν.

v. 423. θραύσμασίν τ' ἐρειπίων] A. ἐρείπια κυρίως τὰ παραπτώματα τῶν οἴκων λέγεται, ἢ τὰ σώματα τὰ θνησιμαῖα τὰ πτώσει ὑποπεσόντα. Καταχρηστικῶς δὲ ἐνταῦθα, ἐρείπια φησι θραύσματα τῶν νεῶν τῶν ἀφανισθεισῶν.

θραύσμασίν τ' ἐρειπίων] B. συντετριμμένων νεῶν· κυρίως δὲ ἐρείπιον ἐπὶ οἴκου.

v. 424. ὁμοῦ] B. τῷ συντετρίφθαι.

v. 425. πελαγίαν] B. Ἑλληνικήν.

v. 426. ἕως κελαινῆς νυκτὸς] A. λείπει τὸ τὴν μάχην, ἵν' ᾖ οὕτως· ἕως τὸ ὄμμα τῆς μελαίνης καὶ σκοτεινῆς νυκτός, ἤτοι αὐτὴ ἡ νὺξ ἐπιγενομένη, ἔπαυσεν αὐτοὺς τῆς μάχης.

ἀφείλετο] B. τὸν πόλεμον.

v. 427. κακῶν δὲ πλῆθος] A. τὸ πλῆθος δὲ τῶν κακῶν οὐκ ἂν ἐκπλήσαιμί σοι καὶ ἐκπληρώσαιμι, οὐδ' ἂν εἰ δέκα ἡμέρας στοιχηγοροίην, ἤτοι μετὰ σπουδῆς, καὶ ἐφεξῆς καὶ κατὰ τάξιν λέγοιμι, στοιχομυθοίην.

v. 428. στοιχηγοροίην] B. κατὰ τάξιν διηγοίμην.

v. 429. εὖ γὰρ τόδ' ἴσθι] A. καλῶς γὰρ γίνωσκε, ὅτι οὓς εἶπον θανεῖν οὐδὲ μιᾶς ἡμέρας εἰσί. Γράφεται δὲ καὶ Τοσοῦτ' ἀριθμὸν πλῆθος ἀνθρώπων, τοσοῦτο κατὰ τὸν ἀριθμόν.

v. 430. τοσουτάριθμον] B. τοσοῦτο καὶ πολὺ καὶ μέγα κατὰ τὸν ἀριθμόν. Ἀρίθμον τὸ ἀναρίθμητον· ἀπὸ τοῦ α στερητικοῦ μυρίου, καὶ τοῦ ἀριθμος, ἀάριθμον καὶ κράσει τῶν δύο αα εἰς α μακρὸν ἀριθμόν.

v. 431. αἶ αἶ] A. Φεῦ, φεῦ, μέγα πένθος τῶν κακῶν ἐρρώγη Πέρσαις, καὶ πᾶσι τοῖς βαρβάροις. Εὔκαιρος δὲ ἡ τροπὴ ἀπὸ τῶν ἐν θαλάσσῃ κυμάτων.

ἐρρώγεν] B. ἐπέπεσε.

v. 433. μεσοῦν] B. τὸ τότε συμβὰν τοῖς Πέρσαις κακὸν διηγούμενος, οὐδέπω τὸ ἥμισυ διηγησάμην. Ἀλλὰ τοσοῦτόν ἐστι τὸ λοῖπον τῆς διηγήσεως, ὡς δὶς εἶναι τοσοῦτον. Νόει οὖν τὸ μεσοῦν, ἢ ἀπαρέμφατον, ἢ οὐδέτερον.

v. 435. ὡς τοῖσδε καὶ δὶς] A. Γίνωσκε γὰρ ὅτι ὅσα εἶπον, δὶς τόσα εἰσίν. Ἃ ὑπέμειναν κακά, ἀντισήκωσιν καὶ ἀντιστάθμησιν δὶς τόσα ἔχουσιν, ἢ ὅσα εἶπον. ῥοπῇ] τῇ κακῶν δηλονότι.

τοῖσδε] B. οἷς εἶπον. ἀντισηκῶσαι] ἀντιπεσεῖν, ἀντιμετρῆσαι. ῥοπῇ] ἐν βάρει, ἐν καθελκύσει.

v. 436. καὶ τίς γένοιτ' ἂν] A. καὶ τίς ἂν τύχη γένοιτο ἐχθίων καὶ χείρων ταύτης; λέξον τίν' αὖ λέγεις ταύτην τὴν συμφορὰν ἐλθεῖν ὁρμῶσαν μείζονα τῶν κακῶν.

v. 438. μάσσονα] A. μείζονα.

ῥέπουσαν] B. χωροῦσαν.

v. 439. ἀκμαῖοι] B. γενναῖοι.

v. 440. ἐκπρεπεῖς] B. καὶ ὡραῖοι.

v. 441. αὐτῷ τ' ἄνακτι] A. καὶ αὐτῷ τῷ ἄνακτι, ἤτοι βασιλεῖ τῷ Ξέρξῃ. πίστιν ἐν πρώτοις] εἰς πίστιν ἐν πρώτοις, ἤτοι πιστότατοι αὐτῷ ἦσαν. ἢ ὅ ἐστι πιστικτατοι

v. 443. συμφορᾶς] B. ἕνεκα.

v. 445. νῆσος τις ἐστὶν] A. τὴν Ψυττάλειαν φησίν, ἥτις ἀπέχει τῆς Σαλαμῖνος ρε´ σταδίους, ὅπου φυγόντες οἱ ἡγεμόνες τῶν Περσῶν, ὑπὸ τῶν Ἀθηναίων ἀπώλοντο.

νῆσος] B. ἡ Ψυττάλεια ἀπέχουσα Σαλαμῖνος σταδίους (ἑκατὸν) πέντε. ὁ θεὸς Πάν

v. 446. ἣν ὁ Φιλόχορος Πὰν] A. Φιλόχορον τὸν Πᾶνα τὸν θεὸν λέγει, τὸν αὐλητήν· ἐμβατεύειν δὲ ταύτην τὴν νῆσον τοῦτόν φησιν, ἢ ὡς ἱερᾶς Πανὸς οὔσης τῆς νήσου, ἢ ὡς ἐρήμου. Ἐρήμοις γὰρ τόποις οὗτος ὁ θεὸς ἐνδιατρίβειν εἰώθει.

βαιὰ] B. μικρά. δύσορμος] δυσλίμενος. ὁ Φιλόχορος] ὁ τῇ μουσικῇ χοροὺς συστάς· τοιοῦτος γὰρ ὁ θεός. Ναὸς δὲ ἦν αὐτοῦ ἐνταῦθα παρ' αἰγιαλῷ.

v. 447. ἐμβατεύει] B. περιπατεῖ.

v. 448. ἐνταῦθα πέμπει τοὺς] A. ἐνταῦθα, φησὶ, πρὸς τὴν εἰρημένην νῆσον τὴν Ψυττάλειαν πέμπει τούτους ὁ Ξέρξης, ὅπως ὅταν οἱ ἐχθροὶ τῶν Περσικῶν νεῶν φθαρέντες πρὸς τὴν νῆσον ἐκσωζοίατο, ἀντὶ τοῦ μετὰ φθορᾶς καὶ βλάβης ἐκσωθῶσι καὶ ἐξέλθωσι πρὸς τὴν νῆσον, κτείνοιεν καὶ φονεύσειαν ῥᾳδίως κρατηθέντα τὸν στρατὸν τῶν Ἑλλήνων, τοὺς φίλους δὲ Πέρσας ὑπεκσώζοιεν ὑπὸ τῶν θαλασσίων πόρων. Κακῶς ἱστορῶν, προβλέπων καὶ νοῶν καὶ σκοπῶν τὸ μέλλον. Ἄλλως· ἐκεῖ γὰρ ἔπεμψε τοὺς ἡγεμόνας ὁ Ξέρξης, ἵνα ἐὰν φεύγοντες οἱ Ἀθηναῖοι ἔλθωσιν ἐκεῖσε· ἀποκτανθῶσι παρ' αὐτῶν. Ἐγένετο δὲ τοὐναντίον. Τὸ δὲ ἱστορῶν σημείωσαι ἀντὶ τοῦ προβλέπων.

v. 449. φθαρέντες] B. ἡττηθέντες ἐχθροὶ] οἱ Ἕλληνες. νῆσον] εἰς τήν.

v. 450. εὐχείρωτον] B. εὐκατάληπτον.

v. 452. ὡς γὰρ] A. ἐπεὶ γὰρ, φησὶν, ὁ θεὸς ἔδωκε τοῖς Ἕλλησι κῦδος καὶ δόξαν νεῶν, ἤτοι ἐν τῇ ναυμαχίᾳ ἐτίμησεν· αὐθήμερον καὶ ἐν αὐτῇ ἐκείνῃ τῇ ἡμέρᾳ ἐξέθρωσκον καὶ ἐπήδων ἀπὸ τῶν νεῶν, φράξαντες τὸ σῶμα ἑαυτῶν ὅπλοις καλῶς κατεσκευασμένοις· περιεκυκλοῦντο δὲ καὶ συνεῖχον πᾶσαν τὴν νῆσον, ὥστε ἀμηχανεῖν τοὺς Πέρσας ποῦ φύγοιεν.

ἱστορῶν] B. σκοπῶν. ὡς] ἐπεί.

v. 453. κῦδος] B. δόξαν, κράτος, ὑπεροχήν.

v. 454. αὐθήμερον] B. παραυτίκα. δέμας] σῶμα.

v. 455. ἀμφὶ] B. περί.

v. 456. νῆσον] B. τὴν Ψυττάλειαν. ἀμηχανεῖν] αὐτοὺς ὑπὸ τῶν ἐκεῖσε παραγενομένων, καὶ ποτε μὲν λίθοις, πότε δὲ οἰστοῖς αὐτοὺς βαλόντων.

v. 457. πολλὰ μὲν γὰρ ἐκ χερῶν πέτρησιν ἠράσσοντο] A. ἤγουν λίθοις ἐβάλλοντο καὶ συνετρίβοντο λιθολευστούμενοι· ἀπὸ τῆς τοξικῆς τε θώμιγγος ἰοὶ καὶ βέλη προσπίπτοντες ἔλυσαν καὶ ἔφθειραν τοὺς Πέρσας. Θώμιγξ δέ ἐστιν ὁ λεπτότατος σχοῖνος. Μεταφορικῶς δὲ ἐνταῦθα λέγει τὴν νευρὰν τοῦ τόξου.

v. 458. ἠράσσοντο] B. ἐπλήττοντο.

v. 459. θώμιγγος] B. νευρᾶς. ὤλλυσαν] ἔφθειρον.

v. 460. τέλος δ' ἐφορμηθέντες] A. ὕστερον δὲ κινηθέντες ὁμοῦ πάντες οἱ Ἕλληνες ἐξ ἑνὸς ῥόθου καὶ ἐκ μιᾶς ῥοπῆς, κρεοκοποῦσι τὰς σάρκας τῶν ἀθλίων Περσῶν ἕως ἐθανάτωσαν ἅπαντας. Ὁ Ξέρξης δὲ ἐθρήνησεν ὁρῶν βάθος κακῶν. Ἡ μεταφορὰ ἀπὸ τῶν ὑδάτων. Ἕδραν γὰρ εἶχεν καὶ ἐκάθητο ἐν ὑψηλῷ, φησί, τόπῳ. Καὶ διὰ τοῦτο ἑώρα τὸν στρατὸν ὁ Ξέρξης καὶ τὰ αὐτῷ συμβάντα. Ἕδραν γὰρ εἶχε πλησίον τῆς πελαγιζούσης θαλάσσης.

v. 461. δυστήνων] B. τῶν Περσῶν.

v. 463. βάθος] B. μέγεθος, πλῆθος.

v. 464. ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ ὑψηλὸν ὄχθον] A. ὅθεν ἐδύνατο καλῶς ἄγειν τὸν ὀφθαλμὸν πανταχοῦ, καὶ βλέπειν· ὑψηλὸς γὰρ ἦν. Τὸ δὲ εὐαγῆ παντὸς στρατοῦ ἀντὶ τοῦ καθαράν, κεχωρισμένην, εὖ ἔχουσαν οἷον τὴν ἄποψιν, καὶ ἐπιτηροῦσαν τὸν λεὼν ἅπαντα. Ἢ αὐγάζοντα καὶ ὁρῶντα. Ὑψηλὸν δὲ ὄχθον λέγει τὸ ἀντικρὺ Σαλαμῖνος ὄρος τὸν Αἰγάλεων ὥς φησιν Ἡρόδοτος. (lib. VIII. cap. 90.)

εὐαγῆ] B. εὐκατάληπτον.

v. 465. ὄχθον] B. τὸν Αἰγιάλεων, ὡς Ἡρόδοτος φησίν. πελασγίας] τῆς Ἑλληνικῆς.

v. 466. ῥήξας δὲ πέπλους] A. διασχίσας δὲ τὰ ἱμάτια ἑαυτοῦ, καὶ ἀνοιμώξας ὀξὺ καὶ μέγα, ὥρμα σὺν φυγῇ, ἤτοι ἔφευγε ταχέως, ἄφαρ καὶ εὐθέως παραγγείλας καὶ συμβουλευσάμενος δηλαδὴ τὸ φεύγειν.

v. 467. παραγγείλας] B. προσδραμών, πλησιάσας. ἄφαρ] εὐθέως.

v. 468. ἤιξ'] B. ὥρμησεν. τοιάνδε] συμφοράν.

v. 469. πρὸς τῇ πάροιθεν] B. ᾗ διηγησάμην, ἢ τῇ τοῦ Δαρειοῦ. πάρα] πάρεστι. στένει] στενάζει.

v. 470. ὦ στυγνὲ δαῖμον] A. ὦ τύχη, ἡ στυγνάζειν καὶ ἀνιάζειν ποιοῦσα ἡμᾶς, ψευσθῆναι ἐποίησας τῶν φρενῶν τοὺς Πέρσας καὶ ἀποτυχεῖν ὧν ἤλπιζον.

v. 448. ἐνταῦθα πέμπει τοὺς] A. ἐνταῦθα, φησὶ, πρὸς τὴν εἰρημένην νῆσον τὴν Ψυττάλειαν πέμπει τούτους ὁ Ξέρξης, ὅπως ὅταν οἱ ἐχθροὶ τῶν Περσικῶν νεῶν φθαρέντες πρὸς τὴν νῆσον ἐκσωζοίατο, ἀντὶ τοῦ μετὰ φθορᾶς καὶ βλάβης ἐκσωθῶσι καὶ ἐξέλθωσι πρὸς τὴν νῆσον, κτείνοιεν καὶ φονεύσειαν ῥαδίως κρατηθέντα τὸν στρατὸν τῶν Ἑλλήνων, τοὺς φίλους δὲ Πέρσας ὑπεκσώζοιεν ὑπὸ τῶν θαλασσίων πόρων. Κακῶς ἱστορῶν, προβλέπων καὶ νοῶν καὶ σκοπῶν τὸ μέλλον. Ἄλλως· ἐκεῖ γὰρ ἔπεμψε τοὺς ἡγεμόνας ὁ Ξέρξης, ἵνα ἐὰν φεύγοντες οἱ Ἀθηναῖοι ἔλθωσιν ἐκεῖσε· ἀποκτανθῶσι παρ' αὐτῶν. Ἐγένετο δὲ τοὐναντίον. Τὸ δὲ ἱστορῶν σημείωσαι ἀντὶ τοῦ προβλέπων.

v. 449. φθαρέντες] B. ἡττηθέντες ἔχθροι] οἱ Ἕλληνες. νῆσον] εἰς τήν.

v. 450. εὐχείρωτον] B. εὐκατάληπτον.

v. 452. ὡς γὰρ] A. ἐπεὶ γάρ, φησίν, ὁ θεὸς ἔδωκε τοῖς Ἕλλησι κῦδος καὶ δόξαν νεῶν, ἤτοι ἐν τῇ ναυμαχίᾳ ἐτίμησεν· αὐθήμερον καὶ ἐν αὐτῇ ἐκείνῃ τῇ ἡμέρᾳ ἐξέθρωσκον καὶ ἐπήδων ἀπὸ τῶν νεῶν, φράξαντες τὸ σῶμα ἑαυτῶν ὅπλοις καλῶς κατεσκευασμένοις· περιεκυκλοῦντο δὲ καὶ συνεῖχον πᾶσαν τὴν νῆσον, ὥστε ἀμηχανεῖν τοὺς Πέρσας ποῦ φύγοιεν.

ἱστορῶν] B. σκοπῶν. ὡς] ἐπεί.

v. 453. κῦδος] B. δόξαν, κράτος, ὑπεροχήν.

v. 454. αὐθήμερον] B. παραυτίκα. δέμας] σῶμα.

v. 455. ἀμφὶ] B. περί.

v. 456. νῆσον] B. τὴν Ψυττάλειαν. ἀμηχανεῖν] αὐτοὺς ὑπὸ τῶν ἐκεῖσε παραγενομένων, καὶ ποτὲ μὲν λίθοις, πότε δὲ οἰστοῖς αὐτοὺς βαλόντων.

v. 457. πολλὰ μὲν γὰρ ἐκ χερῶν πέτρησιν ἠράσσοντο] A. ἤγουν λίθοις ἐβάλλοντο καὶ συνετρίβοντο λιθολευστούμενοι· ἀπὸ τῆς τοξικῆς τε θώμιγγος ἰοὶ καὶ βέλη προσπίπτοντες ἔλυσαν καὶ ἔφθειραν τοὺς Πέρσας. Θώμιγξ δέ ἐστιν ὁ λεπτότατος σχοῖνος. Μεταφορικῶς δὲ ἐνταῦθα λέγει τὴν νευρὰν τοῦ τόξου.

v. 458. ἠράσσοντο] B. ἐπλήττοντο.

v. 459. θώμιγγος] B. νευρᾶς. ὤλλυσαν] ἔφθειρον.

v. 460. τέλος δ' ἐφορμηθέντες] A. ὕστερον δὲ κινηθέντες ὁμοῦ πάντες οἱ Ἕλληνες ἐξ ἑνὸς ῥόθου καὶ ἐκ μιᾶς ῥοπῆς, κρεοκοποῦσι τὰς σάρκας τῶν ἀθλίων Περσῶν ἕως ἐθανάτωσαν ἅπαντας. Ὁ Ξέρξης δὲ ἐθρήνησεν ὁρῶν βάθος κακῶν. Ἡ μεταφορὰ ἀπὸ τῶν ὑδάτων. Ἕδραν γὰρ εἶχεν καὶ ἐκάθητο ἐν ὑψηλῷ, φησί, τόπῳ. Καὶ διὰ τοῦτο ἑώρα τὸν στρατὸν ὁ Ξέρξης καὶ τὰ αὐτῷ συμβάντα. Ἕδραν γὰρ εἶχε πλησίον τῆς πελαγιζούσης θαλάσσης.

v. 461. δυστήνων] B. τῶν Περσῶν.

v. 463. βάθος] B. μέγεθος, πλῆθος.

v. 464. ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ ὑψηλὸν ὄχθον] A. ὅθεν ἐδύνατο καλῶς ἄγειν τὸν ὀφθαλμὸν πανταχοῦ, καὶ βλέπειν· ὑψηλὸς γὰρ ἦν. Τὸ δὲ εὐαγῆ παντὸς στρατοῦ ἀντὶ τοῦ καθαράν, κεχωρισμένην, εὖ ἔχουσαν οἷον τὴν ἄποψιν, καὶ ἐπιτηροῦσαν τὸν λεὼν ἅπαντα. Ἢ αὐγάζοντα καὶ ὁρῶντα. Ὑψηλὸν δὲ ὄχθον λέγει τὸ ἀντικρὺ Σαλαμῖνος ὄρος τὸν Αἰγάλεων ὥς φησιν Ἡρόδοτος. (lib. VIII. cap. 90.)

εὐαγῆ] B. εὐκατάληπτον.

v. 465. ὄχθον] B. τὸν Αἰγιάλεων, ὡς Ἡρόδοτος φησίν. πελασγίας] τῆς Ἑλληνικῆς.

v. 466. ῥήξας δὲ πέπλους] A. διασχίσας δὲ τὰ ἱμάτια ἑαυτοῦ, καὶ ἀνοιμώξας ὀξὺ καὶ μέγα, ὥρμα σὺν φυγῇ, ἤτοι ἔφευγε ταχέως, ἄφαρ καὶ εὐθέως παραγγείλας καὶ συμβουλευσάμενος δηλαδὴ τὸ φεύγειν.

v. 467. παραγγείλας] B. προσδραμών, πλησιάσας. ἄφαρ] εὐθέως.

v. 468. ἧιξ'] B. ὥρμησεν. τοιάνδε] συμφοράν.

v. 469. πρὸς τῇ πάροιθεν] B. ἣ διηγησάμην, ἢ τῇ τοῦ Δαρειόυ. πάρα] πάρεστι. στένει] στενάζει.

v. 470. ὦ στυγνὲ δαῖμον] A. ὦ τύχη, ἡ στυγνάζειν καὶ ἀνιάζειν ποιοῦσα ἡμᾶς, ψευσθῆναι ἐποίησας τῶν φρενῶν τοὺς Πέρσας καὶ ἀποτυχεῖν ὧν ἤλπιζον.

ἔψευσας] B. ψευσθῆναι ἐποίησας τῶν λογισμῶν ἐλπίζοντας ἀκονιτὶ πᾶσαν τὴν Ἑλλάδα αἱρήσειν, καὶ μηδένα αὐτοῖς εἰς ὄψιν ἐλθεῖν, μὴ ὅτι μαχέσασθαι.

v. 473. οὓς πρόσθε Μαραθὼν] A. Μαραθὼν ὄρος ὅπου πολλοὶ τῶν βαρβάρων ἀπώλοντο, οὓς ὁ Δαρεῖος πολεμῆσαι τοῖς Ἀθηναίοις ἀπέστειλε, τῷ ἀριθμῷ ὡσεὶ μυριάδας λ'· ἐφ' ᾧ Ξέρξης μανείς, καὶ τοὺς Πέρσας πάντας καὶ τοὺς ἀπὸ τῶν πέριξ πόλεων συναγαγών, ταῖς Ἀθήναις ἐπεχωρίαζε.

v. 474. πράξειν] B. ἀπαιτήσειν.

v. 477. τορῶς] B. ἀκριβῶς.

v. 478. ναῶν δὲ ταγοὶ] A. οἱ ταγοὶ δὲ καὶ ἡγεμόνες τῶν λελειμμένων νεῶν, σύδην καὶ ὁρμητικῶς αἱροῦνται φυγὴν κατ' οὖρον οὐκ εὔκοσμον· ἤτοι οὐκ ἐν ἐπιτηδείῳ καιρῷ ἔφυγον, τροπικῶς ἀπὸ τῶν ἐν χειμῶνι πλεόντων, ὅτε πνέουσιν ὀλέθριοι ἄνεμοι. Τινὲς δὲ τοῦτο φασὶν οὕτως, ὅτι ἐκεῖσε, φησίν, ἀπίασιν ὅπου αὐτοὺς ὁ ἄνεμος φέρει.

ναῶν δὲ] B. οὗτος ὁ σύνδεσμος συνάφειά ἐστι πρὸς τὴν ἄνω διήγησιν αὐτοῦ τοῦ ἀγγέλου, εἰ καὶ διὰ μέσου ἡ Ἄτοσσα ἀπεκλαύσατο τὴν τῶν Περσῶν δυστυχίαν. τῶν λελειμμένων] ἐναπολειφθεισῶν. σύδην] ὁρμητικῶς.

v. 479. κατ' οὖρον] B. κατ' εὐθεῖαν, καθ' ὁρμήν.

v. 481. οἱ μὲν ἀμφὶ Κρηναῖον γάνος] A. τόπος Βοιωτίας ἡ Κρήνη. Οἱ μὲν οὖν, φησίν, ἐς τὴν Βοιωτῶν χθόνα, τῷ δίψει φθειρόμενοι καὶ ἀποθνήσκοντες· οἱ δὲ ἀπολειφθέντες, παρειμένοι, καὶ οἷον μικρὸν ἀσθμαίνοντες, ἐκπερῶμεν πρὸς τὴν Φωκίδα καὶ τὴν Δωρίδα γῆν, καὶ τὸν Μηλιᾶ κόλπον, ὅπου ῥέει ὁ Σπερχειὸς ποταμός. Οὗτος γὰρ ἐξ Ἀνιάνων ῥέων εἰς τὸν Μηλιακὸν ἐμβάλλει κόλπον.

γάνος] B. εὐφροσύνην.

v. 482. πονοῦντες] B. ταλαιπωροῦντες ὤλλυντο.

κενοὶ] καταβεβλημένοι, χαῦνοι.

v. 485. ἄρδει] B. πιαίνει.

v. 486. κἀντεῦθεν ἡμᾶς γῆς] A. ἀπὸ δὲ τῆς γῆς τῶν Φωκέων ἐδέξατο ἡμᾶς ἡ γῆ τῶν Ἀχαιῶν, καὶ ἡ πόλις

τῶν Θετταλῶν, ἐνδεεῖς ὄντας καὶ χρήζοντας τροφῆς· ὅπου πολλοὶ ἀπέθανον· ἀπό τε δίψης καὶ πείνης. Ταῦτα ἦν τότε.

γῆς Ἀχαΐδος πέδον] B. πέδον Ἀχαΐδος, ἡ Μονεμβασία ἡ πρὶν λεγομένη Δωρίς.

v. 487. Θεσσαλῶν πόλισμ'] B. ἡ Λάρισσα, ἢ τὰ Φάρσαλα.

v. 490. Μαγνητικὴν] B. ἔστι γὰρ ἐν Μακεδονίᾳ πόλις Μαγνησία, ὥς φησι Δημοσθένης, περὶ τὸν Ὄλυμπον.

v. 491. Ἀξίου] B. τοῦ Βαρδάρη ποταμοῦ.

v. 492. Βόλβης θ' ἕλειον] A. Βόλβη ὄνομα λίμνης Θρακικῆς, ἥτις ἑλώδης καὶ τελματώδης οὖσα καὶ κάθυγρος, δόνακας πολλοὺς ἀναδίδωσι.

Βόλβης] B. λίμνης ἐν αὐτῇ οὔσης Μακεδονίᾳ.

v. 493. Ἠδωνίδ'] B. Μακεδονικήν.

v. 494. ἄωρον] B. παρὰ καιρόν· οὐ γὰρ χειμωνικὸς ἦν καιρός. ὦρσε] ἐνέβαλε.

v. 495. ἁγνοῦ Στρυμόνος] A. ἁγνοῦ, διὰ τὸ καθαρὸν καὶ διειδὲς φυλάττειν τὸ ὕδωρ αὐτοῦ. Ἔστιν οὗτος ποταμὸς Θρᾴκης. Θεοὺς δέ τις τὸ πρὶν νομίζων οὐδαμοῦ] ὅστις δὲ τῶν Περσῶν πρὶν οὐκ ἐγίνωσκε τοὺς θεούς, τότε προσεκύνει τὸν οὐρανὸν καὶ τὴν γῆν μετὰ λιτῶν καὶ παρακλήσεων. Ἐπεὶ δὲ πολλὰ παρακαλῶν καὶ γονυπετῶν ὁ στρατὸς ἐπαύσατο, διαπερᾷ τὸν πόρον καὶ τὸν ποταμὸν τὸν κρυστάλλῳ πεπηγότα. Λέγει δὲ τὸν Στρυμόνα. Ἄλλως. Καὶ ὁ πάνυ ἀσεβὴς τότε προσεκύνει τὸν οὐρανὸν καὶ τὴν γῆν.

ἁγνοῦ] B. καθαροῦ.

γαῖαν οὐρανόν τε] B. καταχθονίους καὶ οὐρανίους θεούς.

v. 498. θεοκλυτῶν] B. παρακαλῶν τοὺς θεούς.

v. 500. χὤστις μὲν ἡμῶν] A. ὅστις μὲν ὡρμήθη καὶ ὥρμησε περάσαι τὸν πεπηγότα ποταμόν, πρὶν σκεδασθῆναι πανταχοῦ τὰς ἀκτῖνας τοῦ ἡλίου, ἤγουν πρὸ τοῦ τὸν ἥλιον ἀνατεῖλαι καὶ τὸ πεπηγὸς θερμᾶναι, κυρεῖ καὶ ὑπάρχει σεσωσμένος, ἀντὶ τοῦ ἐσώθη. Κυρίως δὲ σκεδασθῆναι τὸ ἀφανισθῆναι καὶ παυθῆναι ἐστί.

σκεδασθῆναι] B. διαχυθῆναι. θεοῦ] τοῦ Ἡλίου.

v. 502. Φλέγων γὰρ αὐγαῖς] A. ὁ γὰρ λαμπρὸς κύκλος τοῦ ἡλίου, περιφραστικῶς ὁ ἥλιος, Φλέγων καὶ λάμπων ἐν αὐγαῖς καὶ ταῖς οἰκείαις ἀκτῖσι, διῆκε τὸν ποταμὸν μέσον, ἤγουν διελθεῖν καὶ ῥεῦσαι καὶ λυθῆναι τὸ πεπηγὸς ἐποίησε, θερμαίνων ἐκεῖνον· ἔπιπτον δὲ καὶ ἀπεπνίγοντο ἐν τῷ ποταμῷ συνεχεῖς. Εὐτυχὴς δὲ ἦν, ὅστις ταχινώτερον τῶν ἄλλων ἀπέθανε.

v. 503. διῆκε] B. διῆλθε.

v. 504. πίπτον] B. οἱ διὰ τοῦ κρυστάλλου περῶντες τῷ ἡλίῳ διαλυθέντος.

v. 506. ὅσοι δὲ λοιποὶ] A. ὅσοι δὲ ἐπίλοιποι, καὶ ὅσοι ἔτυχον σωτηρίας, ἤτοι οὐκ ἐπνίγησαν, τὴν Θρᾴκην διελθόντες μόλις ἥκουσιν ἐπὶ τὴν Περσίδα γῆν, τὴν ἑστιοῦχον καὶ ἔχουσαν αὐτῶν τὴν ἑστίαν· ὥστε στένειν μετὰ τοσαῦτα κακὰ καὶ τὴν πόλιν αὐτῶν, τὴν τοὺς αὐτῆς Φιλοῦσαν πολίτας, οὓς ἀνεθρέψατο. Τινὲς δὲ τὸ ὥστε στενάζειν, ἐπὶ τῆς πόλεως ἀποδιδόασι, καί Φασιν, ἥκουσιν οὗτοι πρὸς τὴν αὐτῶν πατρίδα, ὥστε τὴν πόλιν τούτους στενάζειν.

v. 509. ἑστιοῦχον] B. οἰκείαν.

v. 511. ταῦτ' ἐστ' ἀληθῆ] A. ταῦτα ὅσα εἶπον, ἀληθῆ· πολλὰ δὲ καὶ ἄλλα παρίημι τῶν κακῶν, ἃ ὁ θεὸς ἐπελθεῖν ἐποίησε τοῖς Πέρσαις.

v. 512. ἐγκατέσκηψε] B. ἐπέθηκεν, ἐνέβαλλεν.

θεὸς] ἡ τύχη.

v. 513. ὦ δυςπόνητε] A. ὦ δαῖμον δυςπόνητε καὶ χαλεποὺς πόνους ἡμῖν ἐμποιήσας, ὡς λίαν βαρὺς ἐνήλου καὶ ἐπήδησας πᾶσι τοῖς Πέρσαις. Ἤγουν, ὦ χαλεπὴ τύχη, ὡς ἄγαν βαρεῖα ἐπῆλθες τοῖς Πέρσαις.

δυςπόνητε] B. δυςτυχίας αἴτιε.

v. 515. οἳ ἐγὼ τάλαινα] A. Φεῦ ἐγὼ ἡ ἀθλία ἕνεκεν τοῦ ἀπολομένου καὶ ἀφανισθέντος στρατοῦ.

διαπεπραγμένου] B. ἠφανισμένου. πεφονευμένου

v. 518. ὑμεῖς δὲ φαύλως] A. πρὸς τὸν χορὸν ἡ Ἄτοσσα φησίν, ὑμεῖς δὲ οὐκ ἀληθῶς αὐτὰ ἂν τὰ ὀνείρατα ἐκρί-

ἐκρίνατε. Ὀνείρατα δέ φησιν ἃ εἴρηκεν ἐν τῇ ἀρχῇ λέγουσα·

Πολλοῖς μὲν αἰεὶ νυκτέροις ὀνείρασι

καὶ

Ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχάραν
Φοίβου.

φαύλως] B. ταπεινῶς.

v. 519. ὅμως δ' ἐπειδὴ] A. ὅμως ἐπειδὴ ἡ ὑμετέρα φάτις καὶ κρίσις οὕτως ἐκύρωσε, δηλαδὴ λέγουσά μοι εὔξασθαι θεοῖς, θέλω τοῦτο ποιῆσαι πρῶτον, ἔπειτα ἥξω λαβοῦσα ἀπὸ τῶν ἐμῶν οἴκων δωρήματα τῇ γῇ τε καὶ νεκροῖς, πέλανον. Πέλανος δέ ἐστιν ὁ ἐζυμωμένος καὶ πεπηγὼς πλακοῦς. Λέγεται δὲ καὶ ὁ ῥύπος. Ἄλλως. Πέλανον, πεπεμμένον πλακοῦντα.

ἡ ὑμῶν κρίσις ἡ λέγουσά μοι εὔξασθαι θεοῖς καὶ Δαρείῳ

τῇδ'] B. οὕτως. ἐκύρωσε] πρώην. φάτις] ὁ λόγος.

v. 521. φθιτοῖς] B. τῷ Δαρείῳ δηλονότι.

v. 522. πέλανον] B. θῦμα.

v. 523. ἐπίσταμαι μὲν] A. οἶδα μὲν φησίν, ἐγὼ, ὅτι ἐπὶ ἐξειργασμένοις καὶ ἤδη φθάσασι γενέσθαι πράγμασι, καὶ φόνοις τῶν Περσῶν μέλλω θύειν αὐτή· τὸ κακὸν γὰρ ἤδη ἐγένετο· ἀλλ' ὅμως κἂν ἐπὶ τοῖς ζῶσιν ἀνδράσιν εὔξομαι, εἴπως τὸ μέλλον καλῶς ἀποβήσεται.

ἐπ' ἐξειργασμένοις] B. ποιήσω ταῦτα τετελεσμένοις πράγμασι.

v. 524. ἀλλ' ἐς τὸ λοιπὸν] A. ἀλλὰ διὰ τοὺς ζῶντας χρὴ θυσίας ποιεῖν, εἴπου τινὲς εἶεν ζωοὶ ἤτοι ζῶντες.

τὸ λοιπὸν] B. θύσω καὶ εὔξομαι. λῷον] κρεῖττον.

v. 526. πιστοῖς γε πιστὰ] A. συνεισφέρειν πιστὰς βουλὰς ἡμῖν πιστοῖς οὖσιν εἰς ὑμᾶς. Εἰ δὲ γράφεται πιστούς, λέγει, ὑμᾶς δὲ χρὴ πιστοὺς ὄντας πιστὰ βουλεύεσθαι.

πιστοῖς] B. πιστῶς ὤφειλεν εἰπεῖν, ἀλλὰ πρὸς τὸ ὄνομα ἐπήγαγε. Νοεῖται δὲ διπλῶς, ἢ ἐπὶ τοῖς πεπραγμένοις πιστοῖς, ἤτοι τοῖς φανερῶς γεγενημένοις τῷ στρατῷ ἀτυχήμασιν, ἢ ἐπὶ τοῖς πεπραγμένοις πιστοῖς ἤτοι τοῖς πρό-

τερον ἐφ' ὑμῶν γεγενημένοις πιστῶς πρὸς ἡμᾶς ἔργοις. Ὃ καὶ κρεῖττον. Καὶ μαρτυρεῖ τὸ πιστὰ ξυμφέρειν βουλεύματα· ἑρμηνεύει δὲ τὰ βουλεύματα τὸ παραμυθεῖσθαι τὸν Ξέρξην, εἰ πρὸ αὐτῆς καταλάβῃ, λέγουσα ὡς ἀπ' ἄλλης ἀρχῆς οὕτως, καὶ παῖδ' ἐάν περ καὶ τὰ ἑξῆς.

v. 528. παρηγορεῖτε] B. παραμυθεῖσθε.

προσθῆται κακὸν] B. αἰτιώμενοι τοῦτον ὡς τοσοῦτον ἀπολωλεκότα στρατόν.

v. 530. ἀλλ' ὦ Ζεῦ βασιλεῦ νῦν Περσῶν] Γ. ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ξϛ'. Ὧν τὰ μὲν ιϛ' εἰσὶν ἀναπαιστικά, τὸ γ' καὶ τὸ η' μονόμετρα, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα· τὰ δὲ καταληκτικὰ ἤτοι ἑφθημιμερῆ· τὰ δὲ ἡμιόλια· τὰ δὲ τρίμετρα βραχυκατάληκτα. Εἶτα πάλιν ἐνήλλαξε τὸ μέτρον· καὶ εἰσι τὰ ἑξῆς κῶλα χοριάμβικα ιδ', ἃ καλεῖται προσοδιακά, διὰ τὸ ἐκ χοριάμβου καὶ Ἰωνίου ἀπ' ἐλάσσονος συγκεῖσθαι. Εἰσὶ δὲ τὰ μὲν πρῶτα δ' δίμετρα ἀκατάληκτα, τὰ δὲ ἑξῆς γ' δίμετρα καταληκτικά, ἤτοι ἑφθημιμερῆ. Τὰ τούτων ἑξῆς δ' δίμετρα ἀκατάληκτα ὅμοια τοῖς πρώτοις. Τὰ δὲ ἑξῆς γ' ἑφθημιμερῆ πάλιν, ὧν τελευταῖον·

Νᾶσος ἔχει τὰ Περσῶν.

v. 532. ὀλέσας] B. Γρ. ὤλεσας, ὅπερ εἰ εἴπῃς, κομματικὸν ἐκφέρεις τὸ λοιπόν.

v. 534. πένθει] B. κλαυθμῷ. δνοφερῷ] σκοτεινῷ.

v. 535. πολλαὶ δ' ἁπαλαῖς] A. πολλαὶ δὲ γυναῖκες κατερεικόμεναι καὶ σχίζουσαι τὰς καλύπτρας καὶ τοὺς ἰδίους χιτῶνας, τέγγουσι καὶ βρέχουσι τοὺς κόλπους ἐν δάκρυσι μυδαλέοις καὶ διύγροις, θλιβόμεναι. Οὕτως δὲ ἔμελλεν εἰπεῖν, ὅτι πολλαὶ νέαι γυναῖκες καὶ ἁπαλόχροοι νύμφαι καὶ νῦν ἔτι ἀνδράσι συζευχθεῖσαι ποιοῦσι τάδε καὶ τάδε. Εἰπὼν δὲ ἁπαλαῖς χερσί, τὸ ὅλον ἀπὸ μέρους ἐδήλωσε συνεκδοχικῶς.

πολλαὶ] B. γυναῖκες τῶν Περσῶν. ἁπαλαῖς] νεωτερικαῖς. καλύπτρας] τὰ τῆς κεφαλῆς σκεπάσματα.

v. 536. κατερεικόμεναι] B. σχίζουσαι καὶ ἀποκόπτουσαι. Ἐρείκη εἶδος φυτοῦ, ὅπερ ἐστὶν εὔσχιστον, ἀπὸ τούτου δὲ καὶ τὸ κατερεικόμεναι γίνεται. διὰ μυδαλέοις] τὸ διὰ ὑπερβατῶς πρὸς τὸ τέγγουσι συντακτέον.

v. 537. κόλπους] B. τῶν ἱματίων.

v. 538. τέγγουσ'] B. βρέχουσι.

v. 539. αἱ δ' ἁβρογόοι Περσίδες] A. καὶ αἱ τοῖς γόοις δακνόμεναι, ποθοῦσαι ἰδεῖν τὴν ἀρτισυζυγίαν, ἤτοι τὴν πρὸ μικροῦ γενομένην αὐτοῖς σύζευξιν καὶ συνάφειαν μετὰ τῶν ἀνδρῶν. Ἢ ἀρτιζυγίαν, τὴν ὑγιοζυγίαν τῶν ἀνδρῶν. Καὶ ἀφεῖσαι καὶ καταλείψασαι τὰς ἐν τοῖς λέκτροις εὐνὰς τὰς ἁβροχίτωνας τὴν τέρψιν καὶ ἡδονήν. Τῆς αὐτῶν τρυφερᾶς καὶ διακεχυμένης ἡλικίας, πενθοῦσιν θρήνοις ἀπληρώτοις καὶ ἀκαταπαύστοις. Ἄλλως. Ἁβρογόοι αἱ ἐντρυφῶσαι τοῖς δάκρυσι.

αἱ δ'] B. ἄλλαι δέ. ἁβρογόοι] πολύκλαυτοι.

v. 540. ἀρτιζυγίαν] B. τὴν ἐκ νέου συνάφειαν.

v. 541. ἁβροχίτωνας] B. πολυτελεῖς ἔχουσαι χιτῶνας. Τοιαῦται γὰρ αἱ τῶν Περσῶν.

v. 542. τέρψιν] B. συνουσίαν.

v. 543. γόοις] B. ἐν.

v. 544. κἀγὼ δὲ μόρον] A. κἀγὼ δὲ διὰ μόρον τῶν οἰχομένων αἴρω καὶ κινῶ πολυπενθῆ δηλονότι γόον. Λείπει δὲ τοῦτο. Ἄλλως. Αἴρω, βαστάζω.

v. 545. αἴρω] B. φέρω. δοκίμως] λαμπρῶς. Τουτέστιν, οὐ περὶ τῶν ἀποθανόντων ἀμελῶν διακεῖμαι, ἀλλὰ τούτων μόρον βαστάζω λαμπρῶς πολυδάκρυτον, ἀντὶ τοῦ θρηνοῦ πολλοῦ ἄξιον.

v. 547. ἐκκενούμενα] A. τῶν ἀνδρῶν. B. τῶν κατοίκων.

v. 548. ἤγαγε ποποῖ] A. ποποῖ καὶ τοτοῖ ἐπιρρήματα σχετλιαστικά, ἢ δηλοῦντα τὸ ποῦ καὶ τὸ ἐκεῖσε. Εἰ μὲν οὖν ἀναγνώσῃ πόποι, εἴπῃς ἀντὶ τοῦ

Φεῦ· εἰ δὲ ποποῖ, ἀντὶ τοῦ ἀορίστως καὶ ἐκεῖσε, ἐν ταῖς Ἀθήναις δηλαδή. Ὁμοίως δὲ καὶ εἰ μὲν τότοι, ἀντὶ τοῦ Φεῦ· εἰ δὲ τοτοῖ, ὡς εἴπομεν. Ἄλλως. Ποποῖ, εἰς τὸν πόλεμον.

ποποῖ] B. πόποι καὶ τότοι ἐπιῤῥήματα σχετλιαστικά· ποποῖ δὲ καὶ τοτοῖ δηλοῦντα τὸ ποῦ καὶ τὸ ἐκεῖσε. Εἰ μὲν εἴποις ἐνταῦθα ποποῖ καὶ τοτοῖ, οὕτω συντάξεις· Ξέρξης μὲν γὰρ ἤγαγε τὸν ἐκκενωθέντα τῆς Ἀσίας λεὼν ποῦ, ἤτοι εἰς Ἀθήνας. Ξέρξης δὲ ἀγαγὼν τοτοῖ καὶ ἐκεῖσε ἀπώλεσεν. Εἰ δὲ πόποι καὶ τότοι γράψεις, οὕτως εἴποις· Ξέρξης μὲν γὰρ ἤγαγεν, εἰς τὰς Ἀθήνας δηλονότι· εἶτα θρηνητικῶς ἐκφέροις πόποι καὶ φεῦ. Τὸ αὐτὸ δὲ καὶ παρακατιὼν νοήσεις τό· Νῆες μὲν ἄγαγον ποποῖ, νῆες δ' ἀπώλεσαν τοτοῖ. (v. 558.)

v. 549. Ξέρξης δ' ἀπώλεσεν] A. ὁ Ξέρξης δὲ πάντα τὰ κακὰ δηλονότι ἐπέσπε καὶ ἐπεσπάσατο ταῖς βαρίδεσσι ναυσί, ταῖς ἀπὸ τῆς Βάρεως οὔσαις, ἥτις ἐστὶ πόλις Περσίδος, ἐξ ἧς καὶ αἱ νῆες Βαρίδες· πάσας γὰρ κατέθραυσεν ἐκεῖσε. Ὁ γοῦν πατὴρ αὐτοῦ Δαρεῖος ἀβλαβὴς ἦν τόξαρχος καὶ ἡγεμὼν, μὴ βλάβην ἐπενεγκὼν τῷ αὐτοῦ στρατεύματι, ὁ φίλος ἄκτωρ καὶ βασιλεὺς τοῖς Σουσίδαις.

v. 550. ἐπέσπασε] B. τὰ κακὰ δηλονότι. δυσφρόνως] κακοφρένως.

v. 551. βαρίδεσσι] B. ναυσίν, ἀπὸ Βάρεως πόλεως Περσῶν καλουμέναις. Λέγει δὲ καταχρηστικῶς ἀπὸ μέρους· οὐ γὰρ ἦσαν πᾶσαι αἱ Ξέρξου νῆες βαρίδες, ἀλλὰ ἄλλαι καὶ ἄλλαι.

v. 552. Δαρεῖος] B. τοῦτο διὰ μέσον εἶπε, παραβάλλων τὸ τοῦ Δαρείου πρώην ἐν Μαραθῶνι δυστύχημα πρὸς τὸ νῦν ἐν Σαλαμῖνι συμβὰν Ξέρξῃ· καὶ τῇ ὑπερβολῇ τούτου ἀβλαβῆ τὸν Δαρεῖον λέγων· ὁ μὲν γὰρ μ' μυριάδας ἀπώλεσε Ξέρξης δὲ φ'· καὶ ὁ μὲν εἵπετο τῷ στρατῷ καὶ παραχρῆμα ἂν ἀπολώλει. Δαρεῖος δὲ Δᾶτιν τὸν στρατηγὸν ἔπεμψεν.

v. 554. τόξαρχος] B. ἡγεμὼν τῶν τοξικωτάτων Περσῶν.

v. 555. ἄκτωρ] B. ἡγεμών.

v. 556. πεζούς τε γὰρ] A. πεζούς τε γὰρ καὶ θαλασσίους αἱ κυανώπιδες νῆες καὶ ἄλλαι μέλαιναι. Αἱ ὁμόπτεροι, καὶ ταῖς αὐτοῖς πτεροῖς κουφιζόμεναι, ἢ αἱ ὁμοίως πτεροῖς θέουσαι, ἤγαγον ποποῖ, ἤγουν εἰς τὴν Ἑλλάδα, καὶ αὐτοὺς ἀπώλεσαν ἐκεῖ.

πεζούς τε] B. ἐπειδὴ τὸ τί ποτε διὰ μέσου εἶπε, πάλιν φησί, πέζους τε γὰρ ὁ Ξέρξης κατὰ γῆν ἤγαγε δηλονότι, τοὺς δὲ ἄλλους αἱ νῆες. Εἰπὼν δὲ πεζοὺς καὶ θαλασσίους, πρὸς μὲν τοῦτο ἐπήγαγε τὸ νῆες, τὸ δὲ πεζοὺς ἀφῆκε νοεῖσθαι. Πεζοὶ γάρ εἰσιν οἱ κατὰ γῆν ὁδεύοντες. Καὶ μαρτυροῦσι Ξενοφῶν καὶ Θουκυδίδης καὶ πᾶν τὸ τῶν συγγραφέων ἔθνος.

v. 557. αἱ δ'] B. αὗται αἱ ἄγουσαι ἐκείνους εἰσίν. ὁμόπτεροι] αἱ μεθ' ἑαυτῶν πτεροῖς χρώμενοι, τοῖς λαίφεσι. κρανώπιδες] μέλαιναι.

v. 561. διὰ δ' Ἰαόνων χέρας τύτθα δ' ἐκφυγεῖν ἄνακτ' αὐτῶν ὡς ἀκούομεν] A. περισσοὶ οἱ δύο δὲ σύνδεσμοι καὶ τὸ ὡς. Τὸ δὲ ἑξῆς δηλοῖ οὕτως, μόλις καὶ μικρόν· τοῦτο γὰρ δηλοῖ τὸ τύτθα· ἀκούομεν αὐτὸν τὸν ἄνακτα καὶ τὸν βασιλέα διεκφυγεῖν τὰς χέρας τῶν Ἰαόνων καὶ τῶν Ἀθηναίων, ἀνὰ τὰς πεδιήρεις κελεύθους καὶ ὁδοὺς τῆς Θρᾴκης τὰς δυσχειμέρους. Οὗτοι δέ, ἤγουν οἱ Πέρσαι, ἄρα πρωτόμοροι, πρῶτον ληφθέντες πρὸς ἀνάγκην τοῦ μόρου καὶ τοῦ θανάτου δηλαδὴ περὶ τὰς Κυχρείας ἀκτάς, ἤγουν τὰς Ἀττικὰς ἢ τὰς τῆς Σαλαμῖνος. Ἢ τὸ λειφθέντες διὰ διφθόγγου, ἀντὶ τοῦ ἀπομείναντες, καὶ κείμενοι τεθνεῶτες περὶ τὰς ἀκτὰς τῆς Κυχρείας καὶ τῆς Σαλαμῖνος, διὰ τὴν ἀνάγκην τοῦ θανάτου. Τὸ δὲ ἠέ, καὶ τὸ ὀά, ἀντὶ τοῦ φεῦ. Ἄλλως. Τοί δ' ἄρα πρωτόμοροι] περὶ τῶν τεθνηκότων ἐν Σαλαμῖνι, ἤτοι οἱ πρῶτα ἀποθανόντες· τὸ δὲ ἑξῆς τούτου ἐστὶ σκύλλονται παρ' ἀναύδων. (v. 575.)

Ἰαόνων] B. Ἀθηναίων. Εἰπὼν ὡς νῆες ἀπώλεσαν τοὺς Πέρσας ἐν ἐμβολαῖς πανωλέθροις, νῦν ὥσπερ ἑρμηνεύων τὰς πανωλέθρους ἐμβολάς, φησίν, ὡς οὐκ ἄλλοθεν πόθεν

ἐγεγόνεισαν, ἀλλ' ἢ ἀπ' Ἀθηναίων. Οὗτοι γάρ εἰσιν Ἴωνες, καὶ γὰρ οἱ εἰς τὴν Ἀσίαν ἀποικασάντες καὶ καλούμενοι Ἴωνες, Ἀθηναῖοι ἦσαν, ἀπὸ Ἴωνος τοῦ ἡγησαμένου σφισὶν ὀνομασθέντες. Σύνταξον δὲ οὕτως· ὡς νῆες μὲν ἀπώλεσαν αὐτοὺς ἐν πανωλέθροις ἐμβολαῖς διὰ δὲ τῶν Ἰώνων ἐγένοντο αὗται αἱ συμβολαί, ὥστε καὶ αὐτὸν τὸν Ξέρξη μόλις τὰς αὐτῶν χεῖρας φυγεῖν ὡς ἀκούομεν.

v. 562. τύτθα] B. μόλις. ἐκφυγεῖν] ὥστε.

v. 564. ἀμπεδιήρεις] B. ἀνὰ τὰς καμπωδεῖς.

v. 565. κελεύθους] B. ὁδούς.

v. 566. τοὶ δ' ἄρα] B. ἐκεῖνοι δὲ οὓς ἄνωθεν ἔφαμεν. πρωτόμοροι] ὑπῆρξαν.

v. 567. πρὸς ἀνάγκαν] A. τὴν τοῦ θανάτου. Ὅμηρος· (Odyss. Λ. 291.)

κατὰ μοῖρ' ἐπέδησεν.

λειφθέντες] B. ἐναπομείναντες ἢ κρατηθέντες. ἀνάγκαν] βίαν.

v. 568. ὀὰ στένε καὶ δακνάζου] A. πρὸς ἑαυτὸν τοῦτο λέγει ὁ χορός, στέναζε καὶ δακνάζου· παραγώγως ἀντὶ τοῦ δάκνου. βαρὺ δ' ἀμβόασον οὐράνι' ἄχη] ἀντὶ τοῦ ὀξέως κώκυσον οὐράνια, ἤγουν μέχρι τοῦ οὐρανοῦ διηκέτω τὸ βόημα ἐπὶ τὰ νῦν καταλαβόντα ἡμᾶς ἄχη.

Κυχρείας] B. τὰς τῆς Σαλαμῖνος, ἐκαλεῖτο γὰρ οὕτω.

v. 569. δακνάζου] B. ἤτοι δάκνου κατὰ παραγωγήν.

v. 571. οὐράνια] B. μεγάλα, ὑπερβολικά.

v. 572. τεῖνε δὲ δυσβαΰκτον] A. τεῖνε δὲ αὐδὰν καὶ φωνὴν τάλαιναν καὶ τλημπαθῆ, δυσβαΰκταν καὶ θρηνητικήν, βοᾶτιν καὶ βοητικήν.

τεῖνε] B. εἰς ὕψος αἶρε. δυσβαΰκτον] δύσφημον.

v. 573. βοᾶτιν] B. βοητικήν. τάλαιναν] δυστυχῆ. αὐδὰν] φωνήν.

v. 574. γναμπτόμενοι] A. γναμπτόμενοι δὲ καὶ συντριβόμενοι οἱ Πέρσαι τῇ δεινῇ θαλάσσῃ, σκύλλονται καὶ

σύρονται καὶ ἐσθίονται πρὸς τῶν ἀναύδων καὶ ἀφώνων παίδων τῆς ἀμιάντου δηλαδὴ θαλάσσης. Οὐ γὰρ μιαίνεται πώποτε, καὶ πολλῶν μολυσμάτων ἐπιχυθέντων αὐτῇ. Ἀναύδων δὲ παίδων τῆς θαλάσσης, τῶν ἰχθύων λέγει.

γναπτόμενοι] B. καταΐοπτόμενοι. δ' ἁλὶ δεινᾷ] τοῦτο πρὸς τὸ ἄνω συνάπτεται, ἀλλήλους πρὸς θρῆνον τῶν τοῦ χοροῦ ἐπαιρούντων διὰ μέσου· τὸ δὲ δεινᾷ ἢ ἀντὶ φοβερᾷ, τοιαύτη γὰρ ἡ θάλασσα· ἢ δεινὴν αὐτὴν λέγει διὰ τὸ πολλῶν δεινῶν ἐν αὐτῇ Πέρσας τετυχηκέναι. Τὸ δὲ ἀναύδων ἀντὶ τοῦ ἀφώνων ἰχθύων, οἵτινές εἰσι παῖδες τῆς ἀμιάντου καὶ καθαρᾶς καὶ ἀθολώτου θαλάσσης.

v. 577. δόμος] B. εἷς ἕκαστος. στερηθεὶς] τούτου.

v. 578. τοκῆες δ' ἄπαιδες] A. οἱ τοκῆες δὲ καὶ οἱ γονεῖς οἱ γέροντες ἔῤῥανται καὶ βρέχονται τοῖς δάκρυσιν, ὀδυρόμενοι τὰ ἐκ τοῦ δαίμονος καὶ τῆς τύχης αὐτοῖς· ἐπελθόντα ἄχθη, τὸ πᾶν δὴ κλύουσι καὶ μανθάνουσιν ἄχος. Οἱ δὲ οὐκέτι περσονομοῦνται καὶ κατὰ τοὺς Περσῶν νόμους πολιτεύονται, καὶ ὑπὸ τῶν Περσῶν ἄρχονται καὶ διιθύνονται· οὐδὲ δασμοφοροῦσι καὶ τοῖς τέλεσι προςκεῖνται, ἃ ἔθος ἦν αὐτοῖς διδόναι τοῖς ἄρχουσιν· ἐφθάρησαν γάρ.

v. 580. δαιμόνι' ἄχη] B. μεγάλα καὶ ἐκ δαίμονός τινος ἐπελθόντα δυςκόλου.

v. 581. γέροντες] B. ἡμεῖς δηλονότι· λέγει δὲ εἰς τρίτον πρόςωπον.

v. 582. τὸ πᾶν δὴ] B. τὸ συμβὰν ἐν Ἀθήναις τοῖς Πέρσαις.

v. 583. τοὶ δ'] B. οἱ θανόντες οὗτοι. δὴν] τὸ δὴν ἀντὶ τοῦ ἐπιπολύ. Ἐνταῦθα δὲ οὕτω κεῖται, ὥςπερ ἂν εἰ μηδ' ὁπωςοῦν ἔκειτο. Οἱ γὰρ ἐν Ἀθήναις ἀπολωλότες τῶν Περσῶν οὔτε ἐπιπολὺ κατὰ τὴν Περσίδα περσονομοῦνται, οὔτε τὴν ἀρχήν, ὅλως ἀπώλοντο γάρ.

v. 584. περσονομεῦνται] B. κατὰ τοὺς Περσῶν νόμους διάγουσιν, ἀπώλοντο γάρ.

v. 585. δασμοφοροῦσι] B. τέλη φέρουσι τοῖς δεσπόταις αὐτῶν.

v. 587. οὐδ' ἐς γᾶν] A. οὔτε εἰς τὴν γῆν προσπίπτοντες ἤγουν προσκυνοῦντες τὸν βασιλέα ἄρξονται καὶ ὑποκλιθήσονται. Ἡ γὰρ βασιλικὴ ἰσχὺς ὤλετο.

ἐς γᾶν προσπίπτοντες] B. ἤτοι προσκυνοῦντες τὸν αὐτῶν βασιλέα.

v. 588. βασίλεια γὰρ] A. τὰ τοιαῦτα πάντα κτητικὰ μακρὸν ἔχει τὸ α.

ἄρξονται] B. ἀρχθήσονται.

v. 589. ἰσχὺς] B. τὸ μέγεθος.

v. 590. οὐδ' ἔτι γλῶσσα] A. οὐδ' ἔτι ἡ τῶν Περσῶν γλῶσσα ἐν φυλακαῖς· ἠλευθέρωται γὰρ αὐτοῖς ἡ γλῶσσα πρὸς τὸ κακηγορεῖν βασιλέα. Οὐδένα γὰρ τῶν δεδίασιν οἱ ὑπήκοοι· ὅτι λαὸς ἐλύθη ὑπὸ τῆς αὐτοῦ δυνάμεως τὸν ζυγὸν ὑφ' οὗ συνείχετο τὰ πλεῖστα καὶ ὑπεκλίνετο. Ἢ, ἔλυσε τὸν ζυγὸν τῆς ἀλκῆς, ἤτοι τῆς βασιλικῆς δυνάμεως. Ἡ γὰρ βασιλικὴ διόλωλεν ἰσχύς, τῶν ἡγεμόνων καὶ τῶν ἀρχόντων δηλαδή. Ἄλλως. Ζυγὸν ἀλκᾶς ἡ ἀλκή.

φυλακαῖς] B. συντηρήσεσι.

v. 592. ὡς ἐλύθη] B. ἐπεὶ ἐλευθερώθη.

v. 594. αἱμαχθεῖσα] A. ἡ ἄρουρα καὶ ἡ γῆ καὶ ἡ χώρα τοῦ Αἴαντος ἡ περικλύστα καὶ περικλυζομένη τῇ θαλάσσῃ, δηλαδὴ νῆσος, ἤγουν ἡ Σαλαμίν, ἔχει τὰ σώματα τῶν Περσῶν.

αἱμαχθεῖσα] B. φονευθέντων τῶν Περσῶν καὶ αἵματος ἐντεῦθεν ῥυέντος.

v. 595. περικλύστα] B. περίῤῥυτος.

v. 596. τὰ Περσῶν] B. σώματα.

v. 597. φίλοι, κακῶν] A. ὦ φίλοι, ὅστις κυρεῖ καὶ ὑπάρχει ἔμπορος τῶν κακῶν, ἤγουν ἐμπλέων τοῖς κακοῖς, γινώσκει, ὅτι ὅταν ἐπέλθῃ κλύδων καὶ ζάλη τῶν κακῶν τοῖς ἀνθρώποις, φιλεῖ καὶ ἔθος ἔχει φοβεῖσθαι εἰς πάντα, ἤγουν καὶ εἰς τὰ μετὰ ταῦτα· ὅταν δὲ ὁ δαίμων καὶ τύχη εὔροῃ, καὶ καλῶς καὶ εὐτυχῶς ῥέῃ καὶ ἐπέρχηται, ἔθος ἔχει, ἀπὸ κοινοῦ πάλιν, θαῤῥεῖν τὴν αὐτὴν εὐτυχίαν οὐριοδρομεῖν

καὶ ἐς τὸ μετέπειτα. Ἄλλως· Κακῶν μὲν ὅστις καὶ τὰ ἑξῆς] ὁ νοῦς; ὅτι ἔθος ἔχουσιν οἱ δυςτυχοῦντες δυςτυχίαν φαντάζεσθαι, οἱ δὲ εὐτυχοῦντες εὐτυχίαν.

ἔμπειρος] B. συνήθης, μέτοχος.

φίλοι, κακῶν μὲν] Γ. ἡ μονοστροφικὴ αὕτη περίοδος στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κε'· ὧν τελευταῖος· (v. 621.)

Τιμὰς προπέμψω τάςδε νερτέροις θεοῖς.

v. 598. ἐπίστασο] B. Γράφεται καὶ ἐπίστασθε, καὶ ἐπίσταται. Καὶ τὸ μὲν ἐπίστασο οὕτως· εἰποῦσα ἡ Ἄτοσσα πληθυντικῶς πρὸς πάντα τὸν χορόν, ὦ φίλοι, μεριστικῶς ἐκφέρει πρὸς ἕνα ἕκαστον. Λέγουσα ὦ φίλοι, ἐπίστασο ὅτι φιλεῖ καὶ εἴωθεν ἐκεῖνος ὁ ἄνθρωπος ὅστις ἔμπορος καὶ μέτοχος καὶ συνήθης ἐστὶ κακῶν, πάντα δειμαίνειν καὶ φοβεῖσθαι, ὅταν ἐπέλθῃ τοῖς βροτοῖς κλύδων καὶ χειμὼν κακῶν. Τουτέστιν, ὁ δυςτυχίᾳ κατεσχηκώς, ὅταν ἕτερόν τινα ἴδῃ δυςτυχοῦντα αὐτὸς δυςτυχεῖν οἴεται, οἰκεῖα λογιζόμενος τὰ πάθη. Εἰ δὲ ἐπίσταται εἴπῃς, συντάξεις πρὸς τὸ ὅστις ἔμπορος κυρεῖ· ἔστι δὲ ψυχρόν· τὸ γὰρ πρῶτον κρεῖττον τοῦ δευτέρου. ὡς] ὅτι.

v. 599. φιλεῖ] B. εἴωθεν ἐκεῖνος ὁ ἄνθρωπος.

v. 600. εὔροῃ] B. εἰς ἕτερον. οὐριοδρομεῖν

v. 601. δαίμον' οὐριεῖν τύχης] A. παρὰ τὸ Ὁμηρικόν· (Odyss. Σ. 134.)

Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων
Οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.

τὸν αὐτὸν] B. τὸν ὅμοιον. οὐριεῖν] εὐθυδρομεῖν αὐτῷ.

v. 602. ἐμοὶ γὰρ ἤδη] A. ἐμοί, φησί, φόβου γέμοντα τὰ πάντα φαίνεται ἐν τοῖς ἐμοῖς ὄμμασιν ἀνταῖα καὶ ἐμφανῆ καὶ ἄντην, οἷον καὶ κατὰ πρόσωπον, ἀπὸ θεῶν. Τινὲς δὲ εἰς τὸ πλέα στίζοντες, ὡς ἐξ ἄλλης ἀρχῆς τοῦτο συντάσσουσιν τἀνταῖα λέγοντες, οἷον ἐν τοῖς ὄμμασι τὰ

ἀνταῖα: ἐναντία φαίνεται τὰ τῶν θεῶν· οἷον ἀντικειμένους ἡμῶν ὁρῶ τοὺς θεούς:

τῶν θεῶν ἐναντία φαίνεται. Τουτέστιν ἀντικειμένους ἡμῶν ὁρῶ τοὺς θεούς.

v. 603. τ' ἀνταῖα] B. ἐνάντια καὶ δυστυχῆ, ἃ τοῖς ἀνθρώποις οἱ θεοὶ ἐπιφέρουσιν.

v. 604. ἐν ὠσὶ] B. τοῖς ἐμοῖς. οὐ παιώνιος] οὐ χαρᾶς ποιητικός, ἀλλὰ λύπης.

οὐ παιώνιος] A. ἀλλὰ φθαρτικός.

v. 605. ἔκπληξις] B. ὑπερβολὴ εἰς ἔκστασιν φέρουσα τοὺς ἀκούοντας.

v. 606. ὀχημάτων] B. ζεύγους.

v. 607. χλιδῆς τε τῆς πάροιθεν] B. τρυφῆς καὶ θεραπείας τῆς ἀρχαίας.

v. 608. ἔστειλα] B. ἐποιησάμην. εὐμενεῖς] εἰς συμπάθειαν καὶ εὐμένειαν ἡμῶν ἐπικαλουμένας ἐκεῖνον.

v. 609. μειλικτήρια] B. θελκτήρια. Δέον δὲ εἰπεῖν αἵπερ πρὸς τὰ μειλικτήρια ἐπήγαγεν.

v. 610. βοός τ' ἀφ' ἁγνῆς] A. ἁγνὴν τὴν βοῦν καλεῖ, ἢ διὰ τὸ τοῖς θεοῖς ἀεὶ τὰς βοῦς θύεσθαι, ἢ διὰ τὸ ταύτην εἶναι λευκήν· τὰ γὰρ λευκὰ καὶ καθαρὰ καὶ φωτεινὰ καὶ ἀρρύπωτα. Ἢ διὰ τὸ ἀγελαίαν εἶναι· τὰ γὰρ ἐν τοῖς ὄρεσι διατρίβοντα καθαρώτερα ὑγιεινότερα τῶν ἄλλων. Ἢ ἁγνῆς τῆς ἀσινοῦς, καὶ μηδέ τινα βλάβην ἐχούσης, καὶ ποδὸς οὐ στερηθείσης ἢ ὀφθαλμοῦ.

λευκῆς ἢ ἀγελαίας ἢ ἀσινοῦς:

ἁγνῆς] B. λευκῆς· ἢ διὰ τὸ τοῖς θεοῖς εἰς θυσίαν παραλαμβάνεσθαι. ἀπὸ τούτου καὶ αὐτὴν καταχρηστικῶς ἁγνὴν καλεῖ· ἢ ἁγνῆς τῆς ἀγελαίας, παρόσον αὗται τροφῆς καθαρωτάτης καὶ ποτοῦ ἀπολαμβάνουσιν· ἢ ἁγνῆς, τῆς καθαρᾶς καὶ ἀμετόχου σωματικῆς νόσου.

v. 611. παμφαὲς] A. φαιδρόν.

τῆς τ' ἀνθεμουργοῦ] B. τῆς ἐξ ἀνθέων ἐργαζομένης μελίσσης. παμφαὲς] λαμπρόν, καθαρόν.

v. 612. παρθένου πηγῆς μέτα] A. καθαρᾶς. Ἀντὶ τοῦ σὺν ὕδατι κρηναίῳ. Σημείωσαι δὲ τὸ εἶδος τῶν χοῶν.

λιβάσιν] Β. σταλαγμοῖς. παρθένου] ἀμολύντου καὶ καθαρᾶς, διὰ τὸ τοῖς θεοῖς εἰς θυσίαν συμπαραλαμβάνεσθαι.

v. 613. ἀκήρατόν τε πότον] Α. γάνος τόδε ἀπὸ τῆς μητρὸς τῆς παλαιᾶς ἀμπέλου. Ἀκήρατον πότον· τὸν οἶνον λέγει τὸν ἔχοντα μητέρα τὴν ἄμπελον. Ἀγρίας δὲ τῆς ἀγριοποιοῦ διὰ τὴν μέθην. Ἤγουν τῆς ἀγρίους ποιούσης τοὺς μεθύοντας. Ἢ τῆς ἐν τῷ ἀγρῷ οὔσης. Καὶ γὰρ ἐν τοῖς ἀγροῖς αἱ ἄμπελοι.

ἀγρίας] Β. ὀρεινῆς. Ἢ τῆς ἀγριοποιούσης τοὺς ἀμέτρως αὐτῆς πίνοντας τὸ πόμα.

v. 614. γάνος] Β. εὐφροσύνη. Εὔφραινον τοὺς συμπίνοντας.

v. 615. αἰὲν ἐν φύλλοισι] Β. ἤτοι ἀεὶ θαλλούσης.

v. 616. ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα] Α. πάρεστι γοῦν ταῖς ἐμαῖς χερσὶ καὶ καρπὸς ἐλαίας ξανθῆς τῆς αἰὲν θαλλούσης τοῖς φύλλοις. Ἀειθαλὴς γὰρ, καὶ ἀεὶ τὰ φύλλα ἔχει. Διὸ προσέθηκεν ἐν φύλλοισι θαλλούσης πρὸς τὸν καρπόν. Οὐ γὰρ διηνεκὴς ὁ καρπός. Ξανθῆς δὲ διὰ τὸ ὄπισθεν μέρος τοῦ φύλλου ὡς πρασινίζον ἐμφαίνεσθαι.

ξανθῆς] Β. κατὰ τὸ χρῶμα.

v. 617. ἄνθη τε πλεκτὰ] Α. στέμματα.

v. 619. τὸν δὲ δαίμονα] Α. ὡς θεὸς γὰρ παρὰ Πέρσαις τιμᾶται.

ἐπευφημεῖτε] Β. ἐπᾴδετε.

v. 620. γαπότους] Β. ἀντὶ ἃς ἡ γῆ πίνει χευμένας χοάς.

v. 621. νερτέροις θεοῖς] Β. τῷ Πλούτωνι καὶ τῇ Περσεφόνῃ καὶ τῷ Ἑρμῇ.

v. 622. πρέσβος] Α. τιμία. πρέσβα] Β. ἔντιμε.

βασίλεια γύναι] Γ. ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων νη. Ὧν τὰ πρῶτα ι' εἰσὶν ἀναπαιστικά· τὸ μὲν δ' μονόμετρον· τὸ δὲ ε' καὶ ι' ἐφθημιμερῆ· τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. Ἑξῆς δὲ τούτων μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν, ἐνήλλαξε καὶ τὸ μέτρον. Καί εἰσι κῶλα ἀναπαιστικὰ

δίμετρα βραχυκατάληκτα καὶ καταληκτικά, ἤτοι ἐφθημιμερῆ καὶ πενθημιμερῆ καὶ μονοστροφικὰ μή. Ὧν τελευταῖον·

Νᾶες ἄναες ἄναες.

v. 623. σύ τε πέμπε] A. ὁ χορός φησι πρὸς τὴν Ἄτοσσαν, ὅτι σὺ θυσίαζε τοῖς καταχθονιοῖς θεοῖς· ἡμεῖς δὲ αἰτησόμεθα ἐν ὕμνοις τοὺς πομποὺς τῶν φθιμένων, ἤγουν τοὺς θεοὺς τοὺς κάτω, τοὺς πέμποντας ἄνω τοὺς νεκρούς, εἶναι κάτω τῆς γῆς πραεῖς πρὸς τὸν Δαρεῖον, ὥστε συγχωρῆσαι αὐτὸν πρὸς ἡμᾶς ἐλθεῖν.

θαλάμους] B. εἰς τοὺς ὑπὸ γῆς κευθμῶνας.

v. 625. πομπούς] B. ἀγωγούς.

v. 626. εὔφρονας] B. εὐμενεῖς.

v. 628. ἀλλὰ χθόνιοι δαίμονες] A. ἀλλ' ὦ χθόνιοι θεοί, γῆ τε καὶ Ἑρμῆ καὶ ὦ Πλούτων, βασιλεῦ τῶν νεκρῶν, πέμψατε ἐς φῶς, ἤγουν ἐνταῦθα πρὸς ἡμᾶς, ἀπὸ τῶν κάτω τὴν ψυχὴν τοῦ Δαρείου. Εἰ γάρ τι ἄκος τῶν ἡμετέρων κακῶν πλέον καὶ ἐπέκεινα οἶδεν, ἤγουν νίκησον τὰ ἡμῶν κακά, μόνος ἂν οὗτος ἀπὸ τῶν ἀνθρώπων εἴποι τὸ πέρας καὶ πῶς αὐτὰ καὶ πότε καὶ τίνι τρόπῳ ἐκφύγωμεν.

v. 628. βασιλεῦ] B. Ἀϊδωνεῦ. ἐνερῶν] νεκρῶν.

v. 629. ἔνερθεν] B. ὑπὸ τῶν κάτω. ψυχὴν] τὴν τοῦ Δαρείου.

v. 630. οἶδε] B. ὁ Δαρεῖος. πλέον] ἢ ἕτερός τις ἂν εἰπεῖν ἔχῃ.

v. 632. ἦ ῥ' ἀΐει μου μακαρίτας] A. ἆρα ἀκούει μου ὁ μακαρίτης θεὸς Δαρεῖος, ὁ ἰσόθεος βασιλεύς, ἱέντος καὶ πέμποντος τὰ βάρβαρα λόγια σαφηνῆ καὶ σαφῆ; οὐ γὰρ δυσνόητα ταῦτά φημι τὰ ποικίλα βάγματα καὶ φωνήματα, τὰ αἰανῆ καὶ σκοτεινά, καὶ θλίψιν καὶ ἀχλὺν ἐμποιοῦντα τοῖς κλαίουσιν. Ἰστέον δὲ ὅτι μακαρίτης ὁ τεθνεώς, μακάριος ὁ ζῶν.

ἰσοδαίμων] B. ἰσόθεος.

v. 634. σαφηνῆ] B. δῆλα αὐτῷ.

v. 635. ἰέντος] B. πέμποντος. τὰ παναίολ'] τὰ ποικίλα τῷ θρήνῳ.

v. 636. αἰανῆ] B. ἀχλύος γέμοντα. βάγματα] Φωνήματα.

v. 637. παντάλαιν' ἄχη] B. πανάθλια. Δεῖ παντα λαίνου εἶναι, ἢ παντάλαινα. Εὕρηται δὲ ἐν πολλοῖς καὶ καλοῖς βιβλίοις οὕτω, καὶ μὴ οἰηθῇ τις παντάλαινα εἶναι ἄξιον γράφεσθαι.

v. 639. ἀλλὰ σύ μοι Γᾶ] A. ἀλλὰ σύ μοι, ὦ γῆ, καὶ ἄλλοι ἡγεμόνες τῶν χθονίων καὶ τῶν νεκρῶν, τὸν μεγαλαυχῆ δαίμονα Δαρεῖον ἐρχόμενον ἐκ τῶν τοῦ ᾅδου δόμων αἰνέσατε, ἤγουν συναινέσατε, καὶ συναρήξατε αὐτῷ τῷ ποιῆσαι τουτί. Τὸν καταχθόνιον οὖν Δαρεῖον αἰνέσατε ἐξ ᾅδου δόμων μολεῖν. Τὸν Σουσιγενῆ τῶν Περσῶν ἤγουν τὸν Δαρεῖον.

v. 641. μεγαλαρχῆ] B. μεγαλοδυναμενον.

v. 642. ἰόντ'] B. ἐλθόντα. Δέον ἱέναι εἰπεῖν πρὸς τὴν μετοχὴν ἐξήνεγκεν. αἰνέσατ'] θελήσατε, ἀποδέξασθε. ἐκ δόμων] τῶν ὑπὸ γῆν.

v. 643. Σουσιγενῆ] B. τὸν ἐν Σούσοις γεννηθέντα.

v. 644. πέμπετε δ' ἄνω] B. δι' ἱκεσίων.

v. 646. ἦ φίλος ἀνὴρ] A. ὄντως φίλος ἦν ἀνὴρ ἐμοὶ ὁ Δαρεῖος, ὄντως φίλος καὶ ὁ τάφος ὃς κρύπτει τὰ φίλα ἤθη, τοῦτ' ἔστι τοὺς προςφιλεῖς τρόπους ἐμοὶ τοῦ Δαρείου. Ὄχθον γὰρ τὸν τάφον καλεῖ διὰ τὸν ἀναχωματισμόν.

ἦ] B. ὄντως. ὄχθος] τάφος.

v. 647. κέκευθεν] B. ἔκρυψεν.

v. 648. Ἀϊδωνεὺς δ' ἀνίει Δαρεῖον· οἷον ἄνακτα Δαρειὰν] A. ὁ Ἀϊδωνεὺς δὲ ὁ ἀναπομπὸς τῶν νεκρῶν ἀνίει καὶ ἀναπέμψει καὶ ἀναδώσει τῆς γῆς τὸν Δαρεῖον βασιλέα, οἷον τὸν καὶ Δαρειὰν κεκλημένον. — Ἢ τὴν Δαρείαν ψυχὴν ἀναπέμψει ὁ ᾅδης τοῦτο ἔξωθεν. Ἄλλως· τὸν μόνον γενόμενον βασιλέα διὰ τὸ ἡγεμονικόν. Ἔοικε δὲ ὁ Δαρεῖος καὶ Δαρειὰν λέγεσθαι.

v. 650. οἷον ἄνακτα] B. τὸν μέγαν, ἢ τὸν μόνον τῷ ὄντι βασιλέα. Δαρειὰν] οὐ μόνον Δαρεῖος, ἀλλὰ καὶ Δαρειὰν γράφεται.

v. 653. Θεομήστωρ δ' ἐκικλήσκετο] A. Θεομήστωρ τε καὶ τὰ θεῖα βουλευόμενος ἐκαλεῖτο τοῖς Πέρσαις· οὐ μόνον δὲ ἐκαλεῖτο τοῦτο, ἀλλὰ καὶ θεομήστωρ ὑπῆρχεν, ἐπειδὴ καὶ καλῶς ἐποδώκει καὶ ἴθυνε καὶ ὑπὸ τὸν ἑαυτοῦ πόδα ἡνιόχει τὸν στρατόν.

θεομήστωρ] B. θεὸς κατὰ τὰς βουλάς.

v. 655. ἔσκεν] B. ὑπῆρχεν.

ἐποδώκει] B. διῴκει.

v. 656. Βαλὴν ἀρχαῖος] A. Βαλὴν ὁ βασιλεὺς λέγεται. Εὐφορίων δέ φησι Θουρίων εἶναι τὴν διάλεκτον. Ὅθεν καὶ Βαληναῖον ὄρος, ὅ ἐστι βασιλικόν· φησὶν οὖν, ὦ ἀρχαῖε βασιλεῦ ἵκου καὶ παραγενοῦ καὶ ἐλθὲ ἐπ' ἄκρων κορύμβων ὄχθου, ἐπὶ τὴν ἄκραν ἐξοχὴν καὶ περιωπὴν τοῦ τάφου, αἰείρων καὶ ἐπαίρων καὶ κινῶν τὴν εὔμαριν, καὶ τὸ ὑπόδημα τοῦ ποδός, κροκόβαπτον καὶ ἐρυθροῦν. Ἔστι δὲ τοῦτο περίφρασις, πιφαύσκων καὶ δεικνύων καὶ ἀναφαίνων τὸν φάλαρον, καὶ τὸν λόφον. Τῆς βασιλικῆς τιάρας καὶ περικεφαλαίας. Περιφραστικῶς δὲ τὸ στέμμα φησί.

βαλὴν] B. βασιλεὺς κατὰ Θουρίων γλῶσσαν, ὥς φησι Εὐφορίων.

v. 657. κόρυμβον] B. ἐξοχήν.

v. 658. ὄχθου] B. τοῦ τάφου. κροκόβαπτον] πορφυροῦν.

v. 659. εὔμαριν] B. εἶδος ὑποδήματος. αἰείρων] κινῶν.

v. 660. τιάρας] B. στεφάνου.

v. 661. φάλαρον] B. τὴν ἐξοχήν. πιφαύσκων] φαίνων.

v. 662. βάσκε πάτερ] A. βάσκε καὶ πορεύθητι ὦ Δαρεῖε δέσποτα, ὅπως κλύῃς καὶ ἀκούσῃς καὶ μάθῃς καινὰ καὶ ἀλλόκοτα καὶ νέα ἄχη τοῦ Ξέρξου. Ὡς ἐπῳδῇ δὲ κέχρηται τῇ Βάσκε πάτερ Δαρειάν.

βάσκε] B. ἐλθέ. ἄκακε] πρᾶε.

v. 663. ὅπως] B. ἵνα. καινὰ] παράδοξα.

v. 664. δεσπότου] B. τοῦ Ξέρξου.

v. 665. στυγία γάρ τις] A. ἐπιτετάνυσται γὰρ καὶ ἐξήπλωται στυγερὰ καὶ μισητή τις ἀχλὺς καὶ θλίψις. Πᾶσα γὰρ νεολαία καὶ ἡ τῶν Περσῶν ἡλικία καὶ νεότης ἐξαπόλωλε καὶ παρώχετο.

στυγία] B. μισητή.

v. 666. πεπόταται] B. ἐπικρέμαται τοῖς ὄμμασιν ἡμῶν.

v. 667. νεολέα] B. ἡ νεότης.

v. 672. τί τάδε δυνάτα, δυνάτα — δίδυμα] A. τί, ὦ δυνάστα τάδε δίδυμα καὶ διπλᾶ ἁμάρτια καὶ ἁμαρτήματα διάγοιεν καὶ διάγουσι περὶ τῇ σῇ γῇ τῇδε. Δίδυμα δέ, ἢ διὰ τὸ ἐπὶ Δαρείου μὲν τριάκοντα φονευθῆναι χιλιάδας, νῦν δὲ ἐπὶ τοῦ Ξέρξου μυριάδας· ἢ ὅτι Ξέρξου καὶ Πέρσαις τινὸς εἰσὶν ἁμαρτίαι καὶ ἀτυχίαι ἡρμοσμέναι ὁμοῦ· ἢ τὰ δίδυμα, τὰ ἐν Πλαταιαῖς γεγενημένα κακὰ καὶ τὰ ἐν Σαλαμῖνι. Τὸ δὲ δυνάτα ἀντὶ τοῦ δυνάστα.

v. 673. δίδυμα] B. διπλᾶ. Δίδυμα λέγει διὰ τὸ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἁλῶναι Πέρσας. Τὸ δαμάρτια δέ, διαμάρτιά ἐστι, καὶ κατὰ συναίρεσιν γέγονε δαμάρτια. *)

v. 674. ἁμάρτια] A. ὁμοῦ ἡρμοσμένα. Γράφεται καὶ ἁμαρτήματα.

v. 676. ἐξέφθινθ'] B. ἐφθάρησαν. τρίσκαλμοι] τριήρεις.

v. 677. νᾶες ἄνασς] A. αἱ μηκέτι νῆες· ἀπώλοντο γάρ.

v. 678. ὦ πιστὰ πιστῶν] A. τὸ τοῦ Δαρείου εἴδωλον ἐξ ᾅδου ἀνελθὸν φησὶ πρὸς τοὺς Πέρσας· ὦ πιστὰ γεννήματα καὶ ἀνατροφαὶ πατέρων πιστῶν ἐμοί, ὦ ἐκ πι-

*) Ineptus est Scholiastes novum et inauditum vocabulum creans, ineptior ejus, si diis placet originis notatio.

στῶν πατέρων πιστοὶ υἱοί, ἥλικές τε καὶ ἰσήλικες τῆς ἐμῆς ἡλικίας, τίνα πόνον καὶ κακοπάθειαν πάσχει ἡ πόλις καὶ στενάζει καὶ οἷον ἐκ τῶν ὀδυρμῶν κέκοπται καὶ χαράσσεται ἡ γῆ κάτωθεν. Τοῦτο δὲ εἴρηκεν, ὅτι ἐκ τῶν πολλῶν ὑμῶν στεναγμῶν ἡ γῆ ῥαγεῖσα ἐνέδωκέ με.

ὦ πιστὰ πιστῶν] B. ὥσπερ φάμεν κάλλιστοι καλλίστων, βουλόμενοι μεγίστην ὑπεροχὴν δηλῶσαι, τοιοῦτόν ἐστι καὶ τὸ νῦν τὸ πιστὰ πιστῶν. Δηλοῖ δὲ ἐντεῦθεν τὴν θαυμασίαν καὶ μεγίστην αὐτῶν πίστιν, ἣν πρὸς αὐτὸν ζῶντα ἐκέκτηντο, καὶ θανόντα ἔχουσιν.

ὦ πιστὰ πιστῶν] Γ. εἴσθεσις διπλῆς καθόλου. Ἧς προτίθενται στίχοι ἰαμβικοὶ ιγ'. Ἑξῆς δὲ τούτων κῶλα τοῦ χοροῦ ἀναπαιστικὰ γ'· ὧν τὰ β' δίμετρα βραχυκατάληκτα. Τὸ δὲ γ' δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται παροιμιακόν. Ἑξῆς τούτων στίχοι τροχαϊκοὶ καταληκτικοὶ γ'. Ἑξῆς τούτων κῶλα ὅμοια τοῖς ἄνω ἀναπαιστικὰ γ'. Ἑξῆς δὲ ἔτι τούτων ἡ τελεία διπλῆ. Οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ νς' ὧν τελευταῖος·

Τήνδ' ἐβούλευσεν κέλευθον καὶ στράτευμ' ἐφ' Ἑλλάδι.

v. 680. κέκοπται] B. ἠφάνισται. χαράσσεται] διασχίζεται τοῖς θρήνοις.

v. 681. λεύσσων δ' ἄκοιτιν] A. ἐγὼ δὲ βλέπων ἐγγὺς τοῦ ἐμοῦ τάφου παρακαθημένην τὴν ἐμὴν ὁμόκοιτον γυναῖκα, φοβοῦμαι μὴ κακὸν αὐτῇ ἐπιγένοιτο. Τὰς χοὰς δέ, ἤτοι τὰς θυσίας ὃς ἐμοὶ ἔθυσεν ἱλαστηρίους ἀπεδεξάμην.

ἄκοιτιν] B. ὁμόζυγον.

v. 682. ταρβῶ] B. ἐκπλήττομαι.

πρευμενὴς] B. συμπαθὴς καὶ ἵλεως.

v. 683. ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς] A. ἐγγὺς ἑστῶτες τοῦ ἐμοῦ τάφου θρηνεῖτε καὶ καλεῖσθε καὶ ἀνακράζετέ με ἐξελθεῖν ἐκ τοῦ ᾅδου ῥοδιάζοντες καὶ μεγάλως ἠχοῦντες καὶ θρηνοῦντες ἐν γόοις ψυχαγωγοῖς, ἤγουν τοῖς τὰς ψυχὰς ἐκ τοῦ ᾅδου ἀνακομίζουσιν· οὐκ ἔτι δὲ ῥᾴδιον τὸ ἐξελθεῖν με ἀπὸ τοῦ τάφου οὐδὲ δυνατόν.

v. 684.

v. 684. ὀρθιάζοντες] B. ἠχοῦντες.

v. 685. οὐκ εὐέξοδον] A. ὅθεν οὐ δυνατὸν ταχέως ἐξιέναι. Ἀπολογεῖται δὲ ὡς βραδύνας.

οὐκ εὐέξοδον] B. τὸ πρὸς ἡμᾶς ἐλθεῖν. Ἤγουν οὐκ ἔστιν ἐξ ᾅδου πρὸς τὸ φῶς ὁδὸς ῥάστη.

v. 686. ἄλλως τε πάντως] A. καὶ ἄλλως δέ, φησίν, οἱ κάτωθεν τῆς γῆς θεοί, οἷον ὁ Πλούτων καὶ ἡ Περσεφόνη, καὶ οἱ τῶν νεκρῶν ἁπλῶς κυριεύοντες ἀμείνους καὶ βελτίονες καὶ ἑτοιμότεροι εἰσὶν εἰς τὸ λαβεῖν παρ' ἑαυτοῖς τοὺς ἀνθρώπους καὶ κατέχειν ἐν τῷ ᾅδῃ παρὸ μεθιέναι καὶ καταλεῖψαι καὶ ἐᾶσαι αὐτοὺς ἀνελθεῖν εἰς τὴν γῆν ἄνωθεν.

v. 688. ὅμως δ' ἐκείνοις] A. ἤτοι μέγα κἀγὼ δυνηθεὶς παρὰ τοῖς κάτω θεοῖς οἷα βασιλεύς, καὶ παρ' ἐκείνων τιμώμενος καὶ μὴ λογιζόμενος ὡς οἱ κοινῶς ἀποθνήσκοντες, ἥκω.

v. 689. τάχυνα δ'] A. ἐτάχυνα δέ, ὡς μὴ μεμφθῶ τοῦ χρόνου καὶ τῆς βραδυτῆτος ἕνεκα.

ἀμέμπτος ὦ χρόνου] B. ἵνα μὴ μέμψησθε ἐμοὶ τῆς ἀργείας. Μὴ λάβῃς δὲ ἔξωθεν τὸ ἕνεκα, ἀλλ' οὕτως σύνταξον ἵνα ὦ ἄμεμπτος τοῦ χρόνου, ἤγουν ἵνα μὴ παρ' ὑμῶν λάβω μέμψιν χρόνου.

v. 690. νεοχμὸν] A. νεωστί. Παρὰ τὸ αἰχμὴν γενόμενον.

νεοχμὸν] B. νέον. ἐμβριθὲς] μέγα.

v. 691. σέβομαι] B. ὑποστέλλομαι. προσιδέσθαι] σέ.

v. 693. ἀρχαίῳ] B. ᾧ πάλαι πρός σε ἐχρῶμεν. τάρβει] αἰδοῖ, φόβῳ, ὑποστολῇ.

v. 695. μακεστῆρα μῦθον] A. μήκους ἐχόμενον.

μακεστῆρα] B. μακρόν.

v. 696. πάντα] B. ἃ βούλει. τὴν ἐμὴν αἰδῶ] ἤγουν τὴν πρὸς ἐμὲ ὑποστολήν.

v. 697. δέομαι μὲν χαρίσασθαι] A. τοῦτό φησι, δέδια μὲν τὰ κατὰ χάριν εἰπεῖν σοι, ἐφ' ᾧ θέλξαι τὴν σὴν ψυχήν, δέδια δὲ καὶ ἀληθεῦσαι· λυπηθήσῃ γάρ.

δείομαι μὲν] B. ὀκνῶ τὸ σὸν θέλημα τελέσαι. Τὸ δέ ἐστι, μὴ ἔχειν ἐμὲ πρός σε ὑποστολήν. Ὀκνῶ δὲ λόγον πρὸς σὲ ἆραι, ἐπειδὴ μέλλω λέξειν δύςλεκτα καὶ κακόφημα καὶ δυςτυχῆ τοῖς φίλοις, ἤτοι ὑπὲρ τοῦ σοῦ υἱοῦ.

v. 700. ἀλλ' ἐπεὶ δέος] A. Εἰπόντος τοῦ χοροῦ πρὸς τὸν Δαρεῖον, ὅτι φοβοῦμαι μὲν τὰ κατὰ χάριν εἰπεῖν σοι ἵνα μὴ λυπηθῇς, φησὶ πρὸς αὐτὸν ὁ Δαρεῖος, ἀλλ' ἐπεὶ φοβῇ, ἔασον τοῦτο. Εἶτα στρέφει τὸν λόγον πρὸς τὴν Ἄτοσσαν, καί φησιν, ὦ εὐγενὲς γύναι ξύννομε καὶ ξυμμερίστρια τῶν ἐμῶν λέκτρων, παυσαμένη τῶνδε τῶν θρήνων, φανερόν τι μοὶ εἰπέ, ἵνα μάθω, ὃ πάσχετε.

παλαιῶν σοι φρενῶν] B. παλαιῶν φρενῶν τῶν πάλαι προσόντων σοι ὑπὲρ τῆς ἐμῆς αἰδοῦς λογισμῶν.

v. 703. ἀνθρώπεια δ' ἂν τοι] A. ὁ Δαρεῖος παραμυθούμενος τῇ αὐτοῦ γυναικί φησιν ὅτι πήματα τύχοι καὶ ἐπέλθοι οἷα πολλάκις ἐν τοῖς βροτοῖς. Ἢ οὕτως, ἀνθρώπινα καὶ οὐ καινὰ ἂν τοῖς βροτοῖς τύχοι καὶ ἐπέλθοι ἐν πήματι καὶ ἐν βλάβῃ. Ὡς γὰρ ἄνθρωποι πάσχουσι καὶ τὰ αὐτῶν πήματα, οὐ θεῖά τινα, ἀλλ' ἀνθρώπινα κέκληνται.

ἀνθρώπεια] B. ὑπάρχουσι. πήματα] αἱ δυςτυχίαι. βροτοῖς] διὸ μὴ ὑποσταλεῖσα λέγεις.

v. 704. πολλὰ μὲν γὰρ ἐκ θαλάσσης] A. πολλὰ μὲν γὰρ κακὰ ἐκ τῆς θαλάσσης καὶ τῆς γῆς τοῖς ἀνθρώποις ἐπέρχονται, ἢν ὁ μάσσων καὶ ὁ μείζων βίοτος ἐκταθῇ πρόσω ἤγουν ἐν μακρῷ τοῦ βίου χρόνῳ.

v. 705. μάσσων] B. ὁ μείζων. βίοτος] αὐτῶν. ταθῇ] προέλθῃ.

v. 706. ὑπερσχὼν] B. ὑπερβαλλόμενος. ὄλβον] εὐδαιμονίαν. πότμῳ] τύχῃ.

v. 707. ἕως] B. μέχρις.

v. 709. βάθος] B. πέλαγος.

v. 710. πάντα] B, ὃν βούλει.

v. 711. ὡς εἰπεῖν ἔπος] A. ὡς ἐν συντόμῳ λόγῳ περιλαβεῖν καὶ εἰπεῖν συλλήβδην πάντα. Ὡς καὶ παρὰ τῷ Εὐριπίδῃ· (Orest. 1.)

οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος.

v. 712. λοιμοῦ τις ἦλθε] A. ταραχὴ ἐμφύλιος πόλεμος. Ἀντὶ τοῦ φθορὰ εἶπε σκηπτόν· ὡς γὰρ ἐκεῖνος, εἴ τινος ἐπιδράττεται, καίει καὶ φθείρει καὶ ἀφανίζει· οὕτω καὶ ὁ λοιμός.

τίνι τρόπῳ] B. διαπεπόρθηται. τις ἦλθε σκηπτὸς] ἤγουν ἐπήλυσις δίκην σκήπτου ἐπιοῦσα. σκηπτὸς] ἀφανισμός. στάσις] μάχη.

v. 714. τίς δ' ἐμῶν ἐκεῖσε παίδων] A. Ἡρόδοτος (lib. VII. 2.) ζ' φησι Δαρείου παῖδας εἶναι, Ἑλλάνικος δὲ ιε'.

τίς δ' ἐμῶν] B. οὐ γὰρ μόνον τὸν Ξέρξην Δαρεῖος εἶχεν υἱὸν ἀλλὰ καὶ ἄλλους.

v. 715. ἠπείρου πλάκα] A. τῆς γῆς τὸ ἅπλωμα. Περιφραστικῶς δὲ τὴν γῆν τῶν Περσῶν φησὶ πᾶσαν.

θούριος] B. ὁρμητικὸς πρὸς πόλεμον.

v. 716. πεζὸς ἢ ναύτης] A. ἤτοι διὰ ξηρᾶς, ἢ διὰ θαλάσσης τήνδε τὴν πεῖραν ἐμώρανεν, ἀντὶ τοῦ μωρόν τινα καὶ ἀβούλως καὶ ἀπερισκέπτως ταύτην τὴν πεῖραν παρήγαγε. Τὴν πρὸς τοὺς Ἀθηναίους δέ φησιν ἐκστρατείαν.

πεῖραν] B. ἔργον. Τὸ πεῖραν τήνδ' ἐμώρανε τάλας εἰς ἀμφότερα λάμβανε, εἴς τε τὸ πεζός, καὶ εἰς τὸ ναύτης. Μωρία γὰρ ἦν ἀληθῶς τὸ πᾶσαν τὴν Ἀσίαν κενῶσαι ἀνδρῶν. ἐμώρανε] μετὰ μωρίας ἐποίησε.

v. 717. διπλοῦν μέτωπον] A. καὶ τάγμα δὲ ἦν διπλοῦν, ἤτοι πεζὸν καὶ ναυτικὸν καὶ διπλοῖ στρατηγοὶ καὶ ἡγεμόνες καὶ βασιλεῖς ἦσαν, καὶ τὰ ἀμφότερα κατά τε γῆν καὶ θάλασσαν.

διπλοῦν μέτωπον] B. Ἀφελὴς δοκεῖ ἡ τοιαύτη ἀπόκρισις· ἐπειδὴ γὰρ δύο στρατεύματα ἔμελλεν εἰπεῖν, περιττὸν ἦν τὸ διπλοῦν μέτωπον. Ἀνάγκη γὰρ τὰ δύο στρατεύματα καὶ δύο μέτωπα ἔχειν. δυοῖν] τῷ πεζῷ καὶ τῷ ναυτικῷ.

v. 718. ἤνυσεν] B. ἐδυνήθη, ἴσχυσεν.

v. 719. ὥστ' ἔχειν πόρον] A. ὥστε συνέχειν τὸν πόρον καὶ ἐπέχειν τὸ ὕδωρ.

δείομαι μὲν] B. ὀκνῶ τὸ σὸν θέλημα τελέσαι. Τὸ δέ ἐστι, μὴ ἔχειν ἐμὲ πρός σε ὑποστολήν. Ὀκνῶ δὲ λόγον πρὸς σὲ ἆραι, ἐπειδὴ μέλλω λέξειν δύςλεκτα καὶ κακόφημα καὶ δυςτυχῆ τοῖς φίλοις, ἤτοι ὑπὲρ τοῦ σοῦ υἱοῦ.

v. 700. ἀλλ' ἐπεὶ δέος] A. Εἰπόντος τοῦ χοροῦ πρὸς τὸν Δαρεῖον, ὅτι φοβοῦμαι μὲν τὰ κατὰ χάριν εἰπεῖν σοι ἵνα μὴ λυπηθῇς, φησὶ πρὸς αὐτὸν ὁ Δαρεῖος, ἀλλ' ἐπεὶ φοβῇ, ἔασον τοῦτο. Εἶτα στρέφει τὸν λόγον πρὸς τὴν Ἄτοσσαν, καί φησιν, ὦ εὐγενὲς γύναι ξύννομε καὶ ξυμμερίστρια τῶν ἐμῶν λέκτρων, παυσαμένη τῶνδε τῶν θρήνων, φανερόν τι μοὶ εἰπέ, ἵνα μάθω, ὁ πάσχετε.

παλαιῶν σοι φρενῶν] B. παλαιῶν φρενῶν τῶν πάλαι προσόντων σοι ὑπὲρ τῆς ἐμῆς αἰδοῦς λογισμῶν.

v. 703. ἀνθρώπεια δ' ἂν τοι] A. ὁ Δαρεῖος παραμυθούμενος τῇ αὐτοῦ γυναικί φησιν ὅτι πήματα τύχοι καὶ ἐπέλθοι οἷα πολλάκις ἐν τοῖς βροτοῖς. Ἢ οὕτως, ἀνθρώπινα καὶ οὐ καινὰ ἂν τοῖς βροτοῖς τύχοι καὶ ἐπέλθοι ἐν πήματι καὶ ἐν βλάβῃ. Ὡς γὰρ ἄνθρωποι πάσχουσι καὶ τὰ αὐτῶν πήματα, οὐ θεῖά τινα, ἀλλ' ἀνθρώπινα κέκληνται.

ἀνθρώπεια] B. ὑπάρχουσι. πήματα] αἱ δυςτυχίαι. βροτοῖς] διὸ μὴ ὑποσταλεῖσα λέγεις.

v. 704. πολλὰ μὲν γὰρ ἐκ θαλάσσης] A. πολλὰ μὲν γὰρ κακὰ ἐκ τῆς θαλάσσης καὶ τῆς γῆς τοῖς ἀνθρώποις ἐπέρχονται, ἢν ὁ μάσσων καὶ ὁ μείζων βίοτος ἐκταθῇ πρόσω ἤγουν ἐν μακρῷ τοῦ βίου χρόνῳ.

v. 705. μάσσων] B. μείζων. βίοτος] αὐτῶν. ταθῇ] προέλθῃ.

v. 706. ὑπερσχὼν] B. ὑπερβαλλόμενος. ὄλβον] εὐδαιμονίαν. πότμῳ] τύχῃ.

v. 707. ἕως] B. μέχρις.

v. 709. βάθος] B. πέλαγος.

v. 710. πάντα] B, ὃν βούλει.

ἐν τὸ ὡς ἔπος εἰπεῖν v. 711. ὡς εἰπεῖν ἔπος] A. ὡς ἐν συντόμῳ λόγῳ περιλαβεῖν καὶ εἰπεῖν συλλήβδην πάντα. Ὡς καὶ παρὰ τῷ Εὐριπίδῃ· (Orest. 1.)

οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος.

v. 712. λοιμοῦ τις ἦλθε] A. ταραχὴ ἐμφύλιος πόλεμος. Ἀντὶ τοῦ φθορὰ εἶπε σκηπτόν· ὡς γὰρ ἐκεῖνος, εἴ τινος ἐπιδράττεται, καίει καὶ φθείρει καὶ ἀφανίζει· οὕτω καὶ ὁ λοιμός.

τίνι τρόπῳ] B. διαπεπόρθηται. τις ἦλθε σκηπτὸς] ἤγουν ἐπήλυσις δίκην σκήπτου ἐπιοῦσα. σκηπτὸς] ἀφανισμός. στάσις] μάχη.

v. 714. τίς δ' ἐμῶν ἐκεῖσε παίδων] A. Ἡρόδοτος (lib. VII. 2.) ζ' φησὶ Δαρείου παῖδας εἶναι, Ἑλλάνικος δὲ ιϛ'.

τίς δ' ἐμῶν] B. οὐ γὰρ μόνον τὸν Ξέρξην Δαρεῖος εἶχεν υἱὸν ἀλλὰ καὶ ἄλλους.

v. 715. ἠπείρου πλάκα] A. τῆς γῆς τὸ ἅπλωμα. Περιφραστικῶς δὲ τὴν γῆν τῶν Περσῶν φησὶ πᾶσαν.

θούριος] B. ὁρμητικὸς πρὸς πόλεμον.

v. 716. πεζὸς ἢ ναύτης] A. ἤτοι διὰ ξηρᾶς, ἢ διὰ θαλάσσης τήνδε τὴν πεῖραν ἐμώρανεν, ἀντὶ τοῦ μωρὰν τινα καὶ ἀβούλως καὶ ἀπερισκέπτως ταύτην τὴν πεῖραν παρήγαγε. Τὴν πρὸς τοὺς Ἀθηναίους δέ φησιν ἐκστρατείαν.

πεῖραν] B. ἔργον. Τὸ πεῖραν τήνδ' ἐμώρανε τάλας εἰς ἀμφότερα λάμβανε, εἴς τε τὸ πεζός, καὶ εἰς τὸ ναύτης. Μωρία γὰρ ἦν ἀληθῶς τὸ πᾶσαν τὴν Ἀσίαν κενῶσαι ἀνδρῶν. ἐμώρανε] μετὰ μωρίας ἐποίησε.

v. 717. διπλοῦν μέτωπον] A. καὶ τάγμα δὲ ἦν διπλοῦν, ἤτοι πεζὸν καὶ ναυτικὸν καὶ διπλοῖ στρατηγοὶ καὶ ἡγεμόνες καὶ βασιλεῖς ἦσαν, καὶ τὰ ἀμφότερα κατά τε γῆν καὶ θάλασσαν.

διπλοῦν μέτωπον] B. Ἀφελὴς δοκεῖ ἡ τοιαύτη ἀπόκρισις· ἐπειδὴ γὰρ δύο στρατεύματα ἔμελλεν εἰπεῖν, περιττὸν ἦν τὸ διπλοῦν μέτωπον. Ἀνάγκη γὰρ τὰ δύο στρατεύματα καὶ δύο μέτωπα ἔχειν. δυοῖν] τῷ πεζῷ καὶ τῷ ναυτικῷ.

v. 718. ἤνυσεν] B. ἐδυνήθη, ἴσχυσεν.

v. 719. ὥστ' ἔχειν πόρον] A. ὥστε συνέχειν τὸν πόρον καὶ ἐπέχειν τὸ ὕδωρ.

X 2

v. 721. γνώμης δέ που] A. ἀντὶ τοῦ ἴσως καὶ συνήργησεν αὐτῷ τις δαίμων, καὶ ἐβοήθησε. Βόσπορον δὲ λέγει τὸν Ἑλλήσποντον.

που] B. ἴσως. δαιμόνων] ἔφορος κακῶν. συνήψατο] συνεπελάβετο.

v. 722. μέγας τις ἦλθε] B. εἰπούσης Ἀτόσσης, ὡς τῆς τοιαύτης βουλῆς θεός τις ἔφορος κακῶν αὐτῷ συνήψατο, καὶ πρὸς αὐτὴν ὥρμησε, θέλων αὐτὸν ἀπολέσαι, σχετλιάζων, ὁ Δαρεῖός φησι, μέγας τις δαίμων ἐπῆλθεν αὐτῷ, τουτέστιν ὁ ἐνσκήψας αὐτῷ βάσκανος δαίμων μέγας καὶ δεινὸς ἦν, ὥστε μὴ φρονεῖν τὸν Ξέρξην· καλῶς μετατρέπων αὐτοῦ τὸν νοῦν, καὶ ἃ αὐτὸν εἰς δυστυχίαν βαλεῖν ἔμελλε, ταῦτα ποιῶν αὐτὸν βουλεύεσθαι. ἦλθε] τῷ Ξέρξῃ. φρονεῖν] αὐτόν.

v. 723. ὡς ἰδεῖν] A. ὅπεῖον καὶ εἰς τέλος παρήγαγε, δεινόν τινα τῷ ὄντι ὄλεθρον.

ὡς ἰδεῖν] B. καὶ μέγας. ἤνυσε] ἔπραξε περὶ αὐτόν.

v. 724. πράξασιν] B. παθοῦσι.

v. 725. ναυτικὸς στρατὸς] A. τοῦτό φησιν, ὅτι ὁ τῶν Περσῶν στρατὸς ναυτικὸς ἀφανισθεὶς ἐν τῇ θαλάσσῃ παρὰ τῶν Ἑλλήνων, γέγονεν ἀπωλείας καὶ φθορᾶς αἴτιος καὶ τῷ πεζῷ στρατεύματι. Οἱ γὰρ Ἀθηναῖοι πρῶτον μὲν τοὺς ἐν τῇ θαλάσσῃ ἐνίκων Πέρσας, εἶθ' οὕτως πρὸς τοὺς πεζοὺς ἐφορμήσαντες, τούτους ἀπέκτεινον. Τῶν ναυτικῶν γὰρ φθαρέντων, οἱ ἐν Ψυτταλείᾳ Πέρσαι, (ἥτις ἐστὶ νῆσος τῇ Σαλαμῖνι περικειμένη,) εὐάλωτοι γεγόνασιν.

ναυτικὸς στρατὸς] B. τουτέστιν ἀπολωλεκότες Ἕλληνες πρῶτον τὸ ναυτικὸν Ξέρξου, ὕστερον ἐπὶ τὸ πεζὸν ὥρμησαν, δειλίᾳ κατασχεθὲν ὑπὸ τῆς τοῦ ναυτικοῦ συμφορᾶς. Ὥστε ἐπειδὴ πρῶτον αὐτοὶ ἀπώλλοντο καὶ τοὺς ἐν γῇ ἀπώλεσαν, φόβον εἰς αὐτοὺς ἐμβαλόντες ἐν ταῖς αὐτῶν συμφοραῖς, ὡς μετ' ὀλίγον αὐτοὶ ἀπολεσθήσονται. κακωθεὶς] ἡττηθείς, δυστυχήσας.

v. 726. παμπήδην] B. παντελῶς. δορὶ] τῶν Ἑλλήνων.

v. 727. πρὸς τάδ'] B. καί. ὡς] ὥστε.

v. 728. ὦ πόποι κεδνῆς ἀρωγῆς] B. Φεῦ ἕνεκα τῶν καλλίστων καὶ γενναιοτάτων ἀνδρῶν, οὓς ἀπώλεσε. Τὸ γὰρ κεδνῆς ἀρωγῆς καὶ ἐπικουρίας στρατοῦ οὐδὲν ἄλλο ἐστιν, ἢ τῶν φρονιμωτάτων καὶ πολεμικωτάτων ἀνδρῶν. Ὅτι δέ ἐστι τοῦτο μαρτυρεῖ καὶ τὸ οἵαν ἄρ' ἥβην ξυμμάχων ἀπώλεσε, ὃ προϊὼν λέγει.

κἀπικουρίας στρατοῦ] A. τῆς ἀπολομένης.

v. 729. Βακτρίων δ' ἔῤῥει] A. τῶν Βακτρίων δὲ ἔῤῥει καὶ ἐφθάρη πᾶς δῆμος πανώλης καὶ ἀνδρεῖος, καὶ πολεμικός, οὐδέ τις γέρων ἀπώλετο. Τοῦτ' ἔστι πάντες οἱ νέοι ἐφθάρησαν, οἱ δὲ γέροντες οὔ. Τοὺς γὰρ νέους μόνους ὁ Ξέρξης ἐστρατολόγησε, τοὺς δὲ γέροντας, ὡς ἀσθενεῖς ὄντας καὶ μὴ δυναμένους κινῆσαι ὅπλα κατέλειψε τῇ Περσίδι χώρᾳ ἐπιτηρητάς τε καὶ φύλακας.

πανώλης] B. πανώλεθρος. γέρων] ἔῤῥει, ἀλλὰ πᾶσα ἡ νεότης.

v. 731. μονάδα δὲ] A. μεμονωμένον δέ φασι τὸν Ξέρξην ἀπομεῖναι, καὶ ἔρημον οὐ μετὰ πολλῶν ἀνδρῶν διαπεράσαι τὸν Ἑλλήσποντον, τὴν ζευκτηρίαν δηλαδὴ τὴν ἐν δυοῖν μέρεσι κειμένην, καὶ συζευγνῦσαν αὐτά· λέγει δὲ τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην.

μονάδα δὲ] B. μεμονωμένον· τοῦτο δὲ λέγει οὐχ ὡς μόνου Ξέρξου σωθέντος, ἀλλ' ἐπειδὴ μετ' ὀλίγων πάνυ ὑπέστρεψε, διὰ τοῦτο μονάδα φησὶν ὁ ἄγγελος.

v. 732. πῶς τε δὴ καὶ πῇ] A. ἐν ἐρωτήσει. τελευτᾷν ἐστι] διαπράττεσθαι.

ποῖ τελευτᾷ] B. ἀπολέλειπται ἐκεῖνος. σωτηρία] αὐτῷ.

v. 733. γέφυραν ἐν δυοῖν ζευκτηρίαν] A. τὸν Ἑλλήσποντον, ὃς ζεύγνυσιν Ἀσίαν καὶ Εὐρώπην.

ἄσμενον μολεῖν] B. φησὶν ὁ ἄγγελος. ἐν δυοῖν ζευκτηρίαν] ἤτοι τὸ ἐν Ἀσίᾳ καὶ Εὐρώπῃ ζεῦγμα. Τὸν γὰρ Ἑλλήσποντον, ὅστις ἐστιν ὅρος τῶν δυὸ ἠπείρων, ἔζευξεν.

v. 734. τήνδε] B. τὴν Ἀσίαν. ἐτήτυμον] ἀληθές ἐστι.

v. 735. οὐκ ἔνι στάσις] A. ἀμφιβολία· τοῦτο οὐκ ἄδηλον.

σαφηνὴς] B. ἀληθής. στάσις] ἀμφιβολία.

v. 736. φεῦ ταχεῖα] A. ὡς τοῦ Δαρείου εἰπόντος καὶ οἷον προμαντευσαμένου τὸν Ξέρξην ἀποβαλεῖν πολὺν λαόν.

ταχεῖα γ' ἦλθε χρησμῶν πρᾶξις] B. ταχέως ἐπράχθησαν οἱ χρησμοὶ οὓς αὐτὸς ζῶν ἐδεξάμην.

v. 737. τελευτὴν] B. τέλος.

v. 738. ηὔχουν] B. ἐθάῤῥουν. ἐκτελευτῆσαι] ἐκτελέσαι.

v. 739. ἀλλ' ὅταν] A. ὅταν σπεύδῃ τὶς ἢ εἰς καλὰ, ἢ εἰς κακά, ὁ θεὸς αὐτοῦ ἐπιλαμβάνεται· ἢ, ὅταν ἐπὶ τὰ χείρω ἐπείγηται, τότε συνεφάπτεται καὶ συνάπτεται αὐτῷ καὶ ἡ Ἐριννὺς ἡ τιμωρητική, καὶ ἡ ἔφορος τῶν κακῶν θεός.

σπεύδῃ] B. πρὸς τὸ κακὸν ἢ πρὸς τὸ καλὸν· τὸ ἐὰν σπεύδῃ τις εἰς κακόν, καὶ ὁ θεὸς συνάπτεται αὐτῷ τῆς σπουδῆς. Τὸ δὲ νέῳ ἀντὶ τοῦ νηπιώδει, ἢ τὸ τάδε ἀντὶ τοῦ τὰ παρόντα κακά. Ὅπερ εἰ οὕτως εἴποις νοήσεις τὸ οὐ κατειδὼς οὕτως, ἀντὶ τοῦ οὐ γινώσκων. Τὸ ἐάν τις πρὸς τὸ κακὸν σπεύδῃ, καὶ ὁ θεὸς αὐτῷ τῆς σπουδῆς συνάπτεται, ἤνυσε τὰ παρόντα κακά.

v. 740. νῦν κακῶν] A. ἔοικεν εὑρεθῆναι τοῖς φίλοις ἅπασιν ἐμοῦ ἡ τῶν κακῶν πηγή. Ἄλλως. Ὡς ἡ πηγὴ τὸ μὲν δίδωσιν, ἄλλο δ' ἀναβλύζει.

v. 742. ὅστις Ἑλλήσποντον] A. ὅστις ὁ Ξέρξης ἤλπισε σχήσειν καὶ κρατήσειν ὡς δοῦλον καὶ ἐν δεσμοῖς τὸν ἱερὸν Ἑλλήσποντον. Ἱερὸν δὲ τοῦτόν φησι, διὰ τὸ ἱδρῦσθαι αὐτόθι Διὸς ἱερόν, ὡς Μνασέας φησίν. Ἢ τὸν ἀνειμένον ἀκωλύτως ὡς τὸν ἱερὸν ἰχθὺν φέρεσθαι.

ἱρὸν] B. θεῖον. δοῦλον ὡς] τοὺς γὰρ δούλους δεσμεῦσιν οἱ δεσπόται.

v. 743. σχήσειν] B. καθέξειν, κωλύσειν. ῥέοντα Βόσπορον] Ἑλλήσποντον καὶ Βόσπορον τὸν αὐτὸν καλεῖ, ἀπὸ μὲν Ἕλλης Ἑλλήσποντον, ἀπὸ δὲ τῆς Ἰοῦς βοὸς γενο-

μένης· Βόσπορον. Τὸ δὲ θεοῦ ἤτοι τοῦ Ἑλλησπόντου, ὥσπερ ἀρτίως καὶ ἱερὸν ἐκάλεσε, διὰ τὸ πολλὰς καὶ καλλίστας νήσους αὐτὸν περιέχειν, καὶ εἶναι ἐν αὐτῷ τοὺς Ἕλληνας.

v. 744. καὶ πόρον μετερρύθμιζε] A. καὶ τὸν τῆς θαλάσσης πόρον μετέπλαττε καὶ εἰς ξηρὰν μετέβαλλε, καὶ τὸν Ἑλλήσποντον δεσμοῖς σιδηροῖς περιβαλών, ἤτοι γέφυραν ἐν αὐτῷ διὰ σιδήρου ἐργασάμενος, πολλὴν καὶ μακρὰν κέλευθον καὶ ὁδὸν ἐπλήρωσε καὶ ἐποίησε τῷ στρατεύματι, ἄνθρωπος ὤν· ᾤετο δὲ καὶ ὑπελάμβανε, καὶ ἐνόμιζεν οὐκ ἐν εὐβουλίᾳ, ἀλλ' ἀβούλως καὶ μωρῶς κρατήσειν πάντων τῶν θεῶν καὶ τοῦ Ποσειδῶνος αὐτοῦ, ὃς κύριος τῆς θαλάσσης ἐστί.

πόρον] B. τὴν θαλασσίαν ὁδόν. μετερρύθμιζε] μετέβαλεν εἰς γῆν. πέδαις] ταῖς ἁλύσεσιν αἷς συνέδησε τὰς ναῦς.

v. 745. ἤνυσε] B. εἰργάσατο.

v. 746. θνητὸς ὢν] B. θεοῦ γὰρ τὸ τοιοῦτον ἔργον. εὐβουλίᾳ] τῇ αὐτοῦ.

v. 747. κρατήσειν] B. κυριεύσειν. πῶς τάδ'] ἃ ἐποίησε.

v. 748. δέδοικα μὴ πολὺς] A. Φοβοῦμαι, φησί, μὴ ὁ πολὺς πλοῦτος ὁ ἀπὸ τοῦ ἐμοῦ πόνου κατορθωθεὶς ἁρπαγὴ* ὑπὸ τοῦ Φθάσαντος, ἤτοι καταλαβόντος.

* ὁ ἐμὸς interlin. τοῦ καταλαβόντος.

πολὺς πλούτου πόνος] B. ἤγουν ὃν ποιήσας πολὺν πλοῦτον συνέλεξα.

v. 749. ἀνθρώποις] B. ἀποροῦσιν ἐνταῦθα πῶς δοτικὴν λέγων τὸ ἀνθρώποις, καὶ δέον τῷ Φθάσαντι εἰπεῖν, ὁ δὲ οὐχ οὕτως ἀλλὰ πρὸς γενικὴν τοῦτο ἐπήνεγκεν, ἀντὶ τοῦ φθάσαντι, Φθάσαντος εἰπών. Καὶ φαμέν, ὅτι ἐποίκιλλε τὴν σύνταξιν. Ἐπειδὴ γὰρ ἀμφότερα λέγομεν, καὶ ἐγένετο τῷ δεῖνα ὁ ἐμὸς πλοῦτος ἁρπαγή, καὶ ἐγένετο τοῦ δεῖνος ἁρπαγή, συντάσσοντες καὶ πρὸς γενικὴν καὶ πρὸς δοτικὴν τὸ γένηται, διὰ τοῦτο καὶ ὁ Αἰσχύλος τῷ διπλῷ τῆς συντάξεως τὸν λόγον ἐποίκιλλεν.

v. 750. ταῦτα τοῖς κακοῖς ὁμιλῶν] A. ταῦτα διδάσκεται ὁ θούριος καὶ ὁ ὁρμητικὸς πρὸς τὸν πόλεμον Ξέρξης, ὁμιλῶν τοῖς κακοῖς ἀνδράσι. Λέγουσι γάρ αὐτῷ· (ὁ γὰρ ΔΕ΄ σύνδεσμος, ἀντὶ τοῦ γάρ, ἢ περισσὸς ὁ ΔΕ΄·) ὅτι σὺ μὲν ὄλβον ἐκτήσω μέγαν τέκνοις, καὶ ἐν ἀνδραγαθίαις· τοῦτον δὲ ὑπ' ἀνανδρίας ἔνδον τῆς οἰκίας κινεῖν τὸ δόρυ· τὸν ὄλβον δὲ τὸν πατρικὸν μὴ αὐξάνειν.

v. 753. ἔνδον] B. τοῦ οἴκου. αἰχμάζειν] ἀφανίζειν.

v. 756. τοίγαρ σφιν] A. τοιγαροῦν σφὶν καὶ αὐτοῖς τοῖς τῷ Ξέρξῃ συμβουλεύσασι ταῦτα καὶ προτρέψασιν, ἔργον ἐστὶν ἐξειργασμένον εἰς φθορὰν χωρῆσαν.

σφὶν] B. τούτοις τοῖς συμβούλοις. ἔργον] ἡ τούτου καταβολή.

τοίγαρ σφιν ἔργον] Γ. διπλῆ ἑτέρα ἐχομένη τῆς προτέρας διπλῆς. Οἱ δὲ στίχοι εἰσιν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ἐννενήκοντα τρεῖς, ὧν τελευταῖος·

οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν.

v. 758. ἐξεκείνωσεν πεσὸν] A. ἔργον οἷον οὐδέπω, πεσὸν δίκην κύβου· τὰ πράγματα γὰρ κατὰ κύβον πίπτουσιν· ἐξεκένωσε τάδε τὸ ἄστυ. Ἔργον δέ, οἷον οὐδέπω γέγονεν ἐξ οὗτε καὶ ἀφ' οὗ καιροῦ ὁ Ζεὺς ὤπασε καὶ παρέσχε καὶ ἔδωκε ταύτην τὴν τιμήν, τοῦτ' ἔστι τὸ ταγεῖν καὶ ἡγεμονεύειν καὶ βασιλεύειν ἕνα ἄνδρα πάσης Ἀσίας.

πεσὸν] B. τὸ πέσσον εἰ μὲν διὰ δύο σσ γράψεις, πρὸς τὸ ἔργον συνάψεις, τὸ δίκην κύβου τὰ πράγματα ταράξαν· ἔστι γὰρ ἀπὸ τοῦ πεσσάω πέσσον εἰς δεύτερον ἀόριστον· εἰ δὲ δι' ἑνὸς σ, πρὸς τὸ ἄστυ συντάξεις· νόει δὲ ἀντὶ τοῦ δυστυχῆσαν· Πτῶσις γάρ ἐστιν ἡ δυστυχία.

v. 760. μηλοτρόφου] B. γράφεται καὶ μιτρολόφου· ἤτοι πολεμικωτάτης, ἀπὸ μέρους τὸ πᾶν.

v. 761. εὐθυντήριον] B. διεξαγωγόν.

v. 762. στρατοῦ] B. τοῦ Περσικοῦ.

v. 763. ἄλλος δ' ἐκείνου παῖς] A. τὸν Ἀρταφρένην φησί, περὶ οὗ παρακατιὼν λέγει, φρένες γὰρ αὐτοῦ θυμὸν οἰακοστρόφουν, ἐτυμολογῶν αὐτοῦ τὸ ὄνομα. Ἀρταφρένης γὰρ ἐξ ἐτυμολογίας λέγεται ὁ τὰς φρένας ἔχων ἀρτίας καὶ ἀκεραίας.

παῖς] B. Ἀρταφρένης. τόδ' ἔργον] τὸ βασιλεύειν. ἤνυσε] κατώρθωσε.

v. 764. φρένες γὰρ] B. ἤγουν μετὰ συνέσεως πᾶν τὸ τῆς ψυχῆς αὐτοῦ βούλημα ἐξετέλει. οἰακοστρόφουν] ἐκυβέρνων.

v. 766. πᾶσιν εἰρήνην] B. τελείως γὰρ οὗτος τὰ τῆς βασιλείας κατέστησε πράγματα, ὡς μηδένα ἔχειν τὸν ἀνθιστάμενον.

v. 768. ἤλασεν βίᾳ] A. συνήγαγεν τῇ ἰδίᾳ δυνάμει. ἤλασε] B. ἐκτήσατο.

v. 769. ἤχθηρεν] B. ἐμίσησεν. ὡς] ἐπεί.

v. 770. Κύρου δὲ παῖς] A. Κύρου δὲ υἱός ὁ Καμβύσης, ἀδελφὸς δέ, κατὰ Ἑλλάνικον, Μαρφίου καὶ Μέμφιδος.

παῖς] B. ὁ Καμβύσης.

v. 771. πέμπτος δὲ Μάρδος] A. ἡ γραφὴ ἡμάρτηται. Τὸν γὰρ ἐπιθέμενον τῇ Καμβύσου ἀρχῇ μάγον ὄντα οὐδεὶς Μάρδον εἶπεν, οὔτε γένος, οὔτε ὄνομα. Μήποτε οὖν γραπτέον· Μάρδις αἰσχύνη πάτρᾳ· Μάγος ἦν ὁ τῆς ἀρχῆς ἐπιλαβόμενος, ἢ ἴσως ὁμώνυμος ὑπεκρίνετο εἶναι Μερδίᾳ τῷ τοῦ Κύρου παιδί, ἀδελφῷ τε Καμβύσου. Αἰσχύνη δὲ πάτρᾳ, εἶπεν, ὅτι μάγος ὢν ἐξέσπασε τὴν τῶν Περσῶν ἀρχὴν εἰς μάγους. Ἐπειδὴ γὰρ οἱ Πέρσαι πάντα τῇ βουλῇ διεπράττοντο, ὁ Καμβύσης ἤδη πρὸς ἐκστρατείαν ἀπαίρων τοὺς αὐτοῦ μάγους δύο ὄντας ἐν τοῖς βασιλείοις κατέλιπεν, οἳ τῇ ἐρημώσει τῶν τῆς πόλεως ἀνδρῶν ἦρξαν τῆς βασιλείας. Ἀρταφρένης καὶ Δαρεῖος, οὐχ ὁ τοῦ Ξέρξου πατήρ, ἀλλ' ἕτερος. Καὶ ἄλλοι τινὲς φίλοι αὐτῶν τῆς ἀρχῆς αὐτοὺς καταβιβάσαι συνεβουλεύσαντο. Καταγαγόντες δὲ αὐτοὺς ἤριζον περὶ τῆς βασιλείας. Οἱ μὲν οὖν ἄλλοι ταύτην λαβεῖν ἀπείπαντο, φήσαντες ἐλευθέρους ἑαυτοὺς εἶναι βουλεύεσθαι,

καὶ μήτε ἄρχειν μήτε ἄρχεσθαι καὶ ἀπολαύειν τῶν τῆς ἀρχῆς δεινῶν. Ἀρταφρένης δὲ καὶ Δαρεῖος ἆθλον ἔθεντο τὸ μεθ' ἵππων δραμεῖν, οὕτινος δ' ἵππος πρὸς τὴν νύσσαν ἐλθὼν χρεμετίσειε, πάντως αὐτὸς καὶ τῆς ἀρχῆς ἐπιλάβηται. Ὁ οὖν Δαρεῖος τῷ ἱπποκόμῳ αὐτοῦ περὶ τούτου ἀνεκοινώσατο. Οὗτος δὲ χιτῶνα λαβὼν, καὶ τῷ τῆς θηλείας προστρίψας μορίῳ δέδωκεν αὐτῷ ἐπειπών· ἣν δ' ἂν ὥραν ὁ ἵππος τῇ νύσσῃ προσεγγίσῃ, τηνικαῦτα στήσας αὐτόν, τῷ μυκτῆρι αὐτοῦ τὸν χιτῶνα προσάγαγε, καὶ οὗτος τῆς ὀδμῆς τῆς θηλείας αἰσθανόμενος χρεμετίσει. Ὃ καὶ πεποίηκε κατὰ κράτος νικήσας τῆς ἀρχῆς ἐπελάβετο. Τινὲς δὲ οὕτος φασὶ γενέσθαι, ὅτι κατὰ τὸν καιρὸν τῆς νυκτὸς ὁ ἱπποκόμος ἐν τῷ καμπτῷ φοράδα στήσας διῆγε τὸν ἵππον καὶ συνουσιάζετο. Οὗτος δὲ καὶ κατὰ τὴν ἡμέραν ἐν τῷ καιρῷ τοῦ ἄθλου ἐκεῖσε γεγονὼς τῆς θηλείας ἐμνήσθη, καὶ οὕτως ἐχρεμέτισε.

v. 772. θρόνοισί τ' ἀρχαίοισι] B. ἤγουν τῇ ἀρχαίᾳ τῶν Περσῶν βασιλείᾳ.

v. 773. Ἀρταφρένης] A. τοῦτον Ἑλλάνικος Δαφέρνην καλεῖ.

v. 774. χρέος] B. τὸ φονεῦσαι αὐτόν· ὤφειλον γὰρ τῷ Ἀρταφρένῃ, ὡς φίλοι, πρὸς πάνθ' ὑπηρετεῖν αὐτῷ.

ὁ δεσπότης τὸ δὲ νῦν: v. 776. κἀγὼ πάλου δ' ἔκυρσα τοῦπερ] A. κακῶς τοῦτο εἶπε. Μετὰ γὰρ τὴν τῶν Μάγων καθαίρεσιν Δαρεῖος ὁ μέγας ἦρξεν, ὅτε οἱ ἑπτὰ στρατηγοὶ τοῦ Καμβύσου ὤμοσαν ἀναιρεθῆναι τὸν μάγον τὸν ὑποκρινόμενον τῷ ὀνόματι Μάρδου.

κἀγὼ πάλου δ' ἔκυρσα] B. τοῦ κλήρου ἐπέτυχον.

v. 778. πόλει] B. τοῖς Σούσοις.

v. 780. ἐπιστολὰς] B. καὶ παραινέσεις καὶ συμβουλάς.

v. 781. εὖ γὰρ] A. καλῶς γινώσκετε τοῦτο, ὦ ἐμοὶ συνήλικες Πέρσαι, ὅτι ἅπαντες ἡμεῖς οἱ κράτη τάγε ἔσχομεν, ἤγουν οἱ προτοῦ βασιλεύσαντες οὐκ ἂν ἐφάνημεν πράξαντες τοσαύτην βλάβην τῶν Περσῶν, ὅσην νῦν ὁ Ξέρξης ἐποίησε. ... ὅσα νῦν

v. 784. καταστρέφεις] B. καθιστᾷς.

v. 785. λόγων τελευτὴν] B. ἤγουν εἴς τι τῶν σῶν λόγων τέλος καθιστᾷς. ἐκ τούτων] ὧν λέγεις. ἔτι] εἰς τὸ ἑξῆς.

v. 788. πλεῖόν ἢ] B. μηδ' εἰ πλείονα τῆς τῶν Περσῶν στρατιᾶς κτήσεσθε.

v. 789. αὐτὴ γὰρ ἡ γῆ] A. αὐτὴ γὰρ ἡ Ἑλλὰς ἢ Ἀτθὶς συμμαχεῖ ἐκείνοις τοῖς Ἕλλησιν, διὰ τὸ μὴ ἔχειν καρποὺς αὐτάρκεις, ὥστε τοὺς ἐναντίους ἀποτρέπεσθαι. Ἡ γῆ, φησί, κτείνουσα λιμῷ τοὺς πολυΐππους Πέρσας.

ἡ γῆ] B. ἡ Ἑλληνική.

v. 791. κτείνουσα λιμῷ] B. σίτου γὰρ σπάνιν καὶ τῶν ἄλλων ἀναγκαίων ἔχει.

v. 792. εὐσταλῆ] A. εὔμιτρον.

εὐσταλῆ καὶ λεκτὸν] B. εὐσύνοπτον καὶ ἐκλελεγμένον.

v. 793. ἀλλ' οὐδ' ὁ μείνας] A. ἀλλ' οὐδ' ὁ καταλειφθεὶς στρατὸς τῷ Μαρδονίῳ καὶ αἱ τριάκοντα μυριάδες ὑποστρέψουσιν εἰς τὴν πατρίδα, καὶ πῶς λέγουσιν ἀποστεῖλαι πάλιν ἕτερον στρατόν; Τοῦτο δὲ εἶπε, τὴν παντελῆ σημαίνων ἀπώλειαν τῶν Περσῶν. Ὁ γὰρ Μάρδων ἐπεδέξατο λ' μυριάδας τὸ ἔκκριτον μέρος τοῦ στρατοῦ, ἃς ἐπ' ἐλπίσι κεναῖς ὁ Ξέρξης κατέλειψεν.

ὁ μείνας] B. μετὰ Μαρδονίου.

v. 797. παῦροι] B. ὀλίγοι.

v. 798. χρὴ θεσφάτοισιν ἐς τὰ νῦν πεπραγμένα βλέψαντα] A. ἀφ' ὧν ταῦτα ἐτελέσθη, κἀκεῖνα συμβήσεσθαι στοχάζομαι.

θεσφάτοισιν] B. τοῖς πάλαι περὶ ταύτης τῆς ἥττης δοθεῖσί μοι χρησμοῖς.

v. 799. συμβαίνει γὰρ οὐ τὰ μέν, τὰ δ' οὔ] A. οὐ γὰρ τὰ μὲν τοῖς ἀνθρώποις συμβαίνει, τὰ δ' οὔ· ἀλλὰ πάντα ὅσα βροτοῖς παθεῖν πέπρωται, ἐπισυμβαίνει αὐτοῖς. Ἄλλως. Οὐ γὰρ τὰ μὲν συμβαίνει ἀφ' ὧν ταῦτα ἐτελέσθη, κἀκεῖνα συμβήσεται. Οὐχὶ τινὰ μὲν συμβαίνει ἐκ θελήματος τῶν θεῶν, τὰ δὲ οὔ· ἀλλ' ὅσα ὑπὸ θεῶν διϊθύνονται βουλεύματα τῶν ἀνθρώπων, τελειοῦται, ὅσα δὲ οὔ, οὐ τελειοῦται.

καὶ μήτε ἄρχειν μήτε ἄρχεσθαι καὶ ἀπολαύειν τῶν τῆς ἀρχῆς δεινῶν. Ἀρταφρένης δὲ καὶ Δαρεῖος ἆθλον ἔθεντο τὸ μεθ' ἵππων δραμεῖν, οὗτινος δ' ἵππος πρὸς τὴν νύσσαν ἐλθὼν χρεμετίσειε, πάντως αὐτὸς καὶ τῆς ἀρχῆς ἐπιλάβηται. Ὁ οὖν Δαρεῖος τῷ ἱπποκόμῳ αὐτοῦ περὶ τούτου ἀνεκοινώσατο. Οὗτος δὲ χιτῶνα λαβὼν, καὶ τῷ τῆς θηλείας προστρίψας μορίῳ δέδωκεν αὐτῷ ἐπειπών· ἣν δ' ἂν ὥραν ὁ ἵππος τῇ νύσσῃ προσεγγίσῃ, τηνικαῦτα στήσας αὐτὸν, τῷ μυκτῆρι αὐτοῦ τὸν χιτῶνα προσάγαγε, καὶ οὗτος τῆς ὀδμῆς τῆς θηλείας αἰσθανόμενος χρεμετίσει. Ὃ καὶ πεποίηκε κατὰ κράτος νικήσας τῆς ἀρχῆς ἐπελάβετο. Τινὲς δὲ οὕτως φασὶ γενέσθαι, ὅτι κατὰ τὸν καιρὸν τῆς νυκτὸς ὁ ἱπποκόμος ἐν τῷ καμπτῷ φοράδα στήσας διῆγε τὸν ἵππον καὶ συνουσιάζετο. Οὗτος δὲ καὶ κατὰ τὴν ἡμέραν ἐν τῷ καιρῷ τοῦ ἄθλου ἐκεῖσε γεγονὼς τῆς θηλείας ἐμνήσθη, καὶ οὕτως ἐχρεμέτισε.

v. 772. θρόνοισί τ' ἀρχαίοισι] B. ἤγουν τῇ ἀρχαίᾳ τῶν Περσῶν βασιλείᾳ.

v. 773. Ἀρταφρένης] A. τοῦτον Ἑλλάνικος Δαφέρνην καλεῖ.

v. 774. χρέος] B. τὸ φονεῦσαι αὐτόν· Ὤφειλον γὰρ τῷ Ἀρταφρένῃ, ὡς φίλοι, πρὸς πάνθ' ὑπηρετεῖν αὐτῷ.

v. 776. κἀγὼ πάλου δ' ἔκυρσα τοῦπερ] A. κακῶς τοῦτο εἶπε. Μετὰ γὰρ τὴν τῶν Μάγων καθαίρεσιν Δαρεῖος ὁ μέγας ἦρξεν, ὅτε οἱ ἑπτὰ στρατηγοὶ τοῦ Καμβύσου ὤμοσαν ἀναιρεθῆναι τὸν μάγον τὸν ὑποκρινόμενον τῷ ὀνόματι Μάρδου.

κἀγὼ πάλου δ' ἔκυρσα] B. τοῦ κλήρου ἐπέτυχον.

v. 778. πόλει] B. τοῖς Σουσοις.

v. 780. ἐπιστολὰς] B. καὶ παραινέσεις καὶ συμβουλάς.

v. 781. εὖ γὰρ] A. καλῶς γινώσκετε τοῦτο, ὦ ἐμοὶ συνήλικες Πέρσαι, ὅτι ἅπαντες ἡμεῖς οἱ κράτη τάγε ἔσχομεν, ἤγουν οἱ πρότου βασιλεύσαντες οὐκ ἂν ἐφάνημεν πράξαντες τοσαύτην βλάβην τῶν Περσῶν, ὅσην νῦν ὁ Ξέρξης ἐποίησε.

v. 784. καταστρέφεις] B. καθιστᾷς.

v. 785. λόγων τελευτὴν] B. ἤγουν εἴς τι τῶν σῶν λόγων τέλος καθιστᾷς. ἐκ τούτων] ὧν λέγεις. ἔτι] εἰς τὸ ἑξῆς.

v. 788. πλεῖον ᾖ] B. μηδ' εἰ πλείονα τῆς τῶν Περσῶν στρατιᾶς κτήσεσθε.

v. 789. αὐτὴ γὰρ ἡ γῆ] A. αὐτὴ γὰρ ἡ Ἑλλὰς ἢ ἡ Ἀτθὶς συμμαχεῖ ἐκείνοις τοῖς Ἕλλησιν, διὰ τὸ μὴ ἔχειν καρπους αὐτάρκεις, ὥστε τοὺς ἐναντίους ἀποτρέπεσθαι. Ἡ γῆ, φησί, κτείνουσα λιμῷ τοὺς πολυΐππους Πέρσας.

ἡ γῆ] B. ἡ Ἑλληνική.

v. 791. κτείνουσα λιμῷ] B. σίτου γὰρ σπάνιν καὶ τῶν ἄλλων ἀναγκαίων ἔχει.

v. 792. εὐσταλῆ] A. εὔμετρον.

εὐσταλῆ καὶ λεκτὸν] B. εὐσύνοπτον καὶ ἐκλελεγμένον.

v. 793. ἀλλ' οὐδ' ὁ μείνας] A. ἀλλ' οὐδ' ὁ καταλειφθεὶς στρατὸς τῷ Μαρδονίῳ καὶ αἱ τριάκοντα μυριάδες ὑποστρέψουσιν εἰς τὴν πατρίδα, καὶ πῶς λέγουσιν ἀποστεῖλαι πάλιν ἕτερον στρατόν; Τοῦτο δὲ εἶπε, τὴν παντελῆ σημαίνων ἀπώλειαν τῶν Περσῶν. Ὁ γὰρ Μάρδων ἐπεδέξατο λ' μυριάδας τὸ ἔκκριτον μέρος τοῦ στρατοῦ, ἃς ἐπ' ἐλπίσι κεναῖς ὁ Ξέρξης κατέλειψεν.

ὁ μείνας] B. μετὰ Μαρδονίου.

v. 797. παῦροι] B. ὀλίγοι.

v. 798. χρὴ θεσφάτοισιν ἐς τὰ νῦν πεπραγμένα βλέψαντα] A. ἀφ' ὧν ταῦτα ἐτελέσθη, κἀκεῖνα συμβήσεσθαι στοχάζομαι.

θεσφάτοισιν] B. τοῖς πάλαι περὶ ταύτης τῆς ἥττης δοθεῖσί μοι χρησμοῖς.

v. 799. συμβαίνει γὰρ οὐ τὰ μέν, τὰ δ' οὔ] A. οὐ γὰρ τὰ μὲν τοῖς ἀνθρώποις συμβαίνει, τὰ δ' οὔ· ἀλλὰ πάντα ὅσα βροτοῖς παθεῖν πέπρωται, ἐπισυμβαίνει αὐτοῖς. Ἄλλως. Οὐ γὰρ τὰ μὲν συμβαίνει ἀφ' ὧν ταῦτα ἐτελέσθη, κἀκεῖνα συμβήσεται. Οὐχὶ τινὰ μὲν συμβαίνει ἐκ θελήματος τῶν θεῶν, τὰ δὲ οὔ· ἀλλ' ὅσα ὑπὸ θεῶν διιθύνονται βουλεύματα τῶν ἀνθρώπων, τελειοῦται, ὅσα δὲ οὔ, οὐ τελειοῦται.

Τοῦτο δὲ εἶπε διὰ τοὺς χρησμοὺς τοὺς κειμένους μὴ ἀπελθεῖν εἰς Ἑλλάδα.

v. 800. κεἴπερ τάδ' ἐστί, πλῆθος ἔκκριτον] A. καὶ ἐάν περ τάδε τὰ πεπραγμένα ἀληθῆ τυγχάνωσιν, λείπει καὶ τὸ ἔκκριτον πλῆθος τοῦ βαρβάρου στρατοῦ. Ἀντὶ τοῦ οἴχεται καὶ θνήσκει. Εἶτα ἐξ οὐδετέρου πρὸς ἀρσενικὸν τὸν λόγον ἔτρεψεν, εἰπών, πεπεισμένος οὗτος ὁ στρατὸς ἐν κεναῖς ἐλπίσι. Πέπρωται γὰρ αὐτὸν ἐκεῖ θανεῖν. Ἢ λείπει καὶ ἀφίησιν ὁ Ξέρξης ἐν Ψυτταλείᾳ τὸ τοῦ στρατοῦ ἔκκριτον πλῆθος, πεπεισμένος ματαίαις ἐλπίσι.

κεἴπερ τάδ' ἐστί] B. ἤγουν εἴπερ τοῦτο οὕτως ἔχει, ὡς πάντα τὰ τῶν χρησμῶν πληροῦται.

v. 801. λείπει] B. καταλιμπάνει ὁ Ξέρξης ἐκεῖσε. κεναῖσιν ἐλπίσιν] ματαίαις ἐλπίσιν ὡς ἂν διὰ τοῦ πεζοῦ τὴν Ἑλλάδα χειρώσηται.

v. 802. μίμνουσι δ' ἔνθα] A. ὁ φίλος Ἀσωπὸς τὸ πίασμα τῇ Βοιωτῶν χθονὶ καὶ τῇ γῇ, ἤγουν τὸ λίπασμα τὸ πιαῖνον καὶ τρέφον αὐτὴν ἄρδει τὸ πεδίον καὶ τὴν γῆν. Ἀντὶ τοῦ, ἔνθα ὁ Ἀσωπὸς λιπαίνει τὴν Βοιωτίαν.

v. 803. φίλον πίασμα] B. προσφιλὲς τοῖς ἐκεῖσε πότισμα.

v. 804. οὗ σφιν κακῶν ὕψιστα] A. τὴν ἐν Πλαταιαῖς πεζομαχίαν φησίν, ἣν πρὸς Λάκωνας ἡσσήθησαν.

v. 805. ὕβρεως ἄποινα] A. ἐνεπίμπρασαν γὰρ τὰ ἱερά.

ὕβρεως] B. τῆς κατὰ τῶν ἱερῶν καὶ τῶν ἄλλων. ἄποινα] ἀμοιβάς. κἀθέων φρονημάτων] ἐπειδὴ ἀσεβὲς φρόνημα εἶχον, ἅτε ἱερὰ ἐμπιμπρῶντες καὶ τοὺς τάφους ἀνασκευάζοντες. Γράφεται καὶ δ ω ρ η μ ά τ ω ν ἤγουν ἃ ἀθέως τῇ Ἑλλάδι ἐπήγαγον.

v. 806. συλᾶν] B. πορθεῖν καὶ ἀφανίζειν.

v. 807. ἄϊστοι] B. ἀφανεῖς. ἱδρύματα] κατοικίαι.

v. 808. φύρδην] B. ὁμοῦ.

v. 809. κοὐδέπω κακῶν] A. ἡ τῶν κακῶν οὖν κρηπὶς καὶ ὑποβάθρα καὶ θεμέλιος καὶ ὁ ἑσμὸς οὐδέπω ὑπέστη καὶ εἰς τέλος κατήντησεν, ἀλλ' ἔτι ἐκπαιδεύεται καὶ αὔξεται τὰ δεινά.

v. 810. κρηπὶς] B. στάσις καὶ τέλος. ἐκπαιδεύεται] εἰς παιδείαν ἐκείνων αὐξάνεται τὰ κακά.

v. 811. πέλανος] B. ῥῦπος.

v. 814. Δωρίδος] A. Λακωνικῆς.

Δωρίδος] B. τῆς Πελοποννησιακῆς.

v. 815. θῖνες δὲ νεκρῶν] A. οἱ θῖνες δὲ καὶ οἱ σωροὶ τῶν νεκρῶν καίπερ φωνὴν μὴ ἀφιέντες δείξουσι καὶ τῇ τρίτῃ τῶν μεταγενεστέρων γενεᾷ τὰ τῶν Περσῶν πτώματα. Τοῦτ᾽ ἔστιν ὅτι καὶ τρεῖς γενεαὶ παρέλθωσιν ἄν, τὰ δὲ τῶν νεκρῶν καὶ ἔτι παραμενοῦσι πτώματα. Διὰ τὸ ἄπειρα εἶναι μὴ ἰσχύσαντος τοῦ χρόνου ἀφανίσαι αὐτά.

θῖνες] B. οἱ σωροί. τριτοσπόρῳ γένει] τρίτῃ γενεᾷ.

v. 816. ἄφωνα] B. οὐκ ἐκ λόγων, ἀλλ᾽ ἐκ μόνης τῆς θέας. σημανοῦσιν] δηλώσουσι.

v. 817. ὡς οὐχ ὑπέρφευ] A. σοβαρῶς οὐ χρὴ φρονεῖν ἄνθρωπον ὄντα τινά. Ἡ γὰρ κενοδοξία καὶ ἡ τῶν θεῶν καταφρόνησις ἐξανθοῦσα γεννᾷ στάχυν βλάβης, ὅθεν θρήνου ἄξιον θέρος θερίζει ὁ τὴν τῶν θεῶν ἐνδεικνύμενος ὕβριν καὶ καταφρόνησιν.

ὑπέρφευ] B. ἄγαν καὶ μεῖζον ἀνθρώπου.

v. 818. ὕβρις] B. ἀλαζόνεια καὶ ἀσέβεια.

v. 819. ἐξαμᾷ] B. θερίζει.

v. 820. τῶνδε] B. ὧν ἐποίησαν καθ᾽ ἱερῶν καὶ τῶν ἄλλων.

v. 821. Ἑλλάδος τε] A. μηδέ τις ὑπερφρονήσας καὶ παραβλεψάμενος τὴν προσοῦσαν αὐτῷ εὐτυχίαν, ὡς μείζονος ἐρασθεὶς δόξης, ἐκχέῃ καὶ φθείρῃ ὃν τὸ πρὶν εἶχεν ὄλβον μέγιστον.

v. 822. ὑπερφρονήσας] B. καταφρονήσας, παριδών. τὸν παρόντα δαίμονα] τὴν παροῦσαν νῦν Πέρσαις δυστυχίαν.

v. 823. ἄλλων] B. πραγμάτων. ὄλβον] τὴν εὐδαιμονίαν ἣν εἶχε.

v. 825. εὔθυνος] A. δικαστής.

εὔθυνος] B. τιμωρός.

v. 826. πρὸς ταῦτ' ἐκεῖνον] A. πρὸς ταῦτα ὑμεῖς οἱ κεχρημένοι τῇ σωφροσύνῃ, ἢ οἱ χρήζοντες καὶ θέλοντες σωφρονεῖν, πινύσκετε καὶ συνετίζετε καὶ σωφρονίζετε ἐκεῖνον τὸν Ξέρξην ἐν συνετοῖς νουθετήμασιν, ὥστε λῆξαι καὶ παύσασθαι θεοβλαβοῦντα καὶ τὴν ἐκ τῶν θεῶν βλάβην πάσχοντα διὰ τῆς κενοδοξίας. Ἢ κεχρημένον, ἀντὶ τοῦ χρείαν ἔχοντα καὶ ἄξιον ὄντα σωφρονεῖν.

ἐκεῖνον] B. τὸν Ξέρξην. κεχρημένοι] εἰς τὸ κεχρημένοι ὑποστίξας ἀντὶ τοῦ χρήζοντες νοήσεις. Εἰ δὲ συνάψεις τοῦτο πρὸς τὸ εὐλόγοις νουθετήμασιν, ἀντὶ τοῦ χρησάμενοι, ὅθεν καὶ πρὸς τὸ λῆξαι, ὥστε ἔξωθεν λάβῃς.

v. 827. πινύσκετ'] B. νουθετεῖτε.

v. 828. θεοβλαβοῦντ'] B. ἐκ θεῶν βλαπτόμενον, ἢ βλάπτοντα τοὺς θεούς.

v. 831. πάντα γὰρ] A. ὑπὸ γὰρ τοῦ ἄλγους τῶν ἐπελθόντων τῷ Ξέρξῃ, κακῶν πάντα τὰ μέρη τῶν ποικίλων ἐσθημάτων αὐτοῦ στημοῤῥαγοῦσι, καὶ μετὰ τῶν στημόνων αὐτῶν διαῤῥέουσιν· ἐν τῷ σώματι αἱ λακίδες καὶ διασχίσεις. Τοῦτ' ἔστιν ὑπὸ τῆς θλίψεως διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ ὁ Ξέρξης.

v. 832. λακίδες] B. σχίσματα.

v. 833. στημοῤῥαγοῦσι] B. διαῤῥήγνυνται.

v. 837. ὑμεῖς δὲ πρέσβεις] A. πρὸς τὸν χορὸν φησὶν ὁ Δαρεῖος, ὅτι ἐγὼ μὲν ἄπειμι κάτω εἰς τὸν ᾅδην· ὑμεῖς δέ, ὦ γεραιοί, χαίρετε, ἐν κακοῖς μὲν ὄντες, ὅμως δὲ χαίρετε, ψυχῇ διδόντες ἡδονήν. Ἤγουν θύοντες ἐμοὶ τὴν ἐμὴν ψυχὴν ἡδύνοντες διὰ τῶν θυσιῶν, τοῖς γὰρ θανοῦσι θυσία μόνη ἐστὶ προσδεκτέα, πλοῦτος δὲ οὐδὲν ὠφελεῖ.

ἐν κακοῖς] B. ὄντες.

v. 839. χρήματ'] B. πλοῦτος.

v. 840. ἡ πολλὰ] A. ὁ χορὸς ἀκούσας ἀπὸ τοῦ Δαρείου ἃ μέλλουσι καὶ ἔτι παθεῖν οἱ Πέρσαι κακά, φησίν, ὄντως ἤλγησα, καὶ ἀκούσας τοῖς Πέρσαις πολλὰ πήματα καὶ παρόντα, ἤτοι ἃ νῦν πάσχουσι· καὶ μέλλοντ' ἔτι, καὶ ἃ μέλλουσιν ἔτι αὐτοῖς ἐπελθεῖν.

v. 844. ἀτιμίαν] B. διάῤῥηξιν.

v. 845. ἀμπέχει] B. περικαλύπτει.

v. 848. οὐ γὰρ τὰ φίλτατ'] A. οὐ γὰρ τοὺς ἐμοὶ φιλτάτους ἐν ταῖς αὐτῶν ἀνάγκαις προδώσω καὶ παραβλέψομαι.

v. 849. ὦ πόποι] A. θαυμαστικῶς σύγκρισιν ποιεῖται τῶν ἐπὶ Δαρείου εὐτυχημάτων, πρὸς τὰ νῦν κακά. Καί φησιν ὄντως μεγάλης βιοτῆς, ἀγαθῆς τι πολισσονόμου, καὶ πόλιν καλῶς νομούσης καὶ διευθετούσης, ἐτύχομεν ἐπὶ τοῦ Δαρείου.

ὦ πόποι] Γ. ὁ παρὼν χορὸς συνίσταται ἐκ κώλων κζ'. Ὧν τὰ μέν εἰσιν ἀναπαιστικὰ μονόμετρα ἀκατάληκτα, τὰ δὲ πενθημιμερῆ, τὰ δὲ ἑφθημιμερῆ, ἤτοι δίμετρα καταληκτικὰ ἃ καλεῖται παροιμιακά. Τὰ δέ εἰσιν ἰαμβικὰ δίμετρα ἀκατάληκτα, τὰ δὲ τροχαϊκὰ ἑφθημιμερῆ καὶ ἰθυφαλλικά· ὧν τελευταῖον·

Πλαγαῖσι ποντίαισιν.

ὅπερ ἰαμβικόν ἐστιν ἑφθημιμερές.

v. 850. πολισσονόμου] B. καλλίστης ὑπαρχούσης πολιτικῆς.

v. 851. ἐπεκύρσαμεν] B. ἐπετύχομεν.

v. 852. εὐθ' ὁ γεραιὸς] A. εὖ τε καὶ ὁπηνίκα ἦρχε καὶ ἐβασίλευε τῆς ἡμετέρας χώρας ὁ Δαρεῖος, ἄμαχος βασιλεύς, ὁ ἰσόθεος, ὁ πανταρκὴς καὶ εἰς πάντας ἀρκῶν καὶ διευεργετῶν καὶ διέπων καλῶς, καὶ παντάπασι δίκαιος γενόμενος.

εὐθ' ὁ γεραιὸς] B. τὸ εὖτε εἰ μὲν ἄνω συνάψεις, ἐπεκύρσαμεν γράψεις· εἰ δὲ κάτω ἀπεκύρσαμεν γράψεις. Οὗ δὴ στίξας ἀρξάμενος ἀπὸ τοῦ Εὖτε ὑποστίξεις πρὸς τὸ χώρας.

v. 853. πανταρκὴς] B. πᾶσι βοηθῶν. ἀκάκης ἄμαχος] πρᾶος, εἰρηνικός. Ἢ ὁ μὴ κακὴν καὶ δειλίαν ἔχων.

ad marg. περιβόητοι εἶμεν ἐν πολέμοις: quae pertinent ad v. 855.

v. 855. πρῶτα μὲν εὐδοκίμου] A. πρῶτα μὲν ἀπεφαινόμεθα στρατιᾶς εὐδοκίμου, ἤτοι περιβοήτου καὶ τροπαιοφορούσης. Τοῦτ' ἔστι διὰ στρατιᾶς, κατὰ πόλεμον εὐδοκιμοῦμεν καὶ ἐπεύθυνον, ἤγουν κατὰ τὸ εὐθὺ ἐξήγοντο καὶ ἐπλατύνοντο, πάντα τὰ νόμιμα τῶν πυργουμένων καὶ τετειχισμένων πόλεων· καὶ ὡρμῶμεν κατὰ τὰ νενομισμένα ἔθη ταῖς πόλεσι ταῖς πορθουμέναις, οὐ τεμένη πορθοῦντες καὶ τάφους ἀνασπῶντες, ὡς Ξέρξης ἐτόλμησε ποιῆσαι. Λέγεται δὲ καὶ πύργινα νόμιμα τὰ πυργοῦντα καὶ συνιστῶντα τὰς πόλεις. Ἄλλως· νόμιμα, τὰ νόμιμα πάντα τῶν τετειχισμένων πόλεων. Οἱ δὲ δημωφελεῖς δῆμοι πάντα ἐπολιτεύοντο.

v. 856. ἀπεφαινόμεθ'] B. τὸ ἀπὸ πρὸς τὸ εὐδοκίμου σύναπτε, ἵν' ᾖ, ἀπὸ τῆς εὐδοκίμου στρατιᾶς ἐφαινόμεθα καὶ ἔκδηλοι πᾶσιν ἦμεν τὰ ἐς πολέμους. νόμιμα] οἱ νόμοι.

v. 857. τὰ πύργινα πάντ'] B. τὰς πόλεις πάσας. ἐπευθύνον] διώκουν.

v. 858. νόστοι] B. αἱ ὑπόστροφαι.

v. 861. ὅσας δ' εἷλε πόλεις] A. τοῦτο θαυμαστικῶς φησιν, ὅτι ἀρετῇ Ἕλληνας ὑπέταξε Δαρεῖος, ἀλλ' οὐκ ἀνάγκῃ.

ὅσας] B. πολλάς. εἷλε] ἔλαβε.

v. 862. οὐ διαβὰς] B. καὶ οὐ διελθών.

v. 864. οὐδ' ἀφ' ἑστίας συθεὶς] A. σκληροτέρα ἡ συναλοιφὴ ποταμοῦδ' ἀφ' ἑστίας, οἷόν ἐστι τὸ τοῦ ἕνεκα, τοὔνεκα.

συθεὶς] B. ὁρμηθείς.

v. 865. οἷαι Στρυμονίου πελάγους] A. οἷαί εἰσιν αἱ Ἀχελωΐδες νῆσοι τοῦ Στρυμονίου πελάγους αἱ πάροικοι τῶν Θρηϊκίων ἐπαύλεων. Ἤγουν τῆς Θρᾴκης. Ἄλλως· Στρυμονίου πελάγους] ὡς μέχρι Ὑπερβορέων παρατεινούσης τῆς ἀρχῆς Περσῶν.

v. 866. Ἀχελωΐδες] A. αἱ δίυγροι. Ἀχελῷον γὰρ πᾶν ὕδωρ λέγουσι.

Ἀχε-

Ἀχελωΐδες] B. παραθαλάσσιαι. Ἀχελώη γὰρ τὸ ὕδωρ κατὰ γλῶσσαν. πάροικοι] πλησιόχωροι.

v. 867. ἐπαύλων] A. τῶν ἐπαυλισμάτων.

ἐπαύλεων] B. κατοικήσεων.

v. 868. λίμνας τ' ἔκτοθεν] A. καὶ ἔξω τῆς θαλάσσης, ὅσαι εἰσὶ μεσήπειροι.

λίμνας] B. θαλάσσης. τ' ἔκτοθεν] καὶ αἱ ἔξω τῆς θαλάσσης, ὅσαι εἰσὶ μεσήπειροι, ὡς καὶ μέχρι Ὑπερβορέων παρατεινάσης τῆς ἀρχῆς τῶν Περσῶν.

v. 869. αἱ κατὰ χέρσον ἐληλαμέναι] A. τοῖς τείχεσι κεκυκλωμέναι.

v. 870. περὶ πύργον] B. περὶ τεῖχος.

v. 871. τοῦ δ' ἄνακτος ἄϊον] A. τῷ Δαρείῳ ὑπήκουον.

τοῦδ' ἄνακτος] B. τοῦ Δαρείου. ἄϊον] ἤκουον.

v. 872. ἀμφὶ πόρον πλατὺν] A. ἐπὶ πλατεῖ Ἑλλησπόντῳ.

v. 873. εὐχόμεναι] B. φημιζόμεναι.

v. 874. μυχία τε Προποντὶς] A. ἀπὸ κοινοῦ τό, οἷαί εἰσιν αἱ περὶ τὸν Ἑλλήσποντον τὴν οἴκησιν ἔχουσαι, ἢ Προποντίς τε ἤτοι τοῦ Εὐξείνου πελάγους, ἡ μυχία καὶ ἐν μυχοῖς τοῦ Ἑλλησπόντου κειμένη· καὶ τὸ στόμα τοῦ πόντου, ἤγουν ὁ Βόσπορος· οὗτος γὰρ στόμα πόντου λέγεται.

μυχία] B. βαθεῖα· ἢ ἐν τῷ μυχῷ τοῦ Ἑλλησπόντου κειμένη.

v. 876. νᾶσοι θ' αἱ] A. νῆσοί τε· ἀπὸ κοινοῦ τὸ οἷαί εἰσιν, αἵ τινες περίκλυστοι καὶ ὑπὸ τῆς θαλάσσης κλυζόμεναι κατὰ τὸν Ἑλλήσποντον· τοῦτον γὰρ πρῶνα ἅλιον λέγει· ὑποτασσόμεναι καὶ προσκαθήμεναι τῇ ἡμετέρᾳ γῇ.

μετὰ] B. κατά. πρῶν'] ἐξοχήν.

v. 878. τᾷδε γᾷ] B. τῇ περὶ τὸν Ἑλλήσποντον. προσήμεναι] προσκαθήμεναι.

v. 879. οἵα Λέσβος] A. ὅτι μεταβέβηκεν εἰς τὸ Αἰγαῖον πέλαγος. Ἡ γὰρ Λέσβος καὶ ἡ Σάμος ἐν τῷ Αἰγαίῳ ἐστίν εἰσίν.

Λέσβος] B. νῆσος· ἤγουν ἡ Μιτυλήνη.

v. 883. Τήνῳ τε] A. καὶ ἡ Ἄνδρος νῆσος ἡ συνάπτουσα τῇ νήσῳ Τήνῳ καὶ συνημμένη αὐτῇ καὶ ἀγχιγείτων ταύτης τυγχάνουσα.

συνάπτουσ'] B. πλησιάζουσα.

v. 885. καὶ τὰς ἀγχιάλους μεσάγκτους] A. τὰς ἄγχι τῆς θαλάσσης κειμένας, καὶ πρὸς τὸν αἰγιαλόν. Μεσάγκτους δέ, μεσακτίους, παραθαλασσίους.

v. 886. ἐκράτυνε] A. ὑπὸ τὸ ἴδιον κράτος εἶχε.

ἐκράτυνε] B. ἐδεσπόζει. μεσάκτους] ἐπειδὴ τὰ κύκλῳ τῶν νήσων ἀκταί εἰσι, διὰ τοῦτο μεσάκτους τὰς νήσους καλεῖ.

v. 887. Λῆμνον] A. Λῆμνος Θρᾴκης ἐστί. Αὗται δέ εἰσιν αἱ μεσάκτιοι. Ἰκάρου θ' ἅλος] Ἰκάρου τὸν κλύδωνα.

v. 889. Κυπρίας] B. τὰς ἐν τῇ Κύπρῳ.

v. 891. Σαλαμῖνα τε] A. Σαλαμῖνα τὴν ἐν Κύπρῳ φησίν· ἧς ἡ ματρόπολις ἡ ἐν τῇ Ἀττικῇ δηλαδὴ ἡμῖν αἰτία ἐστὶ τῶνδε τῶν στεναγμάτων. Ἄποικοι γάρ εἰσιν οἱ ἐν Κύπρῳ Σαλαμίνιοι τῶν ἐν τῇ Ἀττικῇ· φασὶ γάρ, ὅτι τοῦ Αἴαντος αὐτόχειρος γεγονότος ὁ Τεῦκρος ὁ αὐτοῦ ἀδελφὸς ἐν τῇ Σαλαμῖνι τῇ αὐτοῦ πατρίδι ἀπελθὼν οὐκ ἐδέχθη τῷ πατρὶ αὐτῶν Τελαμῶνι, ἀλλ' ἐδιώχθη ὑπὸ τῆς Σαλαμῖνος, ὡς μὴ τὸν ἀδελφὸν αὐτοῦ Αἴαντα κωλύσας σφαγισθησόμενον ὑφ' αὐτοῦ. Κατελθὼν οὖν ἐν τῇ Κύπρῳ ἀνεδείματο πόλιν καὶ ταύτην καλέσας Σαλαμῖνα ἐπ' ὀνόματι τῆς ἐν Ἀττικῇ.

v. 892. ματρόπολις] B. αἱ Ἀθῆναι.

v. 893. στεναγμάτων] B. τὸ νῦν πρὸς τὸ στεναγμάτων σύναπτε.

v. 894. εὐκτεάνους] B. πλησινήσους ἢ πόλεις.

v. 895. κατὰ κλῆρον Ἰόνιον πολυάνδρους] A. Ἰωνίδας πόλεις.

κλῆρον] B. θέσιν.

v. 896. ἐκράτυνε] B. ἐδέσποζε.

v. 897. σφετέραις φρεσὶν] A. τῷ ἰδίῳ λογισμῷ, οἷον φρόνιμος ὤν.

σφετέραις] B. ἰδίαις.

ἀκάματον] B. θαυμαστόν, μέγα.

παρῆν] B. παρυπῆρχεν αὐτῷ, τῷ Δαρείῳ.

v. 898. τευχηστήρων] B. ὡπλισμένων.

v. 899. ἐπικούρων] B. βοηθῶν.

v. 900. νῦν δ' οὐκ ἀμφιλόγως] A. νῦν οὐκ ἀμφιβάλλεται, ἀλλ' ἀληθῶς ταῦτα φέρομεν ἐν τοῖς πολέμοις, δηλαδὴ τὰς ἐπελθούσας ἡμῖν συμφοράς, τὰς ἐκ θεοῦ τραπείσας πρὸς ἡμᾶς. Ἢ θεόθρεπτα, τὰ ἐκ θεῶν τρεφόμενα καὶ αὐξανόμενα δι' ἡμᾶς. Ἢ ὑπὸ θεῶν ἐπαχθέντα, καὶ θεοῖς δόξαντα.

v. 901. θεότρεπτα] B. θεόπεμπτα.

v. 903. δμαθέντες] A. δαμασθέντες.

v. 904. πλαγαῖσι ποντίαισιν] A. ταῖς ναυμαχίαις.

πλαγαῖσι] B. ὑπὸ τῶν Ἀθηναίων.

v. 905. ἰώ, δύστηνος ἐγώ] A. ὁ Ξέρξης ὑπομιμνησκόμενος τῶν ὅλων Περσῶν ὀλωλότων αἰσχύνῃ καὶ ἐλέῳ πιεζόμενος θρηνεῖ, λέγων· Φεῦ τῆς στυγερᾶς καὶ μισητῆς ταύτης μοίρας κυρήσας καὶ ἐπιτυχών, κακοτελευτήτου καὶ εἰς κακὰ καταντησάσης.

ἰώ, δύστηνος ἐγώ] Γ. εἴσθεσις διπλῆς ἐν ἐκθέσει τοῦ δράματος. Τὰ δὲ κῶλα τὰ μὲν εἰσιν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἔτι δὲ ἑφθημιμερῆ καὶ πενθημιμερῆ· τὰ δέ, ἰαμβικὰ δίμετρα ἀκατάληκτα καὶ τρίμετρα ἀκατάληκτα καὶ μόνομετρα, ὧν τελευταῖον καὶ παντὸς τοῦ δράματος· Πέμψω σε δυσθρόοις γόοις· ὅπερ ἰαμβικόν ἐστι δίμετρον ἀκατάληκτον· καὶ ἑξῆς τούτῳ ἡ κορωνίς, ἡ τὸ δρᾶμα ἀποπερατοῦσα.

στυγερᾶς] B. λυπρᾶς. Μοίρας] δυστυχίας.

v. 906. ἀτεκμαρτοτάτης] B. ἀπροσδοκήτου.

v. 907. ὡς] B. λίαν. ὠμοφρόνως] ἀπηνῶς. ἐνέβη] ἐνέσκηψε.

v. 910. τὴνδ' ἡλικίαν] B. τοὺς γέροντας.

v. 911. εἴθ' ὤφελε, Ζεὺς] A. ὑπομνησθεὶς δὲ ὁ Ξέρξης τῶν νέων ἀνδρῶν τῶν οἰχομένων ἐν Ἑλλάδι, φησὶ

ταῦτα, εἴθε ὤφειλεν ὁ Ζεὺς κἀμὲ μετὰ τῶν φθαρέντων ἀνδρῶν καλύψαι τῇ μοίρᾳ τοῦ θανάτου.

v. 912. τῶν οἰχομένων] B. τῶν φθαρέντων.

v. 913. καλύψαι] B. ἀφανίσαι.

v. 914. ὀτοτοτοί, βασιλεῦ] A. καὶ ὁ χορὸς ἰδὼν τὸν Ξέρξην ὀδυρόμενον, φησὶ πρὸς αὐτόν, φεῦ ὦ βασιλεῦ τῆς ἀγαθῆς δεξιᾶς καὶ τῆς μεγάλης τιμῆς τῆς τοῖς Πέρσαις νεμηθείσης καὶ τὰ Περσῶν διοικούσης καὶ διεπούσης, καὶ διευθετούσης ἅπαντα· τοῦ κόσμου τε τῶν ἀνδρῶν, ἤτοι τῆς παρατάξεως τῆς στρατηγίας καὶ τῆς κατὰ λόγον κοσμήσεως καὶ εὐταξίας τῶν Περσῶν, οὓς νῦν ὁ δαίμων καὶ ἡ τύχη ἠφάνισεν. Ἢ τοῦ κόσμου, ἀντὶ τοῦ τῆς νεότητος, περιφραστικῶς, τῶν νέων ἀνδρῶν καὶ γενναίων.

στρατιᾶς] B. ἕνεκα.

v. 915. περσονόμου] B. τῆς νενομισμένης τοῖς Πέρσαις.

v. 916. κόσμου] B. ἕνεκα.

v. 917. δαίμων] B. ἡ τύχη. ἀπένειρε] ἠφάνισε.

v. 918. γᾶ δ' αἰάζει τὰν ἐγγαίαν] A. ἡ γῆ δὲ αἰάζει καὶ θρηνεῖ τὴν ἥβην καὶ τὴν ἡλικίαν τῶν Περσῶν τὴν ἔγγαίαν καὶ τὴν ἐγχώριον. Ἢ οὕτως, ἡ γῆ ἡμῶν τὴν ἔξω τῆς γῆς ἥβην σεσαγμένην ὑπὸ τοῦ ᾅδου καὶ διὰ τὸν Ξέρξην κταμένην αἰάζει. Ἢ τὴν ὑποκτανθεῖσαν ἐν τῷ Ξέρξῃ, τῷ σάκτορι καὶ τῷ πληρωτῇ τοῦ ᾅδου. Παρὰ τὸ σάζω τὸ ἐπιφορτίζω καὶ γεμίζω. Δι' αὐτὸν γὰρ ἀπέθανον οἱ Πέρσαι, καὶ αὐτὸς αἴτιος γέγονεν τοῦ θανεῖν αὐτοὺς καὶ ὑπὸ τὸν ᾅδην γενέσθαι.

γαῖα] B. ἡ Περσίς. αἰάζει] θρηνεῖ. ἔγγαιον] ἐγχώριον.

v. 919. ἥβαν] A. τὸ ἑξῆς, ἥβαν Περσῶν.

ἥβαν] B. ἡλικίαν. Ξέρξα] ὦ. κταμέναν] ἐκβληθεῖσαν.

v. 920. ᾅδου σάκτορι] B. Ἄρει, δι' οὗ πληροῦται ὁ Ἅιδης νεκρῶν. Ἢ σάκτορι ἀντὶ τοῦ φθορᾷ.

v. 922. πάνυ γὰρ φύστις] A. φύστις ἡ πεφυρμένη καὶ ἐπὶ γῆς πεσοῦσα λέγεται καὶ φύστις ἡ ἔκφυσις γε-

ὑη. Τοῦτο δὲ διὰ μέσου. Ἀγδαβάται γὰρ, ὅ ἐστιν ἔθνος Περσῶν ἐξέφθινται καὶ ἐφθάρησαν, πολλοὶ φῶτες, ἄνθος καὶ καλλώπισμα τῆς χώρας, τοξοδάμαντες καὶ τοῖς τόξοις τοὺς ἐναντίους δαμάζοντες, πάνυ φύστις καὶ ἔκφυσις καὶ γονὴ μυριὰς ἀνδρῶν. Ἤτοι πολὺ γένος τῶν Περσῶν. Τὸ δὲ γὰρ παρέλκον.

ἔθνος περσῶν τὸ ἐξ. Ἀγδαβάται περὶ ἐξέφθινται:

τοξοδάμαντες] B. πολεμικοί. Φύστις μυριὰς] ἤγουν πολὺ ἀναβλάστησαν γένος ἀνδρῶν ἦσαν οἱ Ἀγδαβάται.

v. 923. ἐξέφθινται] B. ἐφθάρησαν.

v. 924. αἱ αἱ] Γ. τὰ β' ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα. Τό γ' μονόμετρον. Τὸ δὲ δ' πενθημιμερὲς ἐκ προκελευσματικοῦ.

κεδνᾶς ἀλκᾶς] B. ἕνεκα τῆς ἀρίστης δυνάμεως τῶν Περσῶν.

v. 925. Ἀσία δὲ χθὼν] A. καὶ γῆ, ὦ βασιλεῦ, ἤτοι οἱ Πέρσαι πάντες ἐπὶ γόνυ κέκλινται, ἀντὶ τοῦ ἐπέκυψαν, καὶ ἐφθάρησαν. Ἡ ἐπὶ γόνυ Ἀσίας γῆ πέπτωκεν, ὀλοφυρομένη οὓς ἀπώλεσε. Λέγει δὲ τοὺς πολίτας. Τινὲς δέ φασιν ἐπὶ γόνυ αἶας, ἤτοι κατὰ πρόσωπον τῆς γῆς.

γαίας ἐπὶ γόνυ τὸ ἐξ

v. 926. αἰνῶς] B. λίαν.

ἐπὶ γόνυ κέκλιται] B. τεταπείνωται καὶ καταβέβληται ἐκ μεταφορᾶς τῶν μὴ δυναμένων στῆναι διαπηρώσει σκέλους. Εἴληπται δὲ εἰς παροιμίαν.

κατέπεσεν

v. 927. ὅδ' ἐγὼν] B. ἤγουν ἀφορμὴ θρήνου πᾶσι γέγονα διὰ τὴν συμβᾶσαν ἐμοὶ συμφοράν, καὶ τῇ πατρῴᾳ γῇ κακῶν αἴτιος γέγονα, δι' ὧν τοσοῦτον πλῆθος ἀπώλεσα ἐν Ἑλλάδι. αἰακτὸς] ποταπὸς θρηνητικός.

ὅδ' ἐγὼν] Γ. τὰ β' ἑφθημιμερῆ, τὸ δὲ γ' δίμετρον ἐκ προκελευσματικοῦ.

αἰακτὸς μέλεος γέννᾳ] A. θρηνητὸς τῇ γέννῃ, ἀντὶ τοῦ δυστυχῶς γεννηθείς.

γέννᾳ] B. τῶν Περσῶν.

v. 930. πρόσφθογγον] Γ. τὸ α' ἑφθημιμερές, τὰ ϛ' δὲ μονόμετρα, ἔχοντα καὶ πόδας προκελευσματικούς.

προςφθογγαν] Α. προςφώνησίν σοι τοῦ νόστου πέμψω, τὴν κακοφάτιδα βοήν.

προςφθόγγου] Β. χαιρετιστικοῦ. νόστου] ὑποστροφῆς. Ἡ σύνταξις· πέμψω σοι τὴν βοὴν τοῦ νόστου τοῦ προςφθόγγου κακοφάτιδα ἰὰν καὶ βοὴν κακομέλετον Μαριανδυνοῦ θρηνητῆρος, ἰαχὴν λέγω πολύδακρυν. Τουτέστιν, ὥςπερ τοὺς ἐξ ἀποδημίας ἰόντας προςφθέγγεσθαι δίκαιον, οὕτω καὶ ἐγὼ πρός σε πέμψω λόγους θρήνων καὶ κακῶν γέμοντας. Τὸ δὲ ἰὰν κακομέλετον Μαριανδυνοῦ θρηνητῆρος ἀντὶ θρῆνον ἀμελῆ καὶ ἄμουσον, οἷος ὁ τοῦ Μαριανδυνοῦ θρηνητῆρος· οἱ γὰρ Μαριανδυνοὶ κακῶς καὶ ἀμούσως θρηνοῦσιν. Εἴληπται δὲ εἰς παροιμίαν.

v. 932. κακομέλετον] Β. κακὸν καὶ ἄμουσον μέλος ἔχουσαν ὡς θρηνῳδῆ καὶ ἀπευκτήν.

v. 933. Μαριανδυνοῦ θρηνητῆρος] Α. Μαριανδυνοὶ αὐλοί, ἐπιτηδείως ἔχοντες πρὸς θρήνους. Καλλίστρατος ἐν δευτέρῳ περὶ Ἡρακλείας Τιτυοῦ παῖδας εἶναί φησι δύο, Πριόλαν καὶ Μαριανδυνόν, ὃν κυνηγετοῦντα ἀπολέσθαι, καὶ μέχρι τοῦ νῦν Μαριανδυνοὺς ἐν ἀκμῇ θέρους θρηνεῖν αὐτόν. Τὸν δὲ Μαριανδυνὸν αὐξῆσαι μάλιστα τὴν θρηνητικὴν αὐλῳδίαν, καὶ διδάξαι ταύτην Ὕαγνιν τὸν Μαρσύου πατέρα. Καὶ αὐλοὶ γάρ εἰσι Μαριανδυνοὶ ἐπιτηδειότατοι εἰς τὰς θρηνῳδίας. Ὅθεν καὶ τὸ περιφερόμενον· αὔλει Μαριανδυνοῖς καλάμοις κρούων Ἰαστί.

v. 936. ἴετ' αἰανὴν] Γ. τὸ α' δίμετρον ἀκατάληκτον. Μονάμετρα δὲ τὰ γ'. Τὸ δ' δὲ ἐκ προκελευσματικοῦ.

ἴετ'] Β. πέμπετε. αἰανῆ] σκοτεινήν, ἢ κατηφείας πλήρη, ἐπειδὴ ἡ λύπη σκότισμα ἐπάγει καὶ κατήφειαν, διὰ τοῦτο αἰανὴν εἶπεν.

v. 937. δύςθροον] Β. δύςφημον. αὐδὰν] φωνήν.

v. 938. δαίμων] Β. ἤγουν ἡ παροῦσα δυστυχία.

v. 939. μετάτροπος] Β. ἐναντίος· πρόσθεν γὰρ ηὐτύχουν, νῦν δὲ καταβέβλημαι.

v. 940. ἥσω] Α. πέμψω θρῆνον καὶ λίαν πανόδυρτον, σεβίζων καὶ σεβάζων τὰ λαοπαθῆ καὶ τὰ τῶν λαῶν πά-

θη τῆς γέννας καὶ ἀνατροφῆς, δηλαδὴ τῆς πόλεως τῆς πενθητῆρος καὶ τῆς ἀξίας πένθους· τὰ βάρη, καὶ τὰ δυστυχήματα τὰ ἁλίτυπα, τὰ τῇ θαλάσσῃ τυφθέντα. Λέγει δὲ τὰ σώματα τῶν Περσῶν.

ἥσω] B. πέμψω. πανόδυρτον] πάγκλαυτον μέλος, ἤγουν ὡς πρώην εὐφήμουν σε, οὕτως νῦν πανόδυρτον μέλος πέμψω πενθητῆρος. Σεβίζων καὶ διὰ θρήνου τιθεὶς τὰ λαοπαθῆ καὶ ἁλίτυπα βάρη τῇ γέννᾳ τῆς πόλεως ἤγουν τὰ ἐν χέρσῳ καὶ θαλάσσῃ τοῖς Πέρσαις συμβάντα.

v. 941. σεβίζων] B. διὰ θρήνου τιμῶν.

v. 942. ἁλίτυπα τε βάρη] B. τά τε ἐν τῇ θαλάσσῃ γενόμενα δυστυχήματα.

v. 944. ἀρίδακρυν] B. πολύδακρυν.

v. 945. Ἰώνων γὰρ ἀπηύρα] A. ὁ Ἄρης· καὶ γὰρ τῶν Ἰώνων ὁ ναύφρακτος, ὁ ἑτεραλκής, ὁ ἑτέροις ἀλκὴν καὶ βοήθειαν δούς, ἀπηύρα καὶ ἀφείλατο τὴν ἰσχὺν τῶν Περσῶν, κερσάμενος καὶ κατακόψας αὐτοὺς εἰς πλάκα νυχίαν, ἤτοι νύκτα καὶ θάνατον γεγονυῖαν αὐτοῖς, εἰς δυσδαίμονά τε ἀκτήν, ἤγουν τὴν Σαλαμῖνα. Ἄλλως· ὁ Ἀττικὸς στόλος ἀφείλετο τὴν Περσῶν σωτηρίαν.

ἀπηύρα] B. ἀφείλετο ἡμᾶς.

v. 946. ναύφρακτος] B. ναυτικός.

v. 947. Ἄρης ἑτεραλκὴς] A. τοῦτ' ἔστι νικηφόρος.

Ἄρης] B. τῶν Ἀθηναίων. ἑτεραλκὴς] ἐπίθετον Ἄρεος.

v. 948. νυχίαν πλάκα] B. τὴν Ψυτταλείαν. κερσάμενος] ἤτοι τεμὼν καὶ ἀφανίζων τοὺς ἐν αὐτῇ ὄντας Πέρσας.

v. 949. ἀκτὰν] B. τὴν Σαλαμῖνα.

v. 950. πάντ'] B. τὰ συμβάντα. ἐκπεύθου] ἐρώτα.

v. 951. ποῦ δὲ Φίλων] Γ. τροχαϊκὰ ϛ' ἐφθημιμερῆ· τὸ δὲ ζ' πενθημιμερές.

v. 952. παραστάται] B. συνασπισταί.

v. 958. ὀλοοὺς ἀπέλιπον] A. ὀλοοὺς καὶ ὀλεθρίους ἀπέλιπον ἐῤῥωκότας καὶ φθειρομένους ἐκ ναὸς Τυρίας καὶ Φοινίσσης, ἐπὶ ταῖς τῆς Σαλαμῖνος ἀκταῖς.

ὀλοοὺς] Γ. Ἀναπαιστικὰ δ΄. Τὰ γ΄ δίμετρα βραχυκατάληκτα· τὸ δ΄ πενθημιμερές.

v. 962. ποῦ δέ σοι Φαρνοῦχος] Γ. τροχαϊκὰ ζ΄, τὰ μὲν δ΄ ἑφθημιμερῆ· τὰ δὲ β΄ δίμετρα ἀκατάληκτα· τὸ δὲ ζ΄ πενθημιμερές.

v. 965. εὐπάτωρ] B. εὐγενής.

v. 969. ἰὼ ἰώ μοι μοι] A. Φεῦ φεῦ. Τὰς Ἀθήνας στυγνάτητος καὶ λύπης αἰτίας ἡμῖν γενομένας κατιδόντες οἱ Πέρσαι πάντες οἱ τλήμονες ἀπαίρουσι καὶ ὑποχωροῦσι καὶ θνήσκουσιν ἐνὶ πιτύλῳ, ἤγουν τῷ θορύβῳ τῆς μάχης καὶ τῇ κραυγῇ.

ἰὼ ἰώ μοι] Γ. πενθημιμερὲς ἰαμβικόν.

v. 970. τὰς Ὠγυγίας κατιδόντες] Γ. πενθημιμερὲς ἰαμβικόν.

v. 971. στυγνὰς Ἀθάνας] B. στυγνὰς τὰς Ἀθήνας εἶπε διὰ τὴν ἐν αὐταῖς συμβᾶσαν αὐτῷ συμφοράν.

v. 972. πιτύλῳ] B. κτύπῳ, πτώσει.

v. 974. ἀσπαίρουσι] B. ψυχοῤῥαγοῦσι.

v. 976. ὀφθαλμὸν μυρία μυρία πεμπαστὰν] A. Ἆρα καὶ τὸν ὀφθαλμὸν τὸν σὸν τὸν κατὰ πάντα πιστὸν, τὸν πεμπαστὴν καὶ ἀριθμητὴν τῶν Περσῶν μυρία αὐτοῦ ἔλιπες ἔνθα καὶ οἱ λοιποί; Τινὲς δὲ τὸν ὀφθαλμὸν π ι σ τ ὸ ν λέγουσι, διότι ὁ βασιλέως ὀφθαλμὸς ἀριθμεῖ τὰ στρατεύματα. Πεμπάζω γὰρ τὸ ἀριθμῶ. Κυρίως δὲ τὸ κατὰ πεντάδα ἀριθμῶ. Οἱονεὶ μυριάδας ἀριθμοῦντα ὅλας καὶ ἡγεμονείας. Οἱ Περσῶν γὰρ βασιλεῖς εἶχον δύο τινὰς, οἷς ἐπέτρεπον τὴν τῶν κοινῶν ἐπιτήρησιν, οὓς βασιλέως ἐκάλουν ὀφθαλμούς.

τὸν ὀπταόφθαλμον: in alt. marg. ὅτι βασιλέως ὀφθαλμὸς ἀριθμεῖ τὰ στρατιάς: μετὰ τὴν στρατοπέδου: διὸ μυριάδα ἀριθμοῦντα τὰς ὅλας ἡγεμονίας ἀριθμήσας κατὰ πεντάδα ἀνὰ μυρίους ἔχοντας τοὺς ἀρχομένους:

v. 977. πεμπαστὰν] B. φορτίστην· συνάπτεται πρὸς τὸ Περσῶν.

v. 979. τοῦ Σησάμα] B. οὗτοι πρόγονοι τούτου.

v. 981. ὦ δαΐων] A. διακοπτικῶν πολεμίων κακῶν.

δαΐων] B. ἕνεκα τῶν πολεμικωτάτων τούτων ἀνδρῶν.

v. 982. ἀγαυοῖς] B. θαυμαστοῖς. πρόκακα] δι' ὅλου κακά.

v. 983. Ἰυγγά μοι] A. τοῦτό φησιν ὁ Ξέρξης πρὸς τὸν χορόν, ὅτι ἴυγγα καὶ φιλίαν καὶ ἡδονὴν τῶν ἀγαθῶν ἑταίρων μοι Περσῶν ὑπομιμνήσκεις, λέγων ἐμοὶ πρόκακα, ἤτοι τὰ προγεγονότα κακά. Ἢ πρόκακα, ἀντὶ τοῦ ἁπλῶς κακά, μηδέν τι τῆς πρὸ προθέσεως σημαινούσης. Τὸ δὲ ἄλαστα στυγνὰ ἀντὶ τοῦ λυπηρὰ καὶ κατηφείας αἴτια κακά, ἀνεπίληστα καὶ ἀεὶ μνημονευόμενα.

ἴυγγα] B. ἡδονήν, χάριν.

ἴυγγά μοι δῆτ' ἀγαθῶν] Γ. ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα ε'.

v. 984. ἑτάρων] B. φίλων.

v. 985. ἄλαστα] B. ἀλάθητα. στυγνὰ] μισητά, λυπρά.

v. 986. βοᾷ βοᾷ μελέων] A. παρὰ τό· (Odyss. Υ. 13.)

— κραδίη δέ οἱ ἐντὸς ὑλάκτει.

βοᾷ] B. δυσχεραίνει καὶ στενάζει δι' ἐκείνων.

v. 987. ἦτορ] B. ἐμόν.

v. 988. καὶ μὴν ἄλλο γε ποθοῦμεν] A. καὶ μὴν ποθοῦμεν ἕτερόν τι μαθεῖν τὸν μυριόνταρχον τῶν Μάρδων ἀνδρῶν. Οὗτοι δὲ ἔθνος Περσικόν.

καὶ μὴν ἄλλο] Γ. Ἀναπαιστικὰ ζ'. Τὸ β' δίμετρον ἀκατάληκτον. Τὸ ε' μονόμετρον. Τὰ δὲ λοιπὰ ἑφθημιμερῆ.

ποθοῦμεν] B. ἐρωτῆσαί σε.

v. 990. Ξάνθην ἄρειόν τ'] A. λείπει ὁ καί.

v. 992. ἱππιανάκτας] A. τοὺς ἄνακτας τῶν ἵππων.

v. 993. ἔταφον ἔταφον] A. ἀπέθανον ἀπέθανον, οὐκ ἐπὶ ὀχημάτων ὄντες ἀλλὰ γυμνοὶ καθεστηκότες. Ἄλλως· οὐχὶ ἑπόμενοι ὄπισθεν ἐν σκηναῖς τροχηλάταις, οἷον ἔθανον, ὡς ἀσχημόνως δὲ ἐτάφησαν. Ἔθος γὰρ ἦν ταῖς

ἴυγγα μοι φιλίαν·

Πέρσαις σκηνὰς τῶν ἁμαξῶν ἄνωθεν ποιουμένους ἐπιφέρειν ἐκεῖσε τοὺς νεκροὺς καὶ οὕτως αὐτοὺς προπομπεύοντες ἔθαπτον.

ἔταφον ἔταφον] Γ. ἰαμβικὰ τρίμετρα βραχυκατάληκτα γ'· τὸ δ' δίμετρον ἀκατάληκτον.

\# ἢ κ. ἀκρόται ἐξ οὗ ἐστὶ ἀπὸ τοῦ ἄκρου

v. 997. οἵπερ ἀγρόται στρατοῦ] Α. οἱ ἄρχοντες. Εἰ δὲ ἀκρόται, οἱ ἄκροι. Ἐξ οὗ ἔσται ἀπὸ τοῦ ἄκρου· εἰ δὲ ἀγρόται, ἀπὸ τοῦ ἄγειν καὶ ἀγείρειν.

v. 998. οἳ νώνυμοι] Α. τὸ οἳ θρηνητικῶς.

v. 999. ἰὴ ἰή, ἰώ, ἰώ] Β. Ἰαμβικὰ δ'. Τὰ γ' δίμετρα ἀκατάληκτα. Τὸ δὲ δ' ἑφθημιμερές.

v. 1002. οἷον δέδορκεν ἄτα] Α. οἷον κακὸν ἡ Ἄτη ἐφορᾷ.

v. 1003. οἷαι δι' αἰῶνος τύχαι] Α. γράφεται δαίμονος τύχαι.

v. 1004. πεπλήγμεθ'· εὔδηλα γὰρ] Γ. κῶλα ε'. Τὸ α' καὶ γ' καὶ δ' ἰαμβικὰ ἑφθημιμερῆ, περιόδικα καλούμενα διὰ τὸ ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς συζυγίας συγκεῖσθαι. Τὸ β' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ δὲ ε' ἀναπαιστικὸν ὅμοιον.

v. 1008. δυςπόλεμον] Α. δυςπόλεμον ἄρα καὶ κακοτυχὲς καὶ ἄθλιον τὸ γένος τῶν Περσῶν. Ἄλλως. Δυςπόλεμον, κακωθὲν πολέμῳ καὶ δυστυχῆσαν.

v. 1009. πῶς δ' οὔ; στρατὸν] Α. πῶς δὲ οὐχὶ κόπτομαι καὶ πέπληγμαι καὶ θρηνῶ, τοσοῦτον στρατὸν ὀλέσας;

πῶς δ' οὔ] Γ. Ἰαμβικὰ δ'. Τὸ μὲν α' ἑφθημιμερές, τὰ δὲ γ' πενθημιμερῆ.

v. 1011. τί δ' οὐκ ὄλωλεν] Α. εἰ μὲν εἰς τὸ τί δὲ στίζεις, συντακτέον οὕτως· τί δέ; οὐκ ὄλωλε τὰ μεγάλα τῶν Περσῶν; εἰ δὲ καὶ εἰς τὸ οὐκ ὄλωλε, λείπει τὰ κακά· ἵνα ᾖ, τί δ' οὐκ ὄλωλεν ὁ στρατός; Μεγάλα τῶν Περσῶν τὰ κακά. Ἢ οὕτως· τί δ' οὐκ ὄλωλεν· στικτέον ἐν τῷ· τί δέ; Εἶτα, οὐχὶ τὰ μεγάλα τῶν Περσῶν ὄλωλεν;

v. 1013. ὁρᾷς τὸ λοιπὸν] A. ἤγουν θεωρεῖς τὸ ἐπίλοιπον λείψανον τοῦ ἐμοῦ στόλου, ἤγουν, τῆς ἐμῆς στρατιᾶς, ἤτοι τὴν Φαρέτραν τὴν ἀπολειΦθεῖσαν ἀπὸ τῶν ἐμῶν ὅπλων.

ὁρᾷς] Γ. Ἰαμβικὰ ε΄. Τὸ α΄ τρίμετρον. Τὸ β΄ καὶ δ΄ μονόμετρα τὸ γ΄ δίμετρον· τὸ ε΄ ἐφθημιμερές.

v. 1017. βαιά γ᾽ ὡς ἀπὸ πολλῶν] A. ἤτοι τὰ ἔσωθεν ἐγκεκρυμμένα, ὀλίγα εἰσὶν ὡς ἀπὸ πολλῆς πανοπλίας. Καὶ εἶθ᾽ οὕτως ἐπιΦέρει τὸ ἑξῆς, ὀδυρόμενος καὶ λέγων, ὡς ἀπὸ πολλῶν ἐσπανίσμεθα βοηθειῶν.

βαιὰ] Γ. Τροχαϊκὰ ἰθυΦαλλικά.

v. 1019. Ἰαόνων λαὸς] A. ὁ χορὸς ἐρωτηματικῶς Φησὶ πρὸς τὸν Ξέρξην ὁ λαὸς τῶν Ἰαόνων καὶ τῶν Ἀθηναίων οὐ Φυγαίχμας ἐστίν; οὐ Φευγων τὴν αἰχμήν; τουτέστι πτοούμενος τὸν πόλεμον. Ὁ δὲ Ξέρξης Φησὶ πρὸς τὸν χορὸν ἀγανόριός ἐστιν ὁ λαὸς τῶν Ἰαόνων, ἤγουν θαυμαστὸς ὁρᾶσθαι καὶ ἐπιτήδειος εἰς ἀνδρείαν. Κατεῖδον δὲ βλάβην ἀνέλπιστον.

v. 1022. τραπέντα ναύφρακτον] A. τοῦ Ξέρξου εἰπόντος, ὅτι εἶδον πῆμα ἄελπτον, Φησὶ πρὸς αὐτὸν ὁ χορός, τὸν ναυτικὸν ἡμῶν λαὸν τὸν ἡττηθέντα παρὰ τῶν Ἰαόνων λέγεις παθεῖν πῆμα ἄελπτον; Ὁ δέ Φησι πρὸς αὐτόν, ὅτι τοσοῦτον ἔδοξε τοῦτο χαλεπόν, ὥστε καὶ τὸν ἱματισμόν μου διέῤῥηξα ἐπὶ τῇ συμΦορᾷ τούτου τοῦ κακοῦ. Τοῦτο δὲ καὶ ὁ ἄγγελος προεῖπε.

v. 1026. καὶ πλεῖον ἢ παπαῖ] A. ὑπερβαίνει θρῆνον.

v. 1028. λυπρά, χάρματα] Γ. Ἀναπαιστικὰ πενθημιμερῆ γ΄ τὸ δ΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

v. 1029. καὶ σθένος δ᾽ ἐκολούσθη] B. τῶν Περσῶν.

v. 1032. δίαινε δίαινε τὸ πῆμα] A. δάκρυε τὸ ἀτύχημα.

δίαινε] Γ. Ἰαμβικὸν δίμετρον.

v. 1033. αἶ αἶ] Γ. Ἰαμβικὰ δίμετρα ἀκατάληκτα δ΄.

v. 1035. δόσιν κακὰν] A. ἤτοι, δίδου δόσιν κακήν, ἤγουν δάκρυα τοῖς κακοῖς τῶν ἐμῶν κακῶν· ἤτοι τῶν συμΦορῶν καὶ δυστυχιῶν τῶν ἐμῶν.

v. 1036. ἴυζε μέλος ὁμοῦ τιθεὶς] Α. ἤτοι συνηρμοσμένον καὶ ἁρμόζον τῇ ἐμῇ συμφορᾷ ἴυζε καὶ θρήνει. Ἄλλως· ὁμοῦ τιθείς, συντεθεὶς μέλος θρήνει αὐτὸν εὐρύθμως.

v. 1037. ὀτοτοτοτοτοὶ] Γ. Ἰαμβικὸν μονόμετρον ἐκ τριβράχου.

βαρεῖα] Γ. δίμετρα ὅμοια β'.

v. 1039. ἔρεσσ' ἔρεσσε] Α. τύπτε σεαυτὸν εἰς ἐμὴν χάριν.

ἔρεσσ' ἔρεσσε] Γ. Ἰαμβικὸν τρίμετρον.

v. 1040. διαίνομαι] Γ. Ἰαμβικὰ δίμετρα ἀκατάληκτα δ'.

v. 1041. βόα νῦν ἀντίδουπά μοι] Α. ἤτοι ἐναντία τῇ ἐμῇ βοῇ, τοῦτ' ἔστι, φώνει μοι φωνὰς ἀντηχούσας ταῖς ἐμαῖς φωναῖς.

v. 1043. ἐπορθίαζε νῦν γόοις] Α. ἐπεκτεταμένως θρήνει.

v. 1044. ὀτοτοτοτοὶ] Γ. Ἰαμβικὰ γ'. Τὸ α' μονόμετρον ἐκ τριβράχου· τὸ β' δίμετρον ἀκατάληκτον· τὸ δὲ γ' ἑφθημιμερές.

μέλαινα] Α. πενθήρης.

v. 1046. κἀπιβόα τὸ Μύσιον] Α. οἱ γὰρ Μυσοὶ καὶ οἱ Φρύγες μάλιστα εἰσὶ θρηνητικοί.

v. 1048. καί μοι γενείου] Α. ληπτέον ἔξωθεν τὸ κόπτε ἢ τίλλε. Ἤγουν τίλλε καὶ τὴν λευκήρη καὶ πεπολιωμένην καὶ γηραιὰν τρίχα τοῦ σοῦ γενείου, δι' ἐμὴν χάριν. Ἄλλως. Πέρθε· οἱ δὲ γράφοντες ὕπερθε ἀμαθεῖς τοῦ μέτρου.

v. 1049. ἄπριγδ' ἄπριγδα] Α. ὁ χορὸς εἴποντος τοῦ Ξέρξου, τίλλε τὴν σὴν γενειάδα, φησὶν, ἀπρὶξ καὶ δι' ὅλου, μάλα γόεδνα, καὶ λίαν λυπηρῶς καὶ γοερῶς τίλλω τὰς τρίχας τοῦ γενείου μου. Ἔστι δὲ τὸ ἄπριγδ' ἄπριγδα ἐπιφώνημα καὶ ἐπίφθεγμα ἐπὶ τῶν μετὰ σφοδρότητος τιλλόντων τὰς τρίχας. Ἀντὶ τοῦ ἐπιτεταμένως καὶ ἀπρὶξ καὶ ῥίον ἐμμανῶς τίλλω τὰς τρίχας.

v. 1050. γόεδνα] Α. ἤτοι ἕδνα καὶ δῶρα τοῖς γόοις καὶ τοῖς θρήνοις διδόμενα. Σύνηθες γὰρ τοῖς θρηνοῦσι τίλλειν τὰς ἑαυτῶν τρίχας.

v. 1054. καὶ ψάλλ' ἔθειραν] Α. ἀπὸ τοῦ ψάλλειν τοῦ σημαίνοντος τὸ κόπτειν, λέγεται καὶ χοιροψάλας Διόνυσος, ὁ τίλλων τὰ μόρια τῶν γυναικῶν.

v. 1061. ἰὼ ἰὼ Περσίς] Γ. Τροχαϊκά.

v. 1064. γοᾶσθ' ἁβροβάται] Α. ἤτοι Πέρσαι τρυφηλοὶ καὶ ἁβρῶς βαίνοντες, ὀδύρεσθε.

v. 1065. δύσβατος] Α. δύσβατόν φησι τὴν Περσίδα, οὐχ ὡς σκληρὰν καὶ δύσκολον εἰς ἔμβασιν, ἀλλ' ὡς ἐπὶ κακῷ καὶ δυστυχίᾳ βαινομένην τῷ Ξέρξῃ.

v. 1066. ἢ ἢ] Α. φεῦ ὦ ὀλόμενοι ταῖς ἀπὸ βάριος ναυσὶ ταῖς τρισκάλμοις.

v. 1068. πέμψω σε] Α. προπέμψω.

πέμψω σε] Γ. Ἰαμβικὸν δίμετρον.

SCHOLIA IN AGAMEMNONEM.

Ἀγαμέμνονος

ὙΠΟΘΕΣΙΣ ΤΗΣ ΤΟΥ ΑἸΣΧΥΛΟΥ ΤΡΑΓΩΔΙΑΣ Ἡ ἘΠΙΓΡΑΦΕΤΑΙ ΑΓΑΜΕΜΝΩΝ.

Ἀγαμέμνων εἰς Ἴλιον ἀπιὼν τῇ Κλυταιμνήστρᾳ, εἰ πορθήσοι τὸ Ἴλιον, ὑπέσχετο τῆς αὐτῆς ἡμέρας σημαίνειν διὰ πυρσοῦ. Ὅθεν σκοπὸν ἐκάθισεν ἐπὶ μισθῷ Κλυταιμνήστρα, ἵνα τηροίη τὸν πυρσόν. Καὶ ὁ μὲν ἰδὼν ἀπήγγειλεν· αὐτὴ δὲ τὸν τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται, περὶ τοῦ πυρσοῦ ἐροῦσα· ἐξ ὧν καὶ ὁ χορὸς συνίσταται· οἵτινες ἀκούσαντες παιανίζουσι. Μετ' οὐ πολὺ δὲ καὶ Ταλθύβιος παραγίνεται, καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων δ' ἐπὶ ἀπήνης ἔρχεται· εἵπετο δ' αὐτῷ ἑτέρα ἀπήνη, ἔνθα ἦν τὰ λάφυρα καὶ ἡ Κασάνδρα. Αὐτὸς μὲν οὖν προεισέρχεται εἰς τὸν οἶκον σὺν τῇ Κλυταιμνήστρᾳ. Κασάνδρα δὲ προμαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς καὶ τοῦ Ἀγαμέμνονος θάνατον, καὶ τὴν ἐξ Ὀρέστου μητροκτονίαν, καὶ εἰσπηδᾷ ὡς θανουμένη, ῥίψασα τὰ στέμματα. Τοῦτο δὲ τὸ μέρος τοῦ δράματος θαυμάζεται, ὡς καὶ ἔκπληξιν καὶ οἶκτον ἱκανὸν [illegible]. Ἰδίως δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ σκη-

ἔχον

της ἀναιρεῖσθαι ποιεῖ· τὸν δὲ Κασάνδρας σιωπήσας θάνατον, νεκρὰν αὐτὴν ὑπέδειξε. Πεποίηκέ τε Αἴγισθον καὶ Κλυταιμνήστραν, ἑκάτερον διισχυριζόμενον περὶ τῆς ἀναιρέσεως, ἑνὶ κεφαλαίῳ· τὴν μὲν, τῇ ἀναιρέσει Ἰφιγενείας· τὸν δὲ, ταῖς τοῦ πατρὸς Θυέστου ἐξ Ἀτρέως συμφοραῖς.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους, Ὀλυμπιάδι εἰκοστῇ ὀγδόῃ ἔτει δευτέρῳ. Πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ. Ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.

v. 1. θεοὺς μὲν αἰτῶ] B. εἰσθέσεις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λή. Ὧν τελευταῖος·

Μαθοῦσιν αὐδῶ, κοὐ μαθοῦσι λήθομαι.

Μετὰ δὲ τὸν κδ΄ κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

v. 2. Φρουρᾶς ἐτείας μῆκος] A. τῶν κατὰ τὸ μῆκος τῆς ἐτείας φρουρᾶς. Γράφεται καὶ μῆκος δ᾽ ἣν κοιμώμενος.

κοιμώμενος] B. τὸ κοιμώμενος οὐκ ἐπὶ ὕπνου· πῶς γὰρ ἂν καὶ φρουροῖ καὶ ἄστρα βλέποι ὁ ὑπνῶν; ἀλλ᾽ ἐπὶ ἁπλῆς ἀνακλίσεως· ἵνα ᾖ ὁ φύλαξ οὗτος κοιμώμενος, καθὰ καὶ κύων ἐν φυλακῇ νυκτερινῇ.

v. 3. ἄγκαθεν] A. κατὰ συγκοπὴν, ἀντὶ τοῦ ἀγκάθεν· τοῦτ᾽ ἔστιν, ἄνωθεν, ἐξ ἀρχῆς. κυνὸς δίκην· διὰ τὸ φυλακτικόν τε καὶ φιλοδέσποτον.

v. 6. δυνάστας] A. τοὺς δυναμένους παρὰ τὰ ἄλλα σημᾶναι τοὺς καιρούς.

v. 11. ἀνδρόβουλον] A. τὸ μείζονα ἢ κατὰ γυναῖκα βουλευόμενον γενναῖον· ἢ κατὰ ἀνδρὸς βουλευομένη.

v. 14. Φόβος γὰρ] A. ἢ περισσὸς ὁ γάρ, ἢ λείπει ἀλύων.

v. 15. οἴκου τοῦδε] A. οἴκου διαπονουμένου οὐκ ἄριστα ὡς τὸ πρόσθεν.

v. 22. ὦ χαῖρε] A. δεῖ διαστήματος ὀλίγου ἐνταῦθα, εἶτα ἀνακραγεῖν, ὡς θεασάμενον τὸν πυρσόν. νυκτὸς ἡμερήσιον] ἐκ νυκτὸς ἡμέραν ἡμῖν διδούς.

v. 26. τορῶς] A. μεγαλοφώνως.

v. 27. ἐπαντείλασαν] A. ὡς ἐπὶ ἄστρου ἢ σελήνης.

v. 30. πρέπει] A. διαπρεπῶς σημαίνει.

v. 31. Φροίμιον χορεύσομαι] A. πρὸ τῆς Κλυταιμνήστρας.

v. 32. θήσομαι] A. οἰκειώσομαι.

v. 33. τρὶς ἓξ] A. Παροιμία ἐπὶ τῶν ἄκρως εὐτυχούντων. Ἐπεὶ καὶ τοῖς κυβευταῖς οὐκ ἔστι πλείω τούτων εὐθυβολῆσαι. Ἔστι δὲ καὶ κατὰ παροιμίαν παροιμία· Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι.

v. 36. βοῦς ἐπὶ γλώσσῃ μέγας] A. Παροιμία ἐπὶ τῶν μὴ δυναμένων παῤῥησιάζεσθαι. Ἄλλως. Παροιμία ἐπὶ τῶν ἀλάλων· ἢ βάρος ἐπίκειται· ἢ φοβοῦμαι ζημίαν ἐπικεισομένην μοι.

v. 40. δέκατον μὲν ἔτος] B. ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων σλβ΄. Ὧν τὰ μὲν ξθ΄ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ ἤτοι ἑφθημιμερῆ καὶ μονόμετρα. Ἑξῆς δὲ μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξεν. Καὶ εἰσὶ τὰ ἑξῆς κῶλα, ἀναπαιστικὰ πενθημιμερῆ καὶ ἑφθημιμερῆ καὶ δίμετρα ἀκατάληκτά τινα καὶ μονόμετρα ξδ΄. Ἑξῆς δὲ εἰς ἑτέραν ὑπόθεσιν μεταβὰς καὶ ἑτέρῳ μέτρῳ ἐχρήσατο· καί εἰσι τὰ ἑξῆς κῶλα χοριαμβικὰ δίμετρα καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ ἀκατάληκτα καὶ ἡμιόλια καὶ πενθημιμερῆ, καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ ρδ΄. Ὧν τελευταῖον·

Γαίας μονόφρουρον ἕρκος.

Τὰ δὲ τοιαῦτα εἴδη τῶν χορῶν, ὡς εἴρηται καὶ ἐν τῇ ἀρχῇ τοῦ τῶν Περσῶν δράματος, ἑτέρως εἰσὶν ἐσχηματισμένα. Τὰ μὲν γάρ εἰσι μονοστροφικὰ καὶ συστηματικὰ κατὰ περιορισμοὺς ἀνίσους, τὰ δὲ κατὰ σχέσιν. Εἰσὶ δὲ κατὰ σχέσιν, στροφῶν ἕξ. Ἔστι δὲ τῆς παρούσης μονοστρόφου στροφῆς

τὰ

τὰ κῶλα ἀναπαιστικὰ ξδ'. Ὧν τὰ μέν εἰσι δίμετρα ἀκατάληκτα, τὰ δὲ μονόμετρα· τὰ δὲ τῶν ἀποθέσεων δίμετρα καταληκτικά, ἤγουν ἐφθημιμερῆ. Ἐπὶ ταῖς ἀποθέσεσι πάσαις παράγραφος.

v. 41. ἀντίδικος] A. ἀντὶ τοῦ ἐχθρός, ἀπὸ τῶν ἐν ταῖς δίκαις ἐχθρῶν.

v. 45. χιλιοναύταν] γράφεται καὶ Ἴλιον αὐτάν.

v. 48. ἐκ θυμοῦ κλάζοντες] οὐ γὰρ γλώσσῃ ἀλλ' ἔργῳ θυμούμενοι.

v. 49. οἵτ' ἐκπατίοις] οἵτινες ὕπατοι ὄντες, ὀλέσαντες δὲ τὸν πόνον τῶν ὀρταλίχων, τὸν ἐν τοῖς δεμνίοις τηρούμενον, ἐπὶ τῶν λεχέων στροφοδινοῦνται. Ἄλλως ἐκπατίοις, τοῖς ἔξω τῆς ὁδοῦ· πάτος γὰρ ἡ ὁδός. Ἢ, ἐκπατίοις λεχέων, ἀντὶ τοῦ τοῖς ἔξω τῆς οἰκίας αὐτῶν. Τὸ δὲ ὅλον, οἵτινες ἀπολέσαντες τοὺς πόνους τῶν ὀρταλίχων τῶν ἐν τοῖς δεμνίοις τηρουμένων, οὕτω γὰρ ὤφειλεν εἰπεῖν, στροφοδινοῦνται ἐν ἄλγεσι τῶν παίδων ἐκπατίοις, ὕπατοι, ἤγουν ὑπεράνω τῶν λεχέων, πληττόμενοι ταῖς πτέρυξιν αὐτῶν. Δέον δὲ εἰπεῖν ἐκπατίων παίδων· ἐκπατίοις εἶπε πρὸς τὸ ἄλγεσι.

v. 54. ὀρταλίχων] τῶν μηδέπω πετομένων νεοττῶν. ὁ ὀρτιξ ad lineam in qua Πάν.

v. 58. τῶνδε μετοίκων] ὑπὲρ ἐπὶ τῶν μετοικισθέντων νεοσσῶν.

v. 59. παραβᾶσι] τοῖς παραβήσασι καὶ μετοικήσασιν αὐτούς.

v. 62. πολυάνορος ἀμφὶ γυναικὸς] τῆς πολλοὺς μνηστῆρας ἐσχηκυίας.

v. 63. καὶ γυιοβαρῆ] βαρέα καὶ μὴ ἐῶντα ἀνανεῦσαι τοὺς πίπτοντας.

v. 65. διακναιομένης] διακναιούσης. ἐν προτελείοις] κυρίως, ταῖς πρὸ γάμου θυσίαις· νῦν δέ, ταῖς πρὸ τῆς ἁλώσεως μάχαις.

v. 67. ἐστὶ δ' ὅπῃ] παρὰ τό· καὶ τὸ μὲν ὥς κε πέλει, τὼς ἔσται.

v. 69. οὐθ' ὑποκλαίων] τὸ τὶς λείπει.

v. 70. ἀπύρων ἱερῶν] τῶν θυσιῶν τῶν Μοιρῶν καὶ τῶν Ἐρινύων, ἃ καὶ νηφάλια καλεῖται.

v. 78. οὐκ ἔνι χώρᾳ] τῷ τόπῳ ἐκείνῳ.

v. 82. ἀλαίνει] ἀλᾶται.

v. 85. τί χρέος] διατί.

v. 94. χρίσματος ἁγνοῦ] τοῦ ἐλαίου.

v. 96. μυχόθεν] λείπει κομιζομένων.

v. 100. τότε μὲν] ἔσθ' ὅτε μέν.

v. 103. τὴν θυμοβόρον] ἥτις ἐστὶ θυμοβόρος λύπη τῆς φρενός.

v. 104. κύριός εἰμι θροεῖν] A. δυνατός εἰμι εἰπεῖν τὸ συμβὰν αὐτοῖς σημεῖον ἐξιοῦσιν. ὅδιον] τὸ ἐν τῇ ὁδῷ ὀφθέν.

κύριός εἰμι] B. ἐντεῦθεν αἱ κατὰ σχέσιν ἄρχονται στροφαὶ καὶ εἰσι τῆς πρώτης ταυτησὶ στροφῆς κῶλα ιθ' καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. Εἰσὶ δὲ τὰ πλείω μὲν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤγουν ἑφθημιμερῆ, καὶ μονόμετρα καὶ πενθημιμερῆ. Τινὰ δὲ καὶ δακτυλικὰ ἰαμβικά· ἃ καὶ μετρήσεις ἑπόμενος οἷς πρότερον εἰρήκαμεν. Τὸ μέντοι τελευταῖον κῶλον τῆς τε στροφῆς καὶ ἀντιστροφῆς καὶ τῆς ἐπῳδοῦ καλεῖται ἐφύμνιον, καὶ ἐστὶ δακτυλικὸν πεντάμετρον. Ἐπὶ τὸ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. Ἔστι δὲ τριὰς ἐπῳδική.

v. 105. θεόθεν καταπνέει] A. πείθει γάρ με ἡ παρὰ θεῶν πίστις μέλπειν καὶ λέγειν, ὅτι εὖ πράξουσιν οἱ Ἀτρεῖδαι ὅσον ἀπὸ τοῦ σημείου.

v. 107. σύμφυτος αἰὼν] A. ὁ γὰρ σύμφυτός μοι αἰών, ὅ ἐστι τὸ γῆρας, διὰ τὴν εἰς θεοὺς πειθὼ μολπήν μοι καὶ ἀλκὴν καταπνεῖ. Ὅ ἐστιν εἰ καὶ γέρων εἰμί, ὅμως μέλψω τὰ γεγονότα· πέποιθα γὰρ ὅτι εἰς πέρας αὐτὰ ἄξουσιν οἱ θεοί.

v. 109. Ἑλλάδος ἥβαν] τοὺς κρατοῦντας τὴν Ἑλληνικὴν ἥβην, καὶ τὴν ὁμόφρονα περὶ τὰ τακτικά. Λέγει δὲ τοὺς Ἀτρείδας.

v. 111. δίκας πράκτορι] τῷ δίκην εἰσπραξομένῳ.

v. 115. ὅ τ' ἔξοπιν ἀργίας] ὁ ἐξοπίσω λευκός. Ὅ ἐστιν ὁ πύγαργος.

v. 118. παμπρέποις] τοῖς βασιλείοις.

v. 119. λαγίναν — γένναν] τὸν λαγωόν.

ἐρικύμονα] πολυκύμονα.

v. 120. βλαβέντα] πρὸς τὸ σημαινόμενον τὸ βλαβέντα.

v. 121. αἴλινον] ἐπειδὴ ὁ αἴλινος καὶ ἐπὶ θρήνου λέγεται, φησὶν ὅτι ἐν τάξει ὕμνου αὐτὸν λέγε.

v. 125. τεράζων] τὰ τέρατα διηγούμενος.

v. 129. κτήνη] κτήματα.

v. 131. μή τις ἄτα] μόνον μὴ προτυπὲν ὑπὸ θεῶν τὸ στρατευθὲν τῆς Τροίας στόμιον, ὅ ἐστι, τὸ ἐπὶ βλάβῃ Τροίας στρατευθέν, ἄτῃ σκοτίσῃ.

v. 134. οἴκῳ γὰρ] τῷ γὰρ οἴκῳ τῶν κυνῶν Διός, ὅ ἐστι τῶν ἀετῶν ὀργίζεται Ἄρτεμις διὰ τὸ τὸν κύοντα λαγὼν ἀποκτεῖναι. Λοχεία γάρ ἐστιν ἡ θεός.

v. 137. αὐτότοκον] σὺν αὐτῷ τόκῳ.

πτῶκα] τὸν λαγωόν.

v. 141. δρόσοισιν] τοῖς νεογνοῖς. χωρὶς δ' αὖ θ' ἔρσαι. (Homer. Odyss. IX. 222.)

ἀέπτοισι] τοῖς ἕπεσθαι τοῖς γονεῦσι μὴ δυναμένοις. Ἄλλως· τοῖς μὴ δυναμένοις πτῆναι. μαλερῶν] φθαρτικῶν.

v. 144. ξύμβολα φάναι] τὰ σύμβολα αἰτεῖ με φάναι.

v. 145. δέξια μὲν κατάμομφα δὲ φάσματα] δέξια διὰ τὴν νίκην, κατάμομφα διὰ τὸν χόλον Ἀρτέμιδος.

v. 146. στρουθῶν] τῶν ἀετῶν.

v. 147. ἰήιον δὲ καλέω Παιᾶνα] ὡς μάντις.

v. 150. ἀπλοίας τεύξῃ] ὦ Ἄρτεμι.

v. 152. ἄδαιτον] ἣν οὐδεὶς ἐδαίσεν.

v. 153. σύμφυτον] συγγενικήν.

v. 154. οὐ δεισήνορα] οὐ φοβουμένην, ἢ οὐ δείσασαν τὸν ἄνδρα.

v. 155. παλίνορσος] ἢ ἐξ ὑστέρου ὁρμωμένη.

v. 159. ξὺν μεγάλοις ἀγαθοῖς] διὰ τὴν νίκην.

v. 162. ὁμόφωνον] ὁμοφώνως.

v. 164. Ζεὺς ὅστις] διάφορος γάρ ἐστιν ἡ περὶ τοῦ θείου δόξα.

v. 167. οὐκ ἔχω προςεικάσαι] ἐγώ, φησί, πάντα ἐρευνῶν καὶ πάντα ἐξετάζων ὡς ἐν σταθμῷ τινι, οὐκ ἔχω ὅμοιόν τι εὑρεῖν τῷ Διΐ, εἰ χρὴ ἀληθῶς ἀποβαλεῖν ἀπὸ τῆς φροντίδος καὶ τοῦ λογισμοῦ μάταιον ἄλλο ἄχθος. Τὸ γὰρ περί τινων ἄλλων διαλογίζεσθαι μάταιόν ἐστιν ὄντως ἄχθος· ἡ δέ γε περὶ θεοῦ ἔννοια καὶ τὸ διὰ μνήμης ἐκεῖνον ἔχειν ἀεί, οὐ μόνον ἄχθους παντός ἐστιν ἀπηλλαγμένον, ἀλλὰ καὶ χαρᾶς ἀφάτου τὴν καρδίαν πληροῖ. Ὡς καὶ Εὐριπίδης φησὶ (Hippol. v. 1102 sqq.).

Ἦ μέγα μοι τὰ θεῶν
Μελεδήμαθ᾽ ὅταν φρένας ἔλθῃ
Λυπὰς παραιρεῖ.

Τοῦτο δὲ ὅμοιον ἐστι τῷ· Ἐμνήσθην τοῦ θεοῦ καὶ εὐφράνθην· (Psalm. XVI. 9.) ταῦτα δὲ ἄγαν ἐστὶν εὐσεβῆ.

v. 169. εἰ τόδε μάταν] εἰ τὸ τῆς ματαιότητος ὀφείλει τις ἀποσείσασθαι τῆς γνώμης, Δία νομιζέτω.

v. 172. ἦν μέγας] A. διὰ τοὺς Τιτᾶνας.

v. 173. θράσει βρύων] ὁ Τυφώς.

v. 175. τριακτῆρος] νικητοῦ· ἐκ μεταφορᾶς τῶν ἐν τοῖς πεντάθλοις ἀποτριαζόντων ἐπὶ ἐλπίδι νίκης.

v. 179. τεύξεται φρενῶν τὸ πᾶν] ὁλοσχερῶς φρόνιμος ἔσται.

τ παθόντι v. 181. τῷ πάθει μαθὼν] A. παθὼν δέ τε νήπιος ἔγνω *).

---

*) Apud Homerum Iliad. XVII. 32. sic legitur:

μηδ᾽ ἀντίος ἵστασ᾽ ἐμεῖο
πρίν τί κακὸν παθέειν ῥεχθὲν δέ τε νήπιος ἔγνω.

v. 183. στάζει — πρὸ καρδίας μνησιπήμων πόνος] τῷ ἁμαρτάνοντι τοῦτο συμβαίνει.

v. 187. σέλμα] τὸν ζυγόν. Ὑψίζυγος γὰρ ὁ Ζεύς.

v. 188. ἡγεμὼν] μείζων γὰρ Μενελάου.

v. 191. ἐμπαίοις] ἐμπεσούσαις. συμπνέων] συμφωνῶν καὶ οὐκ ἀνθιστάμενος.

v. 192. κενὰγγεῖ] νηῶν ἐξέφθιτο ἤϊα πάντα *).

v. 194. ἔχων] ἀντὶ τοῦ ἐχόμενος.

v. 197. κακόσχολοι] ἐπὶ κακῷ ποιοῦσαι σχολάζειν.

v. 198. βροτῶν ἄλαι] ἐκ τοῦ Ὁμηρικοῦ (Odyſſ. M. 330.)

Καὶ δὴ ἄγρην ἐφέπεσκον ἀλητεύοντες.

ναῶν καὶ πεισμάτων] πάλιν ἐκ τοῦ Ὁμηρικοῦ (Iliad. B. 135.)

Καὶ δὴ δοῦρα σέσηπε νεῶν.

v. 201. τρίβῳ] διατριβῇ.

v. 204. βριθύτερον] ἐπαχθέστερον.

v. 213. ἄναξ δ' ὁ πρέσβυς τόδ'] A. ἡ ἀπόδοσις τοῦ ἐπεὶ δὲ (v. 202.) ἐνταῦθά ἐστιν, οὕτως· Ἐπεὶ δὲ ὁ μάντις εἶπε τὸ καὶ τό, ὁ ἄναξ δὲ ὁ πρέσβυς εἶπε τόδε. Καὶ πέρισσός ἐστιν ὁ δὲ σύνδεσμος Ἀττικῶς· ἐπεὶ δὲ καὶ πικροῦ — — ἄναξ ὁ πρέσβυς τόδ' εἶπε.

v. 210. κὴρ] τιμωρία.

v. 211. τέκνον δαΐζω] πλείων οἶκτος διὰ τὸ τέκνον.

v. 219. ὀργᾷ] τῷ τρόπῳ γὰρ αὐδᾷ ὁ μάντις.

v. 220. περιόργως] ἐπιθυμητικῶς.

v. 221. εὖ γὰρ εἴη] καλῶς ἀποβαίη.

v. 222. ἀνάγκας ἔδυ λέπαδνον] A. ἀντὶ τοῦ ἠναγκάσθη ποιεῖν· τροπαίαν μεταβολήν.

v. 225. τὸ παντότολμον] ὅθεν ἔγνω πάντα τοὺς ἀνθρώπους τολμᾶν, ἀπὸ τῆς ἀνάγκης δηλονότι.

*) Odyſſ. M. 329. ubi tamen legitur νηὸς ἐξέφθιτο.

v. 227. αἰσχρόμητις] αἰσχρὰ ποιεῖν ἀναγκάζουσα.

v. 228. παρακοπὰ] τοῦ νοῦ παρακοπή. πρωτοπήμων] ἡ μείζων τῶν ἄλλων πημάτων.

v. 232. λιτὰς δὲ] κἂν διὰ τὰς λιτὰς ἃς ἐποιεῖτο πρὸς τὸν πατέρα παρ' οὐδὲν ἡγήσαντο τὴν ζωὴν αὐτῆς.

v. 238. περιπετῆ] περιεσκεπασμένην.

v. 239. προνωπῆ] προνενευκυῖαν.

v. 240. ἀέρδην] βαστακτικῶς.

v. 241. καλλιπρώρου] εὐμόρφου.

v. 243. βίᾳ χαλινῶν] τῇ βίᾳ καὶ τῷ ἀναύδῳ μένει τῶν χαλινῶν, τῶν μὴ ἐώντων αὐτὴν λαλεῖν.

v. 247. ὡς ἐν γραφαῖς] διὰ τὸ κάλλος ἢ διὰ τὸ ἀφωνητεῖν.

v. 251. ἀταύρωτος] ἄζευκτος, παρθενική.

v. 252. τριτόσπονδον] πολλὰς θυσίας ποιοῦντα καὶ εὐωχίας καὶ συμπόσια. εὔποτμον] ζηλωτὸν ἐποίει δι' ἑαυτὴν τὸν πατέρα.

v. 253. οὔτ' εἶδον] διὰ τὸ ἀπάνθρωπον εἶναι τὴν σφαγήν.

v. 256. τοῖς μὲν παθοῦσι μαθεῖν] τοῖς μὲν πεπονθόσιν ἡ δίκη δίδωσι τὸ μαθεῖν. Δίκην γὰρ δόντες μανθάνουσι τὸ μέλλον.

v. 260. τῷ προστένειν] ὁ γὰρ προγινώσκων τὸ μέλλον καὶ προστενάζει.

v. 261. τορὸν] φανερόν. Τὸ πεπρωμένον φανερὸν ἥξει.

v. 262. εὔπραξις] εὐπραξία.

v. 263. τόδ' ἄγχιστον] τὸ συγγενικόν.

v. 264. μονόφρουρον ἕρκος] ἐπειδὴ μόνοι γέροντες ἐφύλασσον τὴν Ἑλλάδα.

v. 265. ἥκω σεβίζων] Β. αἱ ἑξῆς αὗται συστημάτων περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ἐννενήκοντα ἑπτά. Ὧν τελευταῖος·

χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.

Ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος καὶ ἐπὶ τῷ τέλει κορωνίς ἐστι τοῦ χοροῦ.

v. 267. ἐρημωθέντος] A. ἤγουν ἐρήμου καταλειφθέντος, ὡς ἀποδημοῦντος τοῦ βασιλέως· παρόντος μέντοι οὐ δεῖ συντυγχάνειν αὐτῇ.

v. 270. οὐδὲ σιγώσῃ] εἰ μὴ θέλεις εἰπεῖν, οὐ μεμψαίμην ἄν.

v. 271. παροιμία] ὁ παλαιὸς λόγος.

v. 272. ἕως γένοιτο] γένοιτο καλὴ ἡμέρα, ὥσπερ ἡ νύξ.

v. 280. μὴ δολώσαντος θεοῦ] εἰ μήπω θεός με ἀπατᾷ.

v. 283. ἄπτερος] ἰσόπτερος, κούφη.

v. 290. Ἑρμαῖον] ὄρος Λήμνου ἐν ᾧ ἐτιμᾶτο ὁ Ἑρμῆς.

v. 291. φανὸν] τὴν λαμπάδα.

v. 293. νωτίσαι] ὑπερβῆναι.

v. 294. ἰσχὺς] μεγίστη πεύκη, ἰσχὺς πυρός. κοινὸν τὸ ἔπεμπεν:

v. 300. Μεσάπιον] Μεσάπιον ὄρος μεταξὺ Εὐβοίας καὶ Βοιωτίας.

v. 302. θωμὸν] σωρόν.

v. 303. μαυρουμένη] Σημείωσαι, ὅτι ἀπέβαλε τὸ α διὰ τὸ μέτρον.

v. 308. πλέον καιοῦσα] ἢ τοῦ Κιθαιρῶνος.

v. 310. Αἰγίπλαγκτον] ὄρος Μεγαρίδος.

v. 313. πώγωνα] πώγωνα λέγει τὴν εἰς ὀξὺ λήγουσαν ἀκμὴν τοῦ πυρός. Καὶ ὁ πώγων γὰρ εἰς ὀξὺ λήγει. Ὥσπερ καὶ ἀλλαχοῦ (Prom. vinct. v. 64.) αὐθάδη γνάθον τὴν ἀκμὴν εἴρηκε καὶ ὀξύτητα τῆς σφηνός. Σημείωσαι δὲ ὅτι ἐκ τούτου ὠνομάσθη παρὰ τοῖς μετεωρολόγοις πωγωνίας ἀστήρ. Σαρωνίκου] κόλπος περὶ Τροιζῆνα.

v. 314. κάτοπτον] τὸ κατάψιον.

v. 316. Ἀραχναῖον αἶπος] ὄρος Ἄργους.

v. 318. οὐκ ἄπαππον] οὐ ξένον ἀλλὰ συγγενές.

v. 334. Φυταλμίων] οὐ κατὰ τὸν Φυτάλμιον Δία ἐνταῦθα ἡ ἐτυμολογία· ἐκ τῆς φύτλης δὲ γίνεται φυ-

τάλιμος, ἤγουν φυτοσπόρος, καὶ μεταθέσει διὰ καλλιφωνίαν, φυτάλμιος.

v. 351. διαύλου θάτερον] ἐπειδὴ ὁ δίαυλος δύο ἔχει σταδίους, ὧν τὸν ἕτερον διῆλθον ἤδη εἰς Τροίαν ἀνελθόντες, δεῖ λοιπὸν καὶ τὸν ἄλλον διελθεῖν, καὶ ὑπονοστῆσαι πρὸς τὸν οἶκον.

v. 354. πρόσπαια] πρόσφατα· νῦν προσπαίσαντα καὶ προσκρούσαντα αὐτοῖς.

v. 361. οὐκ ἄτιμος] τιμώμενοι γὰρ οἱ θεοὶ ἠμείψαντο ἡμᾶς.

v. 362. ὦ Ζεῦ βασιλεῦ] Β. εἴρηται ἡμῖν ἐν τῷ τῶν Περσῶν δράματι περὶ τοῦ εἴδους τούτου τῶν χορῶν, ὅμοιον γάρ ἐστιν ἐκείνοις καὶ τοῦτο. Ἔχει γὰρ ἐν ἀρχῇ μὲν σύστημα ἐπιφθεγματικόν, εἰς δύο διῃρημένον περιόδους κώλων ἀναπαιστικῶν ιβ΄· ἑξῆς δὲ στροφὰς γ΄, καὶ ἀντιστροφὰς τοσαύτας καὶ ἐπῳδόν. Καλεῖται δὲ ταῦτα ἑπτὰ ἐπῳδική. Ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος· ἐπὶ δὲ τῷ τέλει τῆς ἐπῳδοῦ κορωνὶς καὶ παράγραφος.

v. 368. γάγγαμον] Α. δίκτυον.

v. 371. τόξον] ἤγουν τὴν τιμωρίαν, μεταφορικῶς.

v. 379. ἀθίκτων] τῶν ἱερῶν.

v. 381. πέφανται] οἱ θεοί, φησί, πέφανται καὶ φανεροὺς ποιοῦσι τοὺς ἐκγόνους τῶν ἀσεβῶν τῶν πνεόντων Ἄρη μείζω ἢ δικαίως κατὰ τῶν δωμάτων τῶν ἀτολμήτων. Ἤγουν, ὑπὲρ τὸ δίκαιον μαχομένων τοῖς ἱεροῖς οἴκοις τῶν θεῶν.

v. 392. πειθώ] τῆς δ' ἄτης πειθὼ ἄφερτος καὶ ἀφόρητος καὶ βαρεῖά ἐστιν, ἥτις βιάζει αὐτούς, πρόνοιαν δῆθεν τοῦ πλουτίσαι τοὺς παῖδας ποιουμένη.

v. 396. σίνος] τουτ' ἔστι, σέλας.

v. 413. ἀντίφερνον] ἤγουν ἀντὶ προικὸς φθοράν, καὶ ἀπώλειαν κομίσασαν.

v. 421. ἀφεμένων] ἀφεμένων ἡμῶν τῆς σιγῆς· ὅ ἐστι καὶ ἀφισταμένων τοῦ σιγᾶν, τουτ' ἔστι, καὶ παῤῥησιαζομένων καὶ φθεγγομένων τι, διὰ τὸ μὴ παρεῖναι τὴν δέσποι-

γαν. ὅμως τῇ παλαιᾷ αἰδοῖ σώζομεν αὐτῆς τὴν παρουσίαν, καὶ πάρεστιν ἡμῖν ἰδεῖν ἡδίστη, καὶ πολύτιμος καὶ ἀλοίδορος. Ἤγουν νομίζομεν ἔτι συνεῖναι ἡμῖν αὐτὴν καὶ τῆς παρ' ἡμῶν τιμῆς ἀπολαύειν.

v. 438. συνορμένοις] τῶν συνηγμένων ἀπὸ τῆς Ἑλλάδος ἀπάντων ἑκάστου τοῖς οἴκοις ὀδυνηρὰ πένθησις διαπρέπει.

v. 446. ὁ χρυσαμοιβὸς] B. Στροφὴ ἑτέρων κώλων ιζ'.

v. 455. ἀλλοτρίας] A. ὅτι δι' ἀλλοτρίαν ἀπώλλυτο γυναῖκα, σιωπηλῶς βρᾷ μετὰ ὀργῆς, δίκην κυνός.

v. 460. τεῖχος] ὃ ἐποίησαν ἐν τῇ Τροίᾳ. Βέλτιον δὲ αὐτῆς τῆς Τροίας τὸ τεῖχος εἰπεῖν. Τὸ δ' εὔμορφοι πρὸς πλείονα οἶκτον προςέθηκεν.

v. 464. βαρεῖα δ' ἀστῶν] B. Ἀντιστροφὴ κώλων ιζ'.

v. 482. πυρὸς] B. ἐπῳδὸς κώλων ιε'.

v. 485. ψύθος] A. τὸ ψύθος σύστοιχον τῷ ψεύδει ὡς καὶ τὸ ψυδρόν. Ὅτι δὲ συγγενῆ τὸ δ καὶ τὸ θ δῆλον. Προϋπόκειται δὲ τὸ ψεῦδος.

v. 493. ὁ θῆλυς ὅρος] ἤγουν περιφραστικῶς, ἡ γυνή· ὡς ταυτὸν ὂν γυναῖκα εἰπεῖν, καὶ ὅρον αὐτῆς ἐκθεῖναι.

v. 496. γυναικοκήρυκτον] τὸ φημιζόμενον ἀγαθὸν ὑπὸ τῶν γυναικῶν ἀνύπαρκτόν ἐστι, καὶ ταχέως φθειρόμενον, καὶ οὐκ ἐπὶ πολὺ διαμένον.

v. 512. δεκάτῳ] τινὲς μέμφονται τῷ ποιητῇ, ὅτι αὐθήμερον ποιεῖ τοὺς Ἕλληνας ἥκοντας.

v. 513. πολλῶν ῥαγεισῶν] ἡ λέξις ἐκ μεταφορᾶς τῶν ἀγκυρῶν, ὧν πολλῶν ῥαγεισῶν εἰς τὸ ὕδωρ μία τις περισώζει τὴν ναῦν.

v. 520. κἀπαγώνιος] ἀπόμαχος.

v. 522. τιμάορον] βοηθόν.

v. 527. ἀντήλιοι] οἱ εἰς ἀνατολὴν ὁρῶντες.

v. 534. μακέλλη] σπάθη.

v. 540. Πάρις γὰρ] ἀπὸ κοινοῦ τὸ οὔτε ληπτέον καὶ εἰς τὸ Πάρις· συνυπακούεται γὰρ ἐκ τοῦ ἐπαγομένου.

v. 541. τὸ δρᾶμα τοῦ πάθους πλέον] τοῦτο δηλοῖ ὡς οὐ πλέον δέδρακεν ἢ πέπονθεν.

v. 543. τοῦ ῥυσίου] τοῦ ῥύσασθαι τοὺς Τρῶας.

v. 544. ἔθρισεν] ἐθέρισεν, ἔκειρε. Κοινῶς δὲ ἔθριξεν, ἀφεῖλεν· ἀφ' οὗ καὶ ἡ θρίξ· καὶ Εὐριπίδης· (Orest. 128.)

Ἴδετε παρ' ἄκρας ὡς ἀπέθριξε τρίχας.

v. 545. θαμάρτια] τὸν μισθὸν τῆς ἁμαρτίας.

v. 558. ὧν νῦν τὸ σὸν] ὧν ἐστι τὸ εἰρημένον ὑπὸ σοῦ, (v. 547.) τό·

τεθνάναι δ' οὐκ ἔτ' ἀντερῶ θεοῖς.

v. 564. σπαρνὰς] ἀντὶ τοῦ σπανίως. Καὶ τούτου γὰρ οὐ συνεχῶς ἀπηλαύομεν. Τὸ δὲ παρήξεις ἀντὶ τοῦ, παραδρομὰς ἐπὶ τοῦ καταστρώματος τῶν νεῶν.

v. 569. ἔμπεδον σίνος] τὸ ἑδραῖον, ἤγουν τὸ περιβεβλημένον ἡμῖν κάλλος.

v. 578. τί τοὺς ἀναλωθέντ᾽ ;] χρὴ κατὰ συνεκδοχήν· ἤγουν τί δεῖ ψηφίζεσθαι περὶ τῶν ἀπολωλότων.

v. 579. τύχης παλιγκότου] ἐπὶ τῇ ἀποβολῇ τῶν ἀπολλυμένων δεῖ τὸν ζῶντα ἀλγεῖν, καὶ πάλιν ἐπὶ ταῖς εὐποτμίαις χαίρειν.

v. 589. χάρις τιμήσεται] ἤγουν ὁμολογήσουσι καὶ τῷ Διῒ χάριν τῷ τάδε διαπραξαμένῳ.

v. 591. οὐκ ἀναίνομαι] χαίρω ἐν τῷ μὴ ἀντιλογεῖν.

v. 592. ἡβᾷ τοῖς γέρουσιν] τοῦτ' ἔστιν ἀκμάζει. Ἐπιθυμοῦσι γὰρ μανθάνειν, ὧν οὐκ εἰς πεῖραν ἦλθον.

v. 594. σὺν δὲ πλουτίζειν ἐμὲ] μεταδιδόναι μοι τῆς χαρᾶς.

v. 600. πρὸς γυναικὸς] ἤγουν γυναικός ἐστι μετεωρίζεσθαι καὶ μέγα φρονεῖν ἀκούσασάν τι.

v. 606. τὰ μάσσω] τὰ μακρά.

v. 615. δωμάτων κύνα] ἤγουν φύλακα.

v. 617. σημαντήριον] σφραγῖδα τῆς πρὸς τὸν ἄνδρα εὐνῆς.

v. 620. μᾶλλον ἢ χαλκοῦ βαφὰς] ὥσπερ οὐκ οἶδα τὰς βαφὰς τοῦ σιδήρου, οὕτως οὐδὲ ἡδονὴν ἑτέρου ἀνδρός.

v. 623. αὕτη μὲν οὕτως εἶπε] οὕτως εἶπεν ἀκριβέσι λόγοις καὶ ἐξηγητικοῖς, ὥστε σε μαθεῖν.

v. 645. χωρὶς ἡ τιμὴ θεῶν] ἤγουν ταῦτα λέγοντες ἀτιμάζομεν τοὺς θεούς.

v. 649. ἐξαγισθέντας δόμων] ἐξορισθέντας.

v. 652. σεσαγμένων] σεσωρευμένων.

v. 655. εὐεστοῖ] εὐτυχεῖ.

v. 658. ξυνώμοσαν γὰρ] ἐκφράζει τὴν τοῦ χειμῶνος χαλεπότητα.

v. 663. κεροτυπούμεναι] ἤγουν τοῖς κέρασιν ἀλλήλων τυπτόμεναι. Ἡ μεταφορὰ ἀπὸ τῶν ταύρων.

v. 676. οὐ πεποιθότες τύχῃ] οὐ θαῤῥοῦντες, ἀλλ' ἀμφίβολοι ὄντες εἰ ἔτι σωθείημεν.

v. 677. ἐβουκολοῦμεν] ὥσπερ ἐθεραπεύομεν ἐν λογισμοῖς τισι τὴν νέαν συμφοράν.

σποδουμένου] διασκεδασθέντος δίκην σποδοῦ.

v. 689. τίς ποτ' ὠνόμαζεν] Β. ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ρκζ'. Ὧν τὰ μὲν ρ' εἰσὶ χοριαμβικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ πενθημιμερῆ καὶ ἡμιόλια, καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά. Ἑξῆς δὲ μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὰ μέτρου ἐνήλλαξε. Καί εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἑφθημιμερῆ καὶ μονόμετρα κζ'. Ὧν τελευταῖον·

Πόλιν οἰκουροῦντα πολιτῶν.

τίς ποτ' ὠνόμαζεν] Β. Στροφὴ κώλων ιζ'.

v. 697. ἑλάνδρος, ἑλέπτολις] Α. ὁ ἑλὼν καὶ καθελὼν τὸν τῆς Ἑλένης ἄνδρα Ἀλέξανδρον, καὶ τὴν πόλιν αὐτοῦ.

v. 699. Ζεφύρου] ἐξ ἑσπέρας γὰρ πνέων οὔριος τούτῳ γέγονε.

v. 706. Ἰλίῳ δὲ κῆδος] Ἐπειδὴ τὸ κῆδος σημαίνει καὶ τὴν ἐπιγαμβρίαν καὶ τὸ πένθος, ἐδήλωσε νῦν ὅτι τὸ πένθος λέγει Ἰλιὰς γὰρ κακῶν, ἡ παροιμία φησί.

Ἰλίῳ δὲ κῆδος] B. Ἀντιστροφὴ κώλων ιζ΄.

v. 720. πολύθρηνον] A. Αἰῶνα πολύθρηνον, καὶ μέλεον αἷμα ἀνατλᾶσα.

v. 723. ἔθρεψεν] ἤγουν ἀνέθρεψεν αὐτὸν τὸν Ἀλέξανδρον τὶς ἐκτεθέντα.

ἔθρεψεν] B. Στροφὴ ἑτέρα κώλων ι΄.

v. 732. σαίνων] A. τὸ σαίνων πρὸς τὸ φαιδρωπὸς καὶ πρὸς τὸ ἔσχε ἀποδώσεις, καὶ οὐχὶ ὥς τινες, πρὸς τὸ τέκνου ἀποδιδόντες σαίνοντος φασί. Ὡς τὸ παρ' Ὁμήρῳ· ἀστράπτων ἐπιδέξια. (Iliad. B. 353.)

v. 733. χρονισθεὶς δ' ἀπέδειξεν] B. Ἀντιστροφὴ κώλων ι΄.

v. 735. ἀμείβων] A. ἤγουν ἀμοιβὰς διδοὺς τοῖς θρέψασιν αὐτόν.

v. 743. παραυτὰ δ' οὖν ἐλθεῖν] B. Στροφὴ ἑτέρα κώλων ιβ΄.

v. 746. ἀκασκαῖον] A. λίαν κεκοσμημένον.

ἄγαλμα πλούτου] διὰ τὸ κάλλος αὐτῆς. οὐ γὰρ ἦν δυςειδὴς ὥστε τὸν πλοῦτον αἰσχύνειν.

v. 752. συμένα] ἤγουν ὁρμηθεῖσα.

v. 753. Διὸς ξενίου] οὗτος γὰρ ἔπεμψε ταύτην αὐτοῖς τοῖς Τρωσί, καὶ τὸν Τρωϊκὸν δι' αὐτὴν συνεστήσατο πόλεμον.

v. 755. Παλαίφατος δ' ἐν τοῖς βροτοῖς] B. Ἀντιστροφὴ κώλων ιβ΄.

v. 767. φιλεῖ] B. Στροφὴ ἑτέρα κώλων ι.

v. 775. Δίκα] B. Ἀντιστροφὴ κώλων ι΄.

δυςκάπνοισι] A. ἤγουν πενιχροῖς καὶ εὐτελέσι.

v. 783. Ἄγε δὴ βασιλεῦ] B. Σύστημα ἐπιφθεγματικὸν κώλων ἀναπαιστικῶν κζ΄.

v. 793. προβατογνώμων] A. ἤγουν ἁπλοῦς καὶ ἄκακος τὴν γνώμην.

v. 798. ὑδαρεῖ] μεμιγμένη καὶ οὐ καθαρᾷ καὶ ἀκράτῳ.

v. 810. πρῶτον μὲν Ἄργος] B. εἴσθεσις διπλῆς μονοστροφικῆς τε καὶ συνεχοῦς. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρξέ. Ὧν τελευταῖος·

Μέλοι δέ τι σοι τῶν περ ἂν μέλλεις τελεῖν.

v. 822. παγὰς] A. δίκτυα, παγίδας. Καὶ τοῦτο δήπου τὸ Αἰσχύλου *)· τοῖς ἑαυτοῦ πτεροῖς περιπεσὼν καὶ ἐνσχεθεὶς ταῖς πάγαις, ἃς ἄλλοις ὑφῆκε, τὰ ἐκ τοῦ νόμου δικαίως ἔπαθε.

v. 827. ὠμηστὴς λέων] ἤγουν ὥςπερ λέων ὠμοφάγος.]

v. 838. ἐξεπίσταμαι] ἤγουν, καλῶς οἶδα διακρίνειν τὰς ὁμιλίας τῶν συνόντων μοι, ὡς τὰς ἐμφάσεις τῶν προσώπων τὸ κάτοπτρον.

---

*) Non Aeſchyli Tragici, ſed Aeſchyli paroemiographi cujusdam haec eſſe putabat Toupius ad Suid. Tom. II. 14. Poſtea vero ſe ipſe correxit. „Athenaeus XI. 12. p. 494. Καὶ ταῦτα οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς σαυτοῦ πτεροῖς κατὰ τὸν θαυμάσιον Αἴσχυλον ἁλίσκῃ, ἀπροσδιονύσους λύσεις πραγματευόμενος. ad quem locum vide Dalechampium. Ita Ariſtoph. Av. v. 808.

Ταυτὶ μὲν ᾐκάσμεθα κατὰ τὸν Αἴσχυλον·
Τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς.

ubi Schol. Ἐκεῖνος γὰρ Λιβυστικὴν αὐτὴν καλεῖ παροιμίαν·

Ὡς δ' ἐστὶ μύθων τῶν Λιβυστικῶν λόγος·
Πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν
Εἰπεῖν ἰδόντα μηχανὴν πτερώματος.
Τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς
Ἁλισκόμεσθα.

Quare ad Aeſchylum Tragicum alluſit ſcriptor, quisquis fuerit, quem deſcripſit Scholiaſtes.“ Hactenus Toupius.

v. 841. ὅσπερ οὐχ ἑκὼν ἔπλει] ἤλεγξε γὰρ τὴν μανίαν αὐτοῦ Παλαμήδης.

v. 842. σαμφορος] ἤγουν δίκην ἵππου σὺν ἐμοὶ τὸ ἅρμα ἐλαύνων.

v. 916. ἐναισίμως] προσηκόντως.

v. 917. παρ' ἄλλων] ὅτι τὸ αἰνεῖσθαι δηλονότι μὴ παρὰ τῶν οἰκείων ἢ παρ' ἑαυτοῦ πρέπει ἔρχεσθαι.

v. 919. ἅβρυνε] καλλώπιζε.

v. 920. χαμαιπετὲς βόαμα] μὴ ὡς βαρβάρῳ μοι κέλευε θρύπτεσθαι. Οἱ βάρβαροι γὰρ γονυκλισίαις τοὺς βασιλεῖς εὐφημοῦσιν.

v. 926. ποδοψήστρων] ἀπὸ μεταφορᾶς τῶν πέπλων, δι' ὧν τοὺς πόδας ἐκμάσσοντες λαμπροτέρους ποιοῦσιν οἱ τούτους ἐκπλύνοντες συνεχῶς. Ποδόψηστρα γὰρ κυρίως ταῦτα λέγεται. Νῦν δὲ τὰ ὑπὸ τοὺς πόδας ἁπλῶς πέπλα οὕτως εἴρηκε.

v. 937. μή νυν] καθ' ὁμαλισμὸν ἀναγνωστέον τὸ νυν, καὶ ἄνευ τόνου, ἵνα ᾖ ἀντὶ τοῦ δή.

v. 938. δημόθρους] ὑπὸ τοῦ δήμου φημιζομένη. Ὡς καὶ Ἡσίοδός φησι· (Ἐργ. 971.) Φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται ἥν τινα πολλοὶ Λαοὶ φημίζουσι.

v. 956. κατέστραμμαι] Ἄλλως, καθέσταμαι, ἀντὶ τοῦ κατέστην.

v. 975. τίπτε μοι] Β. ὁ παρὼν χορὸς συνίσταται ἐκ κώλων χοριαμβικῶν ξ'. Ὧν τὰ μέν ἐστι δίμετρα ἀκατάληκτα· τὰ δὲ καταληκτικά, ἤτοι ἑφθημιμερῆ· τὰ δὲ πενθημιμερῆ καὶ ἡμιόλια, καὶ τρίμετρα βραχυκατάληκτα. Ὧν τελευταῖον·

Ξυμπυρουμένας φρενός.

τίπτε μοι] Β. στροφὴ κώλων ιγ'.

v. 987. πεύθομαι] Β. Ἀντιστροφὴ κώλων ιγ'.

v. 999. μάλα γάρ] Β. Στροφὴ ἑτέρα κώλων ιε'.

v. 1015. νῆστιν νόσον] Α. ἤγουν λιμὸν διεσκέδασε.

v. 1016. τὸ πεσὸν] B. Ἀντιστροφὴ κώλων ιέ.

v. 1020. ἐπ' εὐλαβείᾳ γε] A. τὸν Ἀσκληπιὸν γὰρ ἐκεραύνωσεν ἀναστήσαντα τὸν Ἱππόλυτον, ὥστε μὴ ἔτι βλαβῆναι.

v. 1033. εἴσω κομίζου] αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων λς'. Ὧν τελευταῖος·

Ἔχουσ' ἀνάγκη τῇδε καίνισον ζυγόν.

v. 1042. ἤμησαν καλῶς] A. ἤγουν ἐπλούτησαν καλῶς ὡς ἐκ θερισμοῦ. Παρὰ στάθμην δὲ, ἀντὶ τοῦ παρὰ τὸ πρέπον.

v. 1049. φωνὴν βάρβαρον] ὅτι βάρβαρον τὸ ὄρνεον, διὰ τοῦτο παραβάλλει τοῦτο αὐτῇ. Ἐν Θράκῃ γὰρ καὶ ἡ μεταμόρφωσις αὐτῆς ἱστόρηται.

v. 1059. καρβάνῳ] βαρβάρῳ.

v. 1065. πρὶν αἱματηρὸν] ἀπὸ τῶν στρηνιώντων ὑποζυγίων, ἃ οὐκ εἴκοντα τῷ χαλινῷ ἀφρίζει μετὰ αἵματος. Ἢ, ἐπεὶ αὕτη οὐ πείθεται πρὶν αἵματός μου τὴν ψυχὴν ἐξαφρίσαι· ἀντὶ τοῦ πρὶν ὀργισθῆναί με αὐτῇ.

v. 1070. πόποι δᾶ] Δᾶ γῆ Δωρικῶς. Ὅθεν καὶ Δημήτηρ οἷον γῆ μήτηρ. Προανάφωνεῖ δὲ τὰ ἐσόμενα.

ὀτοτοτοτοῖ πόποι δᾶ] B. εἴσθεσις διπλῆς ἀμοιβαίας, τὰς περιόδους μονοστροφικὰς καὶ συνεχεῖς ἔχουσα. Εἰσὶ δὲ οἱ μὲν τοῦ χοροῦ στίχοι, ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι· τὰ δὲ τοῦ ἑτέρου προσώπου κῶλα ἀντισπαστικά. Ἔοικε δὲ ταῦτα στροφῇ καὶ ἀντιστροφῆς κῶλα β' ὧν τὸ α' ἡμιόλιον, τὸ δὲ β' πενθημιμερές. Ὁμοίως καὶ τῆς ἀντιστροφῆς· τὰ αὐτὰ γὰρ εἰσι κῶλα. Ἔχουσι δὲ καὶ πόδας πεντεσυλλάβους.

v. 1078. Ἄπολλον] B. ἑτέρα στροφή· κῶλα γ'. Ὧν τὸ α' πενθημιμερὲς, τὸ β' δίμετρον ἀκατάληκτον, τὸ δὲ γ' ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος.

v. 1079. ἀπόλλων ἐμὸς] A. ἀπολλύων με. Παρὰ τὴν ὁμωνυμίαν.

v. 1080. ἀπώλεσας] ἐκείνην γὰρ ἀπώλειαν μόνως ὁρίζομαι τὴν τῆς δουλείας, οὐ τὴν νῦν. δεύτερον] δεύτερόν με ἀπώλεσας, οὐ μετὰ καμάτου.

v. 1083. Ἄπολλον] B. Ἀντιστροφὴ ἔχουσα κῶλα γ' ὅμοια τοῖς τῆς στροφῆς.

v. 1088. μισόθεον] A. ἄθεον, θεοστυγές.

μισόθεον] B. ἑτέρα στροφὴ ἔχουσα κῶλα γ'. Ὧν τὸ α' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον· τὸ β' δίμετρον ἀκατάληκτον. Ἔχουσι δὲ πεντασυλλάβους πόδας. Τὸ δὲ γ' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον.

v. 1089. κ' ἀρτάναι] A. ἀγχόναι.

v. 1091. ἔοικεν εὗριν] ἔοικεν, ὡς κύων εὗριν, ματεύειν καὶ ἀναζητεῖν εἰ γέγονεν ἐνθάδε παλαιὸς φόνος.

v. 1093. μαρτυρίοις γὰρ] φαντάζεται γὰρ ὁρᾶν τὰ σώματα τῶν ἀνῃρημένων παίδων Θυέστου.

μαρτυρίοις γὰρ] ἀντιστροφὴ ἑτέρα ἔχουσα κῶλα γ' ὅμοια τοῖς τῆς στροφῆς.

v. 1097. προφήτας δ' οὔ τινας] A. τοὺς λέξοντας ἡμῖν περὶ σοῦ. Αὐτοὶ γὰρ αὐτόπται γινόμεθα.

v. 1098. ἰὼ ποποῖ] B. ἑτέρα στροφὴ ἔχουσα κῶλα ε'. Ὧν τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ β' δίμετρον καταληκτικὸν, ἤτοι τὸ ἐφθημιμερές. Τὸ γ' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. Τὸ δ' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. Τὸ δὲ ε' πενθημιμερές· Ἔχουσι δὲ τοὺς πόδας πεντασυλλάβους.

v. 1102. ἄλκαν] A. τὸν Ὀρέστην φησί.

v. 1104. βοᾷ] τὰ περὶ Θυέστου.

v. 1105. ἰὼ τάλαινα] B. ἑτέρα ἀντιστροφὴ ἔχουσα κῶλα ε' ὅμοια τοῖς τῆς στροφῆς.

v. 1109. χειρὸς ὀρεγομένα] A. Διαδέχονται δὲ ἀλλήλους τοῖς ὀρέγμασι τῶν χειρῶν Αἴγισθος καὶ Κλυταιμνήστρα.

v. 1111. ἐπαργέμοισι] τοῖς τυφλοῖς καὶ ἀσήμοις, ἀπὸ τῶν λευκώματα ἐχόντων ὀφθαλμῶν.

v. 1112.

v. 1112. ἓ ἓ παπαῖ] B. Ἐντεῦθεν ἑτέρως ἐσχημάτισε τὰ μέτρα, καὶ προέθηκε τῆς στροφῆς κῶλόν τι τὸ ἓ ἓ. Τὰ δὲ ἑξῆς κῶλά εἰσιν ε'. Ὧν τὸ α' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ β' δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές. Τὸ γ' ἰαμβικὸν δίμετρον. Τὸ δ' ὅμοιον τῷ α'. Τὸ δὲ ε' τρίμετρον καταληκτικόν, καὶ αὐτὸ ἀντισπαστικόν. Ἔχουσι δὲ καὶ πεντασυλλάβους πόδας.

τί τόδε] A. Φαντάζεται τὸν χιτῶνα.

v. 1114. ἡ ξύνευνος] ἡ γυνὴ τοῦ Ἀγαμέμνονος αἰτία ἔσται τοῦ φόνου.

v. 1115. στάσις] ἡ στάσις, φησίν, ἐπολολύξαι μέλει ἐπὶ τῇ λεωργῷ Κλυταιμνήστρᾳ, ἡνίκα ἀπόληται. Παρὰ τὸ (Odyss. III. 451.)

— — — αἱ δ' ὀλόλυξαν
Θυγατέρες τε νυοί τε καὶ αἰδοίη παράκοιτις.

v. 1117. ποίαν ἐριννὺν] B. Ἡ στροφὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶ ϛ', Ὧν τὰ πρῶτα β' ἰαμβικὰ τρίμετρα. Τὸ γ' καὶ δ' ἀντισπαστικὰ τρίμετρα καταληκτικά. Τὸ ε' δίμετρον ὑπερκατάληκτον. Τὸ δὲ ϛ' ἑφθημιμερές. Ἔχουσι δὲ καὶ πεντασυλλάβους πόδας.

κέλει] A. ἀντὶ τοῦ λέγεις.

v. 1118. οὔ με φαιδρύνει λόγος] οὐ σεσαφήνισται.

v. 1120. σταγὼν] τὸ αἷμα.

v. 1121. βίου δύντος] Συμπληροῦται τοῦ βίου δύνοντος ταῖς αὐγαῖς σου, μηκέτι ὁρῶντος ταῖς αὐγαῖς.

v. 1123. ἆ, ἆ, ἰδοὺ] B. Ἀντιστροφή ἐστιν αὕτη τῆς ῥηθείσης στροφῆς καὶ ἔχει κῶλα ἰσόμετρα ἐκείνῃ ε'.

ἄπεχε τῆς βοὸς] A. τίς ἂν ἀποστήσειεν αὐτῆς τὸν Ἀγαμέμνονα, ὅπως ἂν μὴ ἀπόληται

v. 1126. μελαγκέρων] τῷ μελαγκέρων ταῦρον λαβοῦσα τῷ μηχανήματι τῷ διὰ τῶν πέπλων τύπτει. Ἐὰν δὲ γράφηται μελαγκέρῳ μηχανήματι τύπτει, ἀντὶ τοῦ κεκρυμμένῳ. Ἄλλως· τῇ μελαγκέρου βοός.

v. 1129. οὐ κομπάσαιμ' ἂν] οὐκ ἀλαζονεύομαι μάντις ἄκρος ἐπιγνώσκειν θέσφατα· ὅμως δὲ στοχάζομαί τι κακὸν ἀποβήσεσθαι.

οὐ κομπάσαιμ' ἂν] Β. τῆς τοῦ χοροῦ στροφῆς αὕτη ἐστὶν ἀναστροφὴ, ἔχουσα κῶλα ὅμοια ϛ'.

v. 1131. ἀγαθὰ φάτις] Α. Γνωμολογῶν φησι τοῦτο· Ἐνίοτε γὰρ καὶ ἐπ' ἀγαθοῖς οἱ χρησμοὶ γίνονται· ὡς δὲ ἐπὶ τὸ πολὺ μοχθηρὰ χρησμῳδοῦσιν. Ἢ τὸ ὅλον ἐπὶ τῷ χρησμῷ Κασσάνδρας· ἀπὸ τούτων τῶν θεσπισμάτων τίς ἀγαθὴ φάτις γίνεται βροτοῖς τοῖς ἐγχωρίοις;

v. 1132. κακῶν γὰρ] διὰ τὰ προσόντα κακὰ τοῖς εἰσερχομένοις καὶ τὰ λεγόμενα φοβερά.

v. 1134. φόβον φέρουσι μαθεῖν] παρὰ τὸ λεγόμενον· Οὐδεὶς εὐτυχὴς πρὸς μάντιν ἀπέρχεται.

v. 1135. ἰὼ ἰὼ ταλαίνας] Β. Στροφὴ ἑτέρα κώλων ε'. Ὧν τὸ α' μονόμετρον. Τὸ β' δίμετρον ὑπερκατάληκτον ἀντισπαστικόν. Τὸ γ' τρίμετρον καταληκτικὸν ὅμοιον. Τὸ δ' ἰαμβικὸν τρίμετρον. Τὸ ε' ὅμοιον τῷ γ'.

v. 1137. πάθος ἐπαγχέασα] Α. συναναμίξασα τῷ τοῦ Ἀγαμέμνονος καὶ συγκεράσασα.

v. 1139. τί γάρ;] τί γὰρ ἄλλο.

v. 1140. φρενομανής] Β. Ἑτέρα στροφὴ τοῦ χοροῦ κώλων ϛ' ἀντισπαστικῶν. Ὧν τὸ α' τρίμετρον βραχυκατάληκτον. Τὸ β' πενθημιμερές. Τὸ γ' δίμετρον ἀκατάληκτον. Τὸ δ' τρίμετρον καταληκτικόν. Τὸ ε' ὅμοιον τῷ α'. Τὸ ϛ' ὅμοιον τῷ β'.

ἀμφὶ δ' αὑτᾶς] Α. περὶ σεαυτῆς ἄτοπα φθέγγῃ.

v. 1142. νόμον ἄνομον] ᾠδὴν ἀηδῆ· Κιθαριστικὸν δὲ νόμον φησί. Τὸ ἑξῆς, θρηνεῖ νόμον ἄνομον ἀμφιθαλῆ κακοῖς.

v. 1145. ἀηδὼν] τοῦτο ἡδομένῃ τῇ μεταμορφώσει τῆς ἀηδόνος φησίν.

v. 1146. ἰὼ ἰὼ λιγείας] Β. Ἀντιστροφὴ τῆς ἄνω στροφῆς κώλων ὁμοίων ε'.

v. 1149. ἄγωνα] A. Γράφεται αἰῶνα. κλαυμάτων ἄτερ] εἰ γὰρ καὶ ἐν ὄρνισιν οὖσα θρηνεῖ, φωνῇ μόνῃ καὶ οὐ θρήνοις.

v. 1151. πόθεν ἐπισσύτους] B. Ἀντιστροφὴ ἑτέρα τῆς τοῦ χόρου στροφῆς κώλων ὁμοίων ϛ'.

v. 1153. δυςφάτῳ κλάγγᾳ] A. ἀσαφεῖ, αἰνιγματώδει. Ἢ διὰ τὸ δυστυχῆ μαντεύεσθαι, ἢ διὰ τὸ προειδέναι τὰ δεινὰ ἀνωφελῶς.

v. 1155. θεσπεσίας] τῆς μαντικῆς.

v. 1157. ἰὼ γάμοι γάμοι] B. Ἑτέρα στροφὴ κώλων ϛ' ἀντισπαστικῶν. Ὧν τὸ α' καὶ β' τρίμετρον ἀκατάληκτον. Τὸ γ' τρίμετρον βραχυκατάληκτον. Τὸ δ' πενθημιμερές. Τὸ ε' καὶ τὸ ϛ' ὅμοια τῷ πρώτῳ.

v. 1160. ἠνυτόμαν] A. ηὐξόμην.

v. 1163. τί τόδε τορὸν] B. Ἑτέρα στροφὴ τοῦ χοροῦ κώλων ε' ἀντισπαστικῶν. Ὧν τὸ α' δίμετρον ὑπερκατάληκτον. Τὸ β' ἑφθημιμερές. Τὸ γ' τρίμετρον καταληκτικόν. Τὸ δ' ὅμοιον. Τὸ ε' πενθημιμερές.

v. 1168. ἰὼ πόνοι] B. Ἀντιστροφὴ τῆς ἄνω στροφῆς κώλων ὁμοίων ϛ'.

v. 1174. ἑπόμενα] B. Ἀντιστροφὴ τοῦ χοροῦ κώλων ὁμοίων ε'.

v. 1179. καὶ μὴν ὁ χρησμὸς] B. Εἴςθεσις διπλῆς μονοστραφικῆς καὶ συνεχοῦς. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρμθ'. Ὧν τελευταῖος·

Καὶ ταῦθ' ἐκείνων μᾶλλον οἰκτείρω πολύ.

Μετὰ δὲ τὸν λϛ' κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Μετὰ δὲ τὸν ρκζ' κῶλον ὅμοιον μονόμετρον βραχυκατάληκτον. Μετὰ δὲ τὸν ρλδ' κῶλον ὅμοιον μονόμετρον ἀκατάληκτον.

v. 1308. φεῦ φεῦ] A. Ἀπολοφυρομένη λέγει τοῦτο ἐν τῷ εἰςιέναι. Ὀκνεῖ γὰρ εἰςελθεῖν, ὥς τι δεινὸν ὁρῶσα.

v. 1313. Σύριον ἀγλάϊσμα] τὸν ἀπὸ Συρίας λιβανωτόν.

v. 1317. οὔ τοι δυςοίζω] οὐ δυςχεραίνω, φησὶν, ὡς ὄρνις θέλουσα εἰς καλιὰν εἰςελθεῖν καὶ θῆρά τινα φοβουμένη.

v. 1331. ἐπιξενοῦμαι] φιλιοῦμαι.

v. 1332. τὸ μὲν εὖ πράττειν] B. Εἴσθεσις χοροῦ ἐπῳδική, διὰ τὸ μετὰ τὴν διπλῆν κεῖσθαι. Τὰ δὲ κῶλά εἰσιν ἀναπαιστικὰ ιβ΄. Ὧν τὸ ϛ΄ μονόμετρον τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικά, ἤτοι ἐφθημιμερῆ.

v. 1344. Ὤιμοι πέπληγμαι] B. Εἴσθεσις διπλῆς ἀμοιβαίας καὶ μονοστροφικῆς. Οἱ δὲ στίχοι εἰσὶν ξδ΄. Ὧν ὁ β΄ καὶ δ΄ καὶ δ΄ καὶ ε΄ τροχαϊκοὶ τετράμετροι καταληκτικοί. Οἱ δὲ λοιποὶ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. Ὧν τελευταῖος

Ἔργον δικαίας τέκτονος. Τάδ' ὧδ' ἔχει.

v. 1366. πεπαιτέρα] A. ὡριμωτέρα, γλυκυτέρα. Ἡδύτερος φησὶν ὁ θάνατος, ὁ ὑπὲρ τῶν δεσποτῶν, τῆς τυραννίδος.

v. 1371. ἐπαινεῖν πάντοθεν] ἐπαινοῦμεν διαφόρως ταύτην γνώμην, τὸ μαθεῖν ἐν οἵᾳ ἐστὶν καταστάσει ὁ βασιλεύς.

v. 1376. ἀρκύστατον] ἄφυκτον.

v. 1408. τί κακὸν] B. Στροφὴ χοροῦ ἐκ κώλων ἀντισπαστικῶν ε΄. Ὧν τὸ α΄ δίμετρον ὑπερκατάληκτον, τὸ β΄ τρίμετρον βραχυκατάληκτον, τὸ γ΄ τρίμετρον καταληκτικόν, τὸ δ΄ ὅμοιον, τὸ ε΄ ὅμοιον.

v. 1413. νῦν μὲν δικάζεις] B. ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιδ΄.

v. 1417. φλεόντων] A. πληθυνόντων.

v. 1423. ἀπειλεῖν] Ἀναγκαίως ἀπειλεῖ, ἵνα ἐκεῖνοι τὸ ἀμφίβολον τῆς μάχης φυλάξωνται.

v. 1427. μεγαλόμητις] B. Ἀντιστροφὴ ἔχουσα κῶλα ε΄, ὅμοια τοῖς τῆς στροφῆς ἀντισπαστικοῖς.

v. 1432. καὶ τήνδ' ἀκούεις] B. ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιζ΄.

v. 1447. φιλήτωρ] A. ἐκ ψυχῆς φιλουμένη τῷ Ἀγαμέμνονι.

v. 1448. παροψώνημα] τὴν ἐκ περιουσίας τρυφήν.

v. 1449. Φεῦ τίς ἂν ἐν τάχει] B. Εἴςθεσις διπλῆς μονοστρόφους ἔχουσα τὰς περιόδους, οὐ γὰρ ἔχει ἀντιστροφήν. Καί εἰσι τοῦ μὲν χοροῦ τὰ κῶλα χοριαμβικά. Τοῦ δὲ ἑτέρου προσώπου, ἀναπαιστικά. Εἰσὶ δὲ τῆς παρούσης στροφῆς κῶλα χοριαμβικὰ ιδ', δίμετρα καὶ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα. Μετὰ δὲ τὸ ζ' κῶλον, κώλου τμῆμα τὸ ἰώ.

v. 1463. μηδὲν θανάτου] B. Ἀναπαιστικὰ κῶλα ϛ', ὧν τὸ β' μὲν μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα· τὸ δὲ ϛ' ἐφθημιμερές.

v. 1469. Δαῖμον] B. Στροφὴ ἑτέρα κώλων χοριαμβικῶν ζ'. Εἰσὶ δὲ τὰ μὲν δίμετρα, τὰ δὲ τρίμετρα, καταληκτικὰ καὶ βραχυκατάληκτα, καὶ ἀκατάληκτα.

v. 1470. διφυεῖσι Τανταλίδαισιν] A. Ἀτρεῖ καὶ Θυέστῃ, ἢ Ἀγαμέμνονι καὶ Μενελάῳ.

v. 1471. γυναικῶν] Κλυταιμνήστρας καὶ Ἑλένης λέγει, αἱ κατὰ φαυλότητα ἴσας τὰς ψυχὰς ἔχουσι.

v. 1474. κόρακος] ὡς κόραξ ἐσθίων νεκρῶν σῶμα βοᾷ, οὕτω καὶ ὁ δαίμων ἐκνόμως δικάσει, παρὰ τὸ δίκαιον.

v. 1476. νῦν δ' ὤρθωσας] B. Ἀναπαιστικὰ ὅμοια τοῖς προῤῥηθεῖσιν ἕξ.

v. 1482. ἦ μέγαν οἴκοις] B. Ἑτέρα στροφὴ κώλων χοριαμβικῶν ιε'. Εἰσὶ δὲ τὰ μὲν δίμετρα, τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα, τὰ δέ, ἡμιόλια. Μετὰ δὲ τὸν η' καὶ ιβ' κώλων τμήματα.

v. 1498. αὐχεῖς] B. Ἀναπαιστικὰ κῶλα η'. Ὧν τὸ β' καὶ ζ' μονόμετρα· τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα· τὸ δὲ η' ἐφθημιμερές.

v. 1506. ὡς μὲν ἀναίτιος] B. Στροφὴ ἑτέρα κώλων ὁμοίων τοῖς ῥηθεῖσι χοριαμβικῶν η'.

v. 1514. ἰὼ ἰὼ βασιλεῦ] B. Ἀναπαιστικὰ κῶλά ζ'. Ὧν τὸ β' μὲν καὶ ζ' ἐφθημιμερές· τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. Ὧν προτίθεται κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον.

v. 1522. οὔτ' ἀνελεύθερον] B. Ἀναπαιστικὰ κῶλα θ'. Ὧν τὸ β' μὲν μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ θ' ἐφθημιμερές.

v. 1531. Ἀμηχανῶ] B. Στροφὴ ἑτέρα κώλων ὁμοίων τοῖς ῥηθεῖσι χοριαμβικῶν ζ'.

v. 1538. ἰὼ γᾶ γᾶ] B. Ἀναπαιστικὰ κῶλα ι'. Ὧν τὸ α', τὸ γ' καὶ τὸ ς' καὶ τὸ θ' μονόμετρον· τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα· τὸ δὲ ι' ἐφθημιμερές.

v. 1548. τίς δ' ἐπιτύμβιον] B. χοριαμβικὰ κῶλα, ὅμοια τοῖς ῥηθεῖσι δ'.

v. 1552. οὔ σε προςήκει] B. Ἀναπαιστικὰ κῶλα θ'. Ὧν τὸ γ' τὸ ς' καὶ τὸ η' μονόμετρον· τὰ δὲ λοιπὰ δίμετρα καταληκτικά· τὸ δὲ θ' ἐφθημιμερές.

v. 1561. ὄνειδος ἥκει] B. Ἑτέρα στροφὴ κώλων ὁμοίων τοῖς ῥηθεῖσι ζ'. Ἔοικε δὲ ἀντιστροφὴ εἶναι τῆς στροφῆς, ἧς ἡ ἀρχὴ Ἀμηχανῶ. Ὅμοια γὰρ ἔχει τὰ κῶλα.

v. 1568. ἐς τόνδ' ἐνέβη] B. Ἀναπαιστικὰ κῶλα ι'· ὧν τὸ β' μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ι' ἐφθημιμερές.

v. 1578. ὦ φέγγος εὖφρον] B. Εἴςθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οβ'. Ὧν τελευταῖος·

Ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς.

v. 1594. χερῶν ἄκρους κτένας] A. ἤγουν τὰς διαστάσεις τῶν δακτύλων.

v. 1617. νερτέρᾳ προςήμενος] Ὑποδεεστέρᾳ καθέδρᾳ ὤν. Οἱ γὰρ ζυγοὶ τῶν θαλαμίων ἄνωθέν εἰσιν.

v. 1624. πήσας] ἀντὶ τοῦ παθών.

v. 1635. οὐκ ἔτλης αὐτοκτόνως] οὐχ ὑπέμεινας, φησί, δρᾶσαι σὺ αὐτὸς τὸ ἔργον μόνος, ἀλλὰ σὺν τῇ γυναικί.

v. 1641. κριθῶντα πῶλον] οὐχ ὑποζεύξω τὸν μὴ πειθαρχοῦντα ὡς κριθῶντα πῶλον, ἤγουν πίονα ταῖς κριθαῖς, ἀλλὰ συγκλείσας, καὶ λιμώττειν ἐάσας πραΰνῶ.

v. 1643. ἀλλ' ἐπεὶ δοκεῖς] B. Εἴσθεσις διπλῆς συνεχοῦς ἐν ἐκθέσει τοῦ δράματος. Οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ κε΄. Ὧν οἱ κγ΄ τετράμετροι καταληκτικοί· οἱ δὲ ἐν τῷ τέλει β΄ τρίμετροι ὑπερκατάληκτοι.

v. 1653. τὴν τύχην] A. τὸν οἰωνὸν δηλονότι.

v. 1673. ἐγὼ καὶ σὺ θήσομεν] ἐγώ φησί, καὶ σὺ κρατοῦντες τῶνδε τῶν δωμάτων διαθησόμεθα τὰ καθ' αὑτοὺς καλῶς.

SCHOLIA
IN
CHOEPHORAS.

V. 16. πρέπουσα] κοσμηθεῖσα.

V. 20. ἰαλτὸς] ὑπὸ Κλυταιμνήστρας πεμφθεῖσα.
— ἐπεὶ προΐαλλε συβώτης. (Odyff. Ξ. 18.)

V. 21. σὺν κόπτῳ] σὺν κοπετῷ· ὅπως ἐναγίζουσα συγκόψομαι καὶ θρηνήσω.

V. 22. πρέπει] διαφαίνεται.

V. 23. ἄλοκι] αὔλακι, τομῇ.

V. 24. βόσκεται κέαρ] ἀντὶ τοῦ τρέφομαι τῷ θρήνῳ.

V. 25. λινοφθόροι] τὰ λῖνα διαφθείρουσαι. Τὸ ἑξῆς, οἱ δὲ στολισμοὶ τῶν ὑφασμάτων πρὸς τοῖς στέρνοις, λινοφθόροι λακίδες ἐῤῥάγησαν.

V. 26. ὑπ' ἄλγεσι] ὑπὸ τῶν κοπετῶν.

V. 30. τορὸς] σαφής. ὀρθόθριξ] ὀρθοῦσθαι ποιῶν τὰς τρίχας.

V. 31. ὀνειρομάντις] δι' ὀνείρων τοῖς δόμοις μαντευόμενος. ἐξ ὕπνου] ἀντὶ τοῦ δι' ὕπνου.

V. 32. ἀωρόνυκτον] κατὰ τὸ μεσονύκτιον.

V. 33. μυχόθεν ἔλακε] ἐκ τῶν τῆς καρδίας μυχῶν περισσῶς τῷ φόβῳ ἀναλακεῖν καὶ βοῆσαι τὴν Κλυταιμνήστραν ἐποίησεν ὁ σαφὴς φόβος, δι' ὀνείρων μαντευόμενος.

v. 34. γυναικείοισιν] οἱονεὶ τοῖς ἐστερημένοις τοῦ κουριδίου ἀνδρός.

v. 36. ὑπέγγυοι] ἀληθεῖς, θεοφόρητοι, τὴν ἀπόφασιν ἐγγυώμενοι· ἢ οἱ ἐκ θεῶν ἠσφαλισμένοι τὴν μαντείαν.

v. 38. περιθύμως] ὑπερβαλλόντως.

v. 40. ἄχαριν] τοῖς ὀργιζομένοις νεκροῖς ἄχαριν. Ἡ ἐμοὶ ἀηδῶς ὑπηρετούσῃ αὐτῷ.

v. 41. ἰὼ γαῖα] ὦ γῆ μήτηρ. Τοῦτο δὲ διὰ μέσου ἀναπεφώνηται.

v. 43. μωμένα] ζητοῦσα.

v. 44. δύσθεος γυνά] δεῖ νοεῖν ὅτι τό, δύσθεος γυνά, ἠρέμα πῶς ἐφθέγξατο. Διό φησι, φοβοῦμαι γὰρ ἔπος τόδε ἐκβάλλειν.

v. 49. ἀνήλιοι] οὓς οὐδὲ ἥλιος ἐπίδοι, διὰ τὸ Ἀγαμέμνονος μῦσος. Φιλοῦντες γὰρ αὐτὸν οὐδὲ ἀκούειν ἠνείχοντο κατ' αὐτοῦ.

v. 52. σέβας] ἑκούσιον σέβας τὸ μὴ ἐκ φόβου, ἀλλ' ἐξ αἰδοῦς αὐτοῖς γινόμενον. Τοῦτο δὲ θέλει εἰπεῖν, ὅτι ἡ αἰδώς, ἣν περὶ Ἀγαμέμνονος εἶχον οἱ δῆμοι, νῦν εἰς φόβον ἐτράπη. Ἐκεῖνον γὰρ ᾐδοῦντο καὶ ἐφίλουν· τοῦτον δὲ φοβοῦνται, ὡς τύραννον διατελούμενον.

v. 55. δαμίας] δημοσίας, τοῦ δήμου.

v. 56. φοβεῖται δέ τις] ἀντὶ τοῦ ἕκαστος φοβεῖται φθέγξασθαι.

v. 58. θεός τε καὶ θεοῦ πλέον] Γνωμικῶς.

v. 59. ῥοπὴ δ' ἐπισκοπεῖ] Ἡ δὲ τῆς δίκης ῥοπὴ τοὺς μὲν ἐπισκοπεῖ ταχέως καὶ ἀμύνεται· ἄλλους δὲ ἐν ἀμφιβόλῳ ἐᾷ τὴν τιμωρίαν, οὐκ ἀθρόως αὐτοὺς ἀμυνομένη, ὥστε τοὺς ἠδικημένους ὑπ' αὐτῶν λυπεῖσθαι· ἄλλους δὲ σκότος καλύπτει, ὡς μηδ' ὁρᾶσθαι ὑπ' αὐτῆς. Ὁμοίως ὁ φόνος πέπηγε καὶ οὐ διαῤῥεῖ, ἀλλ' ἐπέξεισιν αὐτόν.

v. 60. ἐν φάει] φανερῶς.

v. 61. τὰ δ' ἐν μεταιχμίῳ] ὅσα δὲ ὑπερτίθεται, ταῦτα σύν τε μεγάλῳ ἀπέτισαν. (Iliad. Δ. 161.)

v. 62. βρύει] ἀνθεῖ.

v. 63. ἄκραντος ἔχει νὺξ] ἀντὶ τοῦ, αἰώνιος θάνατος.

v. 65. τίτας] τιμωρός. οὐ διαῤῥυδᾶν] ἀντὶ τοῦ οὐ διαῤῥέων.

v. 66. διαλγὴς ἄτη] τοῦτ' ἔστιν ὁ φόνος. διαφέρει] διασπαράσσει.

v. 68. παναρκέτας] τῆς εἰς πάντα τὸν χρόνον ἀρκούσης αὐτῷ.

τοὺς δ' ἄκραντος] τοῦτο ὥςπερ ἐπᾳδόμενόν ἐστι.

v. 69. νυμφικῶν ἑδωλίων] τὸ γυναικεῖον αἰδοῖον λέγει. Ὥςπερ τῷ ἐπιβάντι νυμφικῆς κλίνης οὐκ ἔστιν ἴασις πρὸς ἀναπαρθένευσιν τῆς κόρης· οὕτως οὐδὲ τῷ φονεῖ πάρεστι πόρος πρὸς ἄκεσιν τοῦ φόνου.

πάντες ἐκ μιᾶς] πάντες οἱ ποταμοὶ εἰς ἓν συνερχόμενοι.

v. 71. ἰοῦσαν ἄτην] Ἀντὶ τοῦ τῆς ἐπιούσης αὐτῷ ἄτης. Ἀττικῶν δὲ τὸ πρὸς αἰτιατικὴν συντάσσειν· καθαίρω σε τὸν φόνον· τὸ δὲ κοινὸν· καθαίρω σε τοῦ φόνου.

v. 72. ἐμοὶ δὲ] τὸ ἑξῆς, ἐμοὶ δὲ πρέποντα καὶ ὀφειλόμενά ἐστιν ἀπαρχὰς βίου τὰ τῶν βίᾳ με φερομένων αἰνέσαι πικρὸν φρενῶν στύγος κρατούσῃ. Ἀνάγκην γάρ μοι οἱ θεοὶ προςήνεγκαν. ἀμφίπτολιν] τὴν ἐκ διαφόρων πόλεων ἀνάγκην, ὅ ἐστι, πόλεμον. Ὡς ἀμφιμάτορας κόρους ὁ Εὐριπίδης· (Androm. 467.) Ἐκ διαφόρων γὰρ πόλεων ἦσαν οἱ Ἕλληνες.

v. 75. δίκαια καὶ μὴ δίκαια] εἴτε δικαίως, εἴτε μή. Ἐστὶ δὲ παροιμία· Δοῦλε, δεσποτῶν ἄκουε καὶ δίκαια κἄδικα.

v. 76. πρέποντ' ἀρχαῖς βίου] πρέποντά μοι ἐστὶ καὶ ὀφειλόμενα, ἐξότε τοῦτον ἐπανῄρημαι τὸν βίον, τὰ τῶν πρὸς βίαν κεκτημένων ἐπαινέσαι, καλυπτούσῃ τὴν κατ' αὐτῶν ἀποστύγησιν καὶ μηδὲ παῤῥησίᾳ τὸν δεσπότην κλαιούσῃ.

v. 79. ματαίοισι] ἐπὶ ματαίαις τύχαις.

v. 80. κρυφαίοις πένθεσι] Τοῦτ' ἔστι, μὴ ἐκφαινούσῃ τὸ μῦσος τὸ κατὰ Κλυταιμνήστρας.

v. 81. εὐθήμονες] Τοῦτ' ἔστιν ὑπηρέτιδες εὖ τιθεῖσαι τὰ κατὰ τὸν οἶκον.

v. 84. κηδείους] συγγενικάς.

v. 85. κατεύξωμαι] λείπει λόγον.

v. 88. τῶνδ' οὐ πάρεστι] τῶν λόγων.

v. 89. πέλανον] πᾶν τὸ ἐπιθυόμενον οὕτω καλοῦσι.

v. 91. τάδε] τὰς χοάς.

v. 92. τῶν κακῶν] παρ' ὑπόνοιαν. Ἔδει γάρ, τῶν καλῶν, εἰπεῖν.

v. 94. γάποτον χύσιν] ἐπεξηγήσατο τί εἰσιν ἃ φέρει διὰ τοῦ γάποτον χύσιν.

v. 95. στείχω, καθάρμαθ'] Τοῦτο πρὸς τὸ παρ' Ἀθηναίοις ἔθος· ὅτι καθαίροντες οἰκίαν ὀστρακίνῳ θυμιατηρίῳ, ῥίψαντες ἐν ταῖς τριόδοις τὸ ὄστρακον, ἀμεταστρεπτὶ ἀνεχώρουν. ἐκπέμψας πάλιν] πάλιν, εἰς τοὐπίσω ἀναχωρήσω, πρὸς τὸν Ἀθήνησι νόμον.

v. 96. ἀστρόφοισιν ὄμμασιν] τὸ ἑξῆς, δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασιν στείχω πάλιν, καθάρματα ὥς τις ἐκπέμψας.

v. 97. τῆσδ' ἐστὲ βουλῆς] ἀναδέξασθε τὴν αἰτίαν τῆς βουλῆς. μεταίτιαι] σύμβουλοι.

v. 99. μὴ κεύθετ' ἔνδον] τὴν βουλήν.

v. 100. τὸ μόρσιμον γὰρ] ἀντὶ τοῦ οὐδὲν πείσεσθε παρὰ τὸ μόρσιμον.

v. 102. ὑπέρτερον] τῶν ὑπ' ἐμοῦ ἀνωτέρω λεγομένων.

v. 103. αἰδουμένη] λέξω σοι τὸν ἐκ φρενὸς λόγον, αἰδουμένη τὸν Ἀγαμέμνονος τύμβον, ὡς βωμόν.

v. 106. χέουσα] τὰς χοὰς χέουσα, εὖξαι ἀγαθὰ τοῖς εὖ φρονοῦσι, τῷ Ἀγαμέμνονι δηλονότι.

v. 107. τίνας δὲ τούτους] τίνας, τοὺς εὖ φρονοῦντας αὐτῷ ὀνομάσω;

v. 108. πρῶτον μὲν αὐτὴν] σεαυτὴν δηλονότι κἀκεῖνον ὅστις Αἴγισθον στυγεῖ.

v. 110. αὐτὴ σὺ] σὺ σκόπησον τίς στυγεῖ Αἴγισθον. Οὐκ ἐμὸν γὰρ εἰπεῖν.

v. 111. τῇδε προστιθῶ στάσει] τῇ συστάσει ἡμῶν.

v. 117. πότερα δικαστὴν ἢ δικηφόρον] κριτὴν, ἢ τιμωρόν. Ὃ ἐστιν ἀκουσόμενον τοῦ πράγματος, ἢ πρὸ ἀκοῆς τὴν τιμωρίαν ἐπάξοντα, ὡς ἀναμφιβόλου ὄντος τοῦ κακοῦ.

v. 119. καὶ ταῦτα] Ἀντὶ τοῦ, καὶ τὰ ταῦτα εἰπεῖν, παρὰ θεῶν ὅσια κρίνεται;

ad vs. 120: πῶς· ἵνα:

v. 123. ἐπισκόπους] νῦν γὰρ ἐπισκόπους.

v. 125. θρέψασα] θρέψασα ἡ γῆ τὸν σπόρον τοῖς ἐπιοῦσι καρποῖς ἀπ' αὐτοῦ κύημα λαμβάνει.

v. 128. πῶς] ἀντὶ τοῦ ὅπως. ἀνάξομεν] βασιλεύσομεν.

v. 129. πεπραγμένοι] νενικημένοι, κατηγωνισμένοι.

v. 132. ἀντίδουλος] ἰσόδουλος, ἐν δούλης τάξει.

v. 133. ὑπερκόπως] ὑπερηφάνως.

v. 134. χλίουσιν] τρυφῶσιν

v. 139. τοῖς δ' ἐναντίοις] τοῖς δ' ἐχθροῖς σου λέγω σε φανῆναι τιμωρόν.

v. 140. ἀντικατθανεῖν] Γράφεται ἀντικατακτανεῖν.

v. 142. ἐν μέσῳ] ἐν κεφαλαίῳ, ἐν ὑποθέσει τίθημι.

v. 147. ἐπανθίζειν] στέφειν ὡς ἄνθεσιν.

v. 148. παιᾶνα] ὅτι ἐπὶ ἀποθανόντος παιᾶνα εἶπε κακῶς. Καὶ Εὐριπίδης· (Alceft. 426.)

Παιᾶνα τῷ κάτωθεν ἀσπόνδῳ θεῷ.

supra καναχές, in versu ἠχητικόν

v. 149. καναχὲς] καναχηδὸν, δακρύετε καναχὲς, ἠχητικόν.

v. 153. κεχυμένων χοᾶν] τὸ ἑξῆς· ἐκκεχυμένων χοᾶν πρὸς ἔρυμα τόδε ἵετε δάκρυ. Ἄγος ἀπεύχετον·

supra vsc. ἔρυμα τὸν τάφ.

(τὸ δάκρυ γὰρ ἀπευκτὸν ἄγος εἶπεν,) ἀπότροπον τῶν ἡμετέρων κακῶν καὶ τῶν ἀγαθῶν τῶν ἐχθρῶν.

v. 154. ἐξ ἀμαυρᾶς] τῆς ἀσθενοῦς, ὡς πρὸς σύγκρισιν Ἠλέκτρας. Ἢ ὅτι σκιὰ οἱ νεκροί.

v. 157. ἀναλυτὴρ δόμων] τῶν ἐν τοῖς δόμοις κακῶν.

v. 158. ἐν ἔργῳ] ὅ ἐστι μὴ μόνον φέρων, ἀλλὰ καὶ πράττων ἐν τῷ ἔργῳ, ἐν τῷ βάλλειν.

v. 160. σχέδια] γράφεται ἕτοιμα. αὐτόκωπα] τὰ ἀφ' ἑαυτῶν ἔχοντα τὴν λαβὴν ξίφη. Σχέδια δὲ ἐκ τοῦ σχεδὸν φονεύοντα καὶ οὐ πόῤῥωθεν, ὥσπερ τὰ βέλη.

v. 164. ὀρχεῖται] λίαν κινεῖται.

v. 170. ἐχθροὶ γὰρ] λείπει τὸ εἰσίν.

v. 171. ὅδε] ὁ πλόκαμος. ὁμόπτερος] συγγενής.

v. 180. καρδίας κλυδώνιον] κίνησις τῆς χολῆς τῆς κατ' αὐτόν.

v. 181. ἐπαίσθην] ὡς βέλει ἐκρούσθην ἐξ ἐναντίας τιτρώσκοντι.

v. 182. δίψιοι] πρώην ἄγευστοι. Ὡς δίψιον Ἄργος, τό ποτε ἄνυδρον.

v. 187. οὐδαμῶς ἐπώνυμον] οὐκ ἄξιον τοῦ ὀνομάζεσθαι ὑπὸ τῶν τέκνων ἑαυτῆς μήτηρ.

v. 188. φρόνημα] τὸ δύσθεον φρόνημα οὐδαμῶς ἐπώνυμον μητρὸς πεπαμένη.

v. 189. τάδ' αἰνέσω] Λείπει οὐκ ἔχω.

v. 191. σαίνομαι] παραμυθοῦμαι.

v. 192. εἶθ' εἶχε] ὁ πλόκαμος δηλονότι.

v. 193. δίφροντις] διχογνώμων. μὴ κνυσσόμην] ἐφανταζόμην. Κνύσμα γὰρ τὸ εἴδωλον.

v. 194. ἀλλ' εὖ] ἀντὶ τοῦ ἀκριβῶς. ἀποπτύσαι] μισῆσαι.

v. 197. ἄγαλμα τύμβου] Λείπει εἰς.

v. 199. ναυτίλων] τρόπῳ ναυτῶν. Ὅτι κατὰ δοτικὴν δίκη.

v. 207. σμικροῦ γένοιτ' ἂν] ἀντὶ τοῦ, εἰ Ὀρέστου ἐστὶν ὁ πλόκαμος, γένοιτ' ἂν ἐκ μικρᾶς προφάσεως μέγα ἀγαθόν.

v. 202. καὶ μὴν στίβοι γε] τὸ ἑξῆς· καὶ μὴν δεύτερον τεκμήριον στίβοι, ἤγουν οἱ ἐν τῇ γῇ τύποι τῶν ποδῶν.

v. 203. ὅμοιοι τοῖς δ' ἐμοῖσιν] ἐπειδὴ ἄδηλον τίσιν ὅμοιοι, ἐπήγαγε τοῖς γ' ἐμοῖσιν ἐμφερεῖς.

v. 206. τενόντων θ'] τὴν εἰς μῆκος τῶν ποδῶν ἔκτασιν, τένοντάς φησιν.

v. 208. καὶ φρενῶν καταφθορά] Ἀλγηδὼν καὶ λύπη πάρεστι, καὶ ὥσπερ ὠδίνω τὰ παρόντα.

v. 211. ἐπεὶ τί νῦν] ἐπειδὴ τί νῦν λαμβάνω ἐκ δαιμόνων; τίνος γὰρ ἤδη ἐπέτυχον ὑπὸ θεῶν, ὅτι εἶπες τὰ λοιπά;

v. 214. ἐκπαγλουμένην] ἐκπάγλως θαυμάζουσαν.

v. 215. τυγχάνω] ἐπέτυχον.

v. 222. δυσμαθεῖς] ἀπιστεῖς.

v. 223. κηδείου] τῆς ἐπὶ κηδείᾳ τετμημένης.

v. 226. συμμέτρου] παραπλησίου.

v. 228. ἰδοῦ δ' ὕφασμα] οὐ πάντως ἐν τῷ νῦν χιτῶνι, ἀλλ' εἰκὸς αὐτὸν ἔξωθεν ἔχειν παιδικὸν σπάργανον.

v. 229. εἰς δὲ θηρίων γραφὴν] παρὰ τό· (Odyſſ. Τ. 228.)

— — ἐν προτέραισι πόδεσσι κύων ἔχε.

v. 233. δακρυτὸς] ἢ ὅτι παρ' ἐλπίδας ὤφθη· ἢ ὅτι φανεὶς δάκρυα αὐτῇ ἐκίνησε.

v. 236. προσαυδᾶν δ' ἔστ'] ὁ δὲ ἀντὶ τοῦ γάρ.

v. 238. ἡ δὲ πανδίκως ἐχθαίρεται] ἐν σοὶ ὁρῶ μητέρα στεργόμενον. αὕτη δὲ ἀπέχθεταί μοι.

v. 239. καὶ τῆς τυθείσης] Ἀπὸ κοινοῦ τὸ εἰς σέ μοι ῥέπει στέργηθρον.

v. 246. τοὺς δ' ἀπωρφανισμένους] ἀντὶ τοῦ ἡμᾶς.

v. 247. οὐ γὰρ ἐντελὴς θήραν πατρῴαν προσφέρειν] οὐκ ἔστι γέννα ἐντελής, ὥστε τὴν πατρῴαν θήραν προσάγειν τῇ καλιᾷ.

v. 253. νεοσσοὺς τούσδ' ἀποφθείρας] ἐὰν ἀποκτείνῃς ἡμᾶς.

v. 254. εὔθοινον γέρας] εὔθυνον διὰ τοῦ υ τὸ δίκαιον σημαίνει, εὔθοινον δὲ διὰ τῆς οι, καλὴν εὐωχίαν ἔχον γέρας, παρὰ τὸ θοίνην

v. 255. οὐδ' αἰετοῦ γένεθλ'] ὅστε οἱ αὐτῷ φίλτατος οἰωνῶν.

v. 258. βωμοῖς ἀρήξει] ἀντὶ τοῦ ἐπιμελήσεται τῶν βωμῶν.

v. 259. κόμιζ', ἀπὸ σμικροῦ] ἀντὶ τοῦ σῶζε ἡμᾶς. Δύνασαι γὰρ ἀπὸ σμικρᾶς αἰτίας ἀνοικοδομῆσαι τὸν πεσόντα δόμον.

v. 263. γλώσσης χάριν] μὴ δυνάμενος ἐχεμυθεῖν.

v. 265. ἐν κηκῖδι] ἐν ἀναδόσει φλογὸς ἰσχυρᾶς. πισσήρει] καιόμενα γὰρ τὰ ξύλα πίσσαν ἀνίησι.

v. 268. κἀξορθιάζων] ἀνατεταμένως βοῶν.

v. 272. ζημίαις] ἢ ἐμὲ ζημίαν μεμφόμενος, ἢ Αἴγισθον τὸν ζημιωθέντα ποινὴν ἐπὶ τῷ φόνῳ τοῦ πατρός.

v. 273. αὐτὸν δ' ἔφασκε] αὐτὸν τὸν Ἀγαμέμνονα ἔφασκε τελεσιουργεῖν.

v. 275. μειλίγματα] τῶν ἐχθρῶν μειλίγματα. Αἱ κολάσεις γὰρ τῶν ἀδικούντων μειλίγματα εἰσι τῶν ἀδικηθέντων.

v. 276. τάσδε νῶν νόσους] Τοὺς μὲν γὰρ πολίτας λιμώξειν ἐκ γῆς ἔφασκε πρὸς ἀφοσίωσιν Ἀγαμέμνονος, ὡς μὴ ἐκδικήσαντας· ἡμᾶς δὲ σωματικῶς φθαρῆναι.

v. 279. κόρσας] τρίχας. λευκὰς δὲ κόρσας ἐπαντέλλειν] Ἢ μέχρις γήρως ἀτυχήσομεν, ἢε παρ' αὐτὰ γηράσομεν· παρὰ τό· (Odyss. T. 360.)

Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι.

v. 282. ἐν σκότῳ] τὸν ἐν σκότῳ νῦν κινοῦντα τὴν ὀφρῦν λαμπρῶς ἡμᾶς ἐπεξιέναι ἔλεγεν.

v. 283. τὸ γὰρ σκοτεινὸν] ἡ νόσος.

v. 284. πεπτωκότως] ἐκ τοῦ Ἀγαμέμνονος ἱκετεύοντος τοὺς θεοὺς ἐκδικήσεως τυχεῖν.

v. 287. λυμανθὲν] λυμανθέντα κακῶ.

v. 290. βώμων τ' ἀπείργειν] ἀπὸ κοινοῦ τὸ ἔφησεν.

v. 291. συλλύειν] συγκλύειν, συνοικεῖν.

v. 293. ταριχευθέντα] καὶ ὁ Σώφρων·

Τὸ γῆρας ἄμμε μαραῖνον ταριχεύει.

v. 294. τοιοῖςδε] κατὰ ἀπόφασιν ἀναγνωστέον.

v. 295. κεὶ μὴ πέποιθα] καὶ εἰ μὴ διὰ τὸν χρησμὸν, ἀλλὰ διὰ τὰ ἄλλα.

v. 301. δυοῖν γυναικοῖν] ἤγουν Αἰγίσθου καὶ Κλυταιμνήστρας.

v. 304. τῇδε τελευτᾷν] τούτῳ δὲ τρόπῳ εἴη ἀποβῆναι.

v. 305. ᾗ] ᾗ ἀντὶ τοῦ καθάπερ. μεταβαίνει] ἐπινεύει.

v. 306. ἀντὶ μὲν ἐχθρᾶς] τοῦτο προστάσσει ἡ δίκη· ἀντὶ λοιδορίας γὰρ λοιδορίαν, ἀντὶ πληγῆς πληγήν.

v. 310. πληγὴν τινέτω] ὁ φονεύσας.

v. 312. αἰνόπατερ] δεινὰ παθών.

v. 314. ἕκαθεν οὐρίσας] μακρόθεν οὐριοδρομήσας εἰς τὸν σὸν τάφον· ὅ ἐστιν ἀπὸ Φωκίδος ἐλθών. Ἄλλως· πόῤῥωθέν σου ἀφοριζόμενος· σὺ μὲν γὰρ ἐν σκότῳ, ἐγὼ δὲ ἐν τῷ φωτί· ἐναντίον μὲν γὰρ τὸ φῶς τῷ σκότῳ. Τοῦτ' ἔστι, πολὺ τὸ μεταξὺ τῶν ζώντων καὶ τεθνεώτων· ὅμως δὲ τοῖς προσθοδόμοις Ἀτρείδαις ὁ γόος ὁ εὐκλεὴς ὁμοίως χάριτες κέκληνται.

v. 317. χάριτες] χάριτας δὲ νεκρῶν πάντες φασὶ τὸν γόον.

v. 319. προσθοδόμοις] τοῖς πρότερον ἐσχηκόσι δόμον. Νῦν γὰρ οὐκ εἰσὶ δόμοι· φροῦδα γὰρ τάδε ἤδη. Ἄλλως· προσθόδομοι ἱκέται.

v. 320. κλῦθι νῦν] ἔξω. ἐν μέρει] κατὰ διαδοχήν, ὡς καὶ τοῦ ἀδελφοῦ.

v. 322. δίπαις τοῖς] ἔσω.

v. 324.

v. 324. ἱκέτας] ἱκέτην μὲν ἐμέ, φυγάδα δὲ Ὀρέστην. Πληθυντικῶς δὲ ἑκάτερον εἶπεν ἀντὶ ἑνικοῦ.

v. 327. οὐκ ἀτρίακτος] οὐκ ἀνίκητος, ἀλλὰ νενικημένη ὑπὸ τῶν ἐχθρῶν. Ἀπὸ τῶν παλαιστῶν, οἱ ἀποτριάζονται ὑπὸ τῶν ἀντιπάλων.

v. 328. χρῄζων] ὁ χρησμῳδῶν Ἀπόλλων.

v. 332. νεοκρᾶτα] Ὀρέστην τὸν νεωστὶ συγκραθέντα ἡμῖν. Οἱ δέ *) νεοκρᾶτα τὴν ἐπὶ νεκρῷ σπονδὴν νεωστὶ κεκραμένον, λείπει κρατῆρα.

v. 333. εἰ γὰρ ὑπ' Ἰλίῳ] ἔξω.

v. 337. κελεύθοις] ταῖς προσόδοις.

v. 338. ἐπιστρεπτὸν] ζηλωτὸν· ὡς τοὺς ὑπαντῶντας ἐπιστρέφεσθαι πρὸς θέαν ἡμῶν.

v. 339. πολύχωστον] ὑπὸ πολλῶν κεχωσμένον.

v. 340. διαποντίου] ἐν τοῖς οἰκοδομήμασι τῆς Τροίας.

v. 341. εὐφόρητον] ἀντὶ τοῦ εὐτυχῆ. Φορὰ γὰρ ἡ τύχη.

v. 342. φίλος φίλοισι] ἐσῇ. Πρὸς τὸ πολύχωστον ἂν εἶχες τάφον ἀπέδωκεν ὁ χορός.

v. 347. χθονίων τυράννων] Πλούτωνος καὶ Περσεφόνης.

v. 349. μόριμον λάχος] τὴν ἐκ μοιρῶν βασιλείαν κεκληρωμένην ἔχων.

v. 350. πεισίμβροτον] τὸ σκῆπτρον τὸ τοὺς ἀνθρώπους πειθοῖ μᾶλλον ἢ βίᾳ διατάττον.

v. 351. μηδ' ὑπὸ Τρωΐας] γυναικικῶς οὐδὲ τούτῳ ἀρέσκεται. ἀλλὰ τῷ μηδὲ τὴν ἀρχὴν ἀνῃρῆσθαι.

v. 353. πάρος δ' οἱ] Ἀπέστρεψε τὸν λόγον εἰς τὸν πατέρα αὐτοῦ.

v. 356. δαμῆναι] λείπει τὸ ὤφελεν πρὸ τοῦ ἀποθανεῖν τὸν πατέρα.

---

*) Abresch. mavult οἱ δέ.

v. 358. πρόσσω τινὰ πυνθάνεσθαι] ἐμέ.

v. 361. οὐ δαμάζει] τοῦτ' ἔστιν, οὐ συναλίσκεται τῷ σώματι ἡ ψυχικὴ δύναμις.

v. 362. γνάθος] ἡ γνάθος συνήθης· ὡς καὶ ὁ κρημνὸς παρὰ Πινδάρῳ. Καὶ ἡ ἠχὼ παρὰ Σιμωνίδῃ.

v. 363. Φαίνει δ' ὕστερον] ἣν ἔχει ὀργὴν ἡ ψυχὴ ὕστερον Φανεροποιεῖ.

v. 364. ὀτοτύζεται] Δεῖ δὲ ὅμως τὸν ἀποθανόντα θρηνῆσαι.

v. 367. ματεύει] ζητεῖ τὸ ἀντιτιμωρεῖσθαι. Ὅμως οὐκ ἠρεμεῖ ἡ ψυχή· ζητεῖ γὰρ παντελῶς ταρασσομένη τὴν ἐκδίκησιν.

v. 372. ὑστερόποινον ἄταν] τὴν Ἐριννύν.

v. 373. πανούργῳ χειρὶ] τῇ χειρὶ Κλυταιμνήστρας καὶ Αἰγίσθου.

v. 374. τοκεῦσι] ἵνα τὸ ὅμοιον καὶ ἴσον τῷ πατρί μου Φυλαχθῇ.

v. 376. ὀλολυγμὸν] πανηγυρικόν, λαμπρόν.

v. 378. ἔμπας ποτᾶται] Ὅμως τὸ εἱμαρμένον περιἵπταται πάντας καὶ οὐκ ἂν ἐπιβουλευθείη παρὰ τὸ μορίδιον.

v. 379. πάροιθεν δὲ πρῴρας] τῆς ὄψεώς μου.

v. 381. ἔγκοτον στύγος] ὀργίλον μῖσος.

v. 383. ὑπερβορέου] ὑπερσρίου, τῆς ἄγαν πνεούσης.

v. 383. μείζονα Φωνεῖς] ῥᾴδιον γὰρ τὸ εὔχεσθαι.

v. 385. ἀλλὰ διπλῆς] διπλῇ μάστιγι ἐπλήγημεν.

v. 386. τῶν μὲν ἀρωγοὶ] ἡμῶν οἱ σύμμαχοι οἱ περὶ Ἀγαμέμνονα.

v. 387. χέρες οὐχ ὅσιαι] Τοῦτο ἰδίᾳ ἀναπεΦώνηται, τῶν ἄγαν στυγερῶν τούτων. Τοῦτο δὲ μᾶλλον Ἀγαμέμνονος τοῖς παισὶν αὐτοῦ συμβέβηκεν· πρὸς ὃ ἐπάγει Ἠλέκτρα, ὅτι ὡς βέλος ὁ λόγος οὗτος ἥψατό μου.

v. 390. ἀμΦιθαλὴς] ὁ ποιήσων ἄμΦω ἡμᾶς ἀναθηλῆσαι.

v. 391. ἐπὶ χεῖρα βάλοι] τοῖς ἐχθροῖς.

v. 392. κάρανα] τὰ τοῦ οἴκου ἄκρα. Λέγει δὲ τοὺς περὶ Αἴγισθον.

v. 393. πιστὰ γένοιτο] Καὶ γένοιτο πιστὰ τῇ χώρᾳ, ὅτι σὺ τούτων αἴτιος.

v. 394. ἀπαιτῶ] λείπει τὸ λαβεῖν.

v. 395. τετιμέναι] Αἱ Ἐριννύες παρὰ τῶν χθονίων θεῶν τετιμημέναι.

v. 397. κλύουσαν] Ἀντὶ τοῦ κλυούσῃ.

v. 398. καὶ τότε] ὅτε σε οἰκτιζόμενον ἴδω, Ὀρέστα.

v. 399. κελαινοῦται] ταράσσεται.

πρὸς ἔπος] ἀντὶ τοῦ ἀκουούσῃ τὸν ὑπὸ σοῦ λόγον.

v. 400. ἐπαλκὲς] ἰσχυρόποιον.

v. 402. πρὸς τὸ φανεῖσθαι] πρὸς τὸ καλά μοι ἐννοεῖν.

v. 403. νερτέρων τυραννίδες] ἀντὶ τοῦ οἱ κατὰ γῆς θεοί.

v. 404. Ἀραὶ φθιμένων] ἀνειδωλοποιεῖ τὰς ἀράς.

v. 405. Ἀτρειδᾶν τὰ λοιπὰ] ὑμᾶς τοὺς ὑπολοίπους τῶν Ἀτρειδῶν // ἀπεσπασμένους καὶ φυγαδευθέντας τῶν οἴκων.

v. 410. βοᾷ γὰρ λοιγὸν] βοᾷ, διὰ βοῆς ἐφέλκεται.

v. 411. παρὰ τῶν προτέρων] τοῦ Ἀγαμέμνονος.

ἄταν ἑτέραν] τὸ ἑξῆς· ἄτην ἑτέραν ἐπάγουσαν λοιγὸν ἐπ' ἄτῃ.

v. 413. τί δ' ἂν] τί δεινὸν εἰπόντες κατὰ Κλυταιμνήστρας τύχοιμεν τῆς σῆς συμμαχίας, ὦ πάτερ; ἢ ἃ πεπόνθαμεν;

v. 415. πάρεστι σαίνειν] τῇ μητρὶ τὸν Ἀγαμέμνονα. τὰ δ' οὔτι] τὰ ἄχη.

v. 416. ὠμόφρων] ἀκολάκευτος.

v. 417. θυμὸς] ὁ τοῦ Ἀγαμέμνονος.

v. 418. ἄρειον] Περσικόν.

Bb 2

v. 420. ἐπασσυτεροτριβῆ] ἀλλεπάλληλον κτύπον ποιοῦντα. ὀρέγματα] τύμματα.

v. 422. ἄνωθεν] τῷ ἄνωθεν ἐπαγομένῳ τῇ κεφαλῇ κτύπῳ.

v. 430. ἐμασχαλίσθης] κατεσκεύασε δὲ τὸ μασχαλισθῆναι αὐτὸν ἡ Κλυταιμνήστρα. Ἢ καὶ οὕτως ἀτίμως αὐτὸν θάψασα δυστυχίαν μεγίστην κατασκευάζουσα τῷ σῷ βίῳ ὦ Ὀρέστα· ὅ ἐστιν, ἵνα δυστυχῆ βίον ζήσῃς, τοῦ Ἀγαμέμνονος μὴ δυναμένου σοι συμμαχῆσαι πρὸς τιμωρίαν Κλυταιμνήστρας.

v. 434. πατρῴους] τοὺς τοῦ πατρός σου.

v. 438. μυχοῦ δ' ἄφερκτος] κατάκλειστος περὶ τὴν εἱρκτήν.

v. 439. ἑτοιμότερα γέλωτος] οὐδέποτε οὕτως ἑτοίμως ἐγέλασα, ὡς τότε ἑτοίμως ἐδάκρυσα. λίβη] τὰ δάκρυα.

v. 440. χαίρουσα πολυδάκρυν] πρὸς τὸ κατάκλειστος.

v. 441. τοιαῦτ' ἀκούων] πρὸς τὸν Ὀρέστην φησίν.

v. 443. τέτραινε] διατόρει, διακόμιζε. ἡσύχῳ φρενῶν] ἠρεμαίᾳ τῇ ψυχῇ. Ἀντὶ τοῦ προσέχων καὶ μὴ ἀποπλανώμενος.

v. 444. τὰ μὲν γὰρ] Ταῦτα τὰ συμβάντα τῷ Ἀγαμέμνονι. Αὐτὸς δέ, τοῦτ' ἔστιν ὁ πατὴρ ἐπιθυμεῖ καὶ τὰ λοιπὰ γνῶναι] τοῦτ' ἔστι τὴν τιμωρίαν.

v. 445. ὀργᾷ μαθεῖν] ἀντὶ τοῦ μάθε τῷ τρόπῳ σου.

v. 446. πρέπει] πρέπει δέ σοι ἀμετακινήτῳ δυνάμει ὁρμᾶν κατ' αὐτοῦ.

v. 451. νοσφίσας ὀλοίμαν] ἐκ τούτου εἴρηται τό·

Τεθναίην ὅτ' ἐκεῖνον ἀποπνεύσαντα πυθοίμην.

Καλλιμάχου.

v. 452. ξυγγενοῦ] σύμπραξον.

v. 453. κεκλαυμένα] ἐλεεινά.

v. 454. στάσις δὲ πάγκοινος] ἐπιβοᾷ σε ἡ σύστασις ἡμῶν ἡ κοινὴ, βοηθὸν ἐλθεῖν.

v. 456. Ἄρης Ἄρει] ὁ Ἄρης ἡμῶν τῷ τῶν ἐχθρῶν.

v. 460. τὸ μόρσιμον μένει] πέπηγε μὲν καὶ ὥρισται πάλαι ὑπὸ μοιρῶν, τὸ τὴν Κλυταιμνήστραν ἀνδροκτονήσασαν ἀναιρεθῆναι. Τὸ κατ' αὐτῆς δὲ καλῶς κυρωθὲν ὑπὸ τῆς δίκης ἔλθοι. Ὅ ἐστι, μὴ μελλήσῃ πρὸς τιμωρίαν Κλυταιμνήστρας τὸ θεῖον.

v. 461. εὐχομένοις δ' ἂν ἔλθοι] κατ' εὐχὴν ἡμῖν πληρωθείη.

v. 462. ἐγγενὴς] συγγενὴς ὃν ὑπὸ συγγενῶν ἐπάθομεν.

v. 463. παράμουσος] ἐκτὸς τοῦ καθήκοντος.

v. 465. ἄφερτα] ἀφόρητα.

v. 471. ὅδ' ὕμνος] ταῦτα τὰ ᾄσματα τοῖς κατὰ γῆν *) θεοῖς πρέπει, καὶ οὐ τοῖς οὐρανίοις.

v. 475. οὐ τυραννικοῖς] οὐχ ὡς βασιλεῖ πρέπει, ἀλλ' ἀδόξως.

v. 478. προσθεῖσαν Αἰγίσθῳ] ὥστε φυγεῖν τὰς ἐπιβουλὰς Αἰγίσθου τιμωρησαμένην αὐτόν.

v. 479. οὕτω γὰρ] οὕτω γὰρ ἄν σοι κρατήσαντες πολυτελῶς θύσοιμεν. Ἔννομοι γὰρ αἱ νόμιμοι θυσίαι, αἱ πολυτελεῖς. Εἰ δὲ μή, ἄτιμος ἐν πυροῖσι κνισσωτοῖς

v. 480. κτιζοίατ'] γίγνοιτο. εἰ δὲ μὴ] τῶν ἄλλων νεκρῶν μεταλαμβανόντων ἐναγισμῶν. παρ' εὐδείπνοις χθονὸς] ὅ ἐστι παρὰ κατευωχουμένοις, δείπνῳ τιμωμένοις.

v. 482. παγκληρίας] κτήσεως.

v. 483. ἐκ δόμων γαμηλίους] εἰ γὰρ Αἴγισθος ἀπολεῖται κἀγὼ γαμηθήσομαι.

v. 484. πρεσβεύσω] τιμήσω.

v. 485. ὦ γαῖα] Ἐντεῦθεν ἀμοιβαῖα τὰ πρόσωπα Ὀρέστου καὶ Ἠλέκτρας· πρῶτον δὲ Ὀρέστου.

---

*) Ita legendum esse viderunt Stephanus et Abreschius. Vulg. κατὰ γῆν.

v. 487. οἷς ἐνοσφίσθης] οἷς ἀπέθανες.

v. 489. πέδαις δ' ἀχαλκεύτοις] ἀσιδήροις δεσμοῖς· λέγει δὲ τῇ ἀδιεξοδεύτῳ ἐσθῆτι.

v. 490. βουλευτοῖσιν] ἐπιβουλευτοῖς πέπλοις.

v. 493. ἤτοι δίκην] ἢ τὴν δίκην συμμαχοῦσαν ἡμῖν κατ' αὐτῶν πέμψον, ἢ σὺ κόλασον αὐτούς.

v. 494. ἀντίδος — λαβεῖν] ἀντίλαβε.

v. 500. οὕτω γὰρ] ἐὰν ἡμεῖς ὦμεν.

v. 501. κληδόνες] εὐφημίαι· διὰ φήμης σώζοιέν σε.

v. 502. φελλοὶ] ἐκεῖνοι γὰρ ἐπιπλέοντες σημαίνουσι τὴν ἐν βυθῷ σαγήνην· οὕτω καὶ ἡμεῖς ζῶντες σὲ τὸν θανόντα. φελλοὶ δὲ εἰσι κοῦφα ξύλα τὰ ἀναβαστάζοντα ἐν τῇ θαλάσσῃ τὰ δίκτυα.

v. 503. τὸν ἐκ βυθοῦ κλωστῆρα] ἐν περιφράσει τὸν κλωστὸν λίνον.

v. 504. ἄκουε] ἀντὶ τοῦ πείσθητι.

v. 505. τιμήσας λόγον] ἀντὶ τοῦ ἐπακούσας ἡμῶν. καὶ μὴν ἀμόμφητον] λείπει ἡ εἰς.

v. 506. ἀνοιμώκτου] πολυθρυλλήτου.

v. 507. τὰ δ' ἄλλα] Ὦ Ὀρέστα, τὰ κατὰ τὴν σφαγὴν τοῦ Αἰγίσθου.

v. 509. ἔξω δρόμου] ἔξω τοῦ προκειμένου.

v. 511. ἀνήκεστον] ἀνίατον πάθος.

v. 512. οὐ φρονοῦντι] τῷ ὑπ' αὐτῆς θανόντι καὶ μὴ φρονοῦντι τὰ αὐτῆς.

v. 513. εἰκάσαι τάδε] οὐ διστάζω ὅτι οὐκ ἐπέμφθη. Ἀντὶ τοῦ ὑπερβαίνει τὰ ἁμαρτήματα τὴν ἀπὸ τῶν δώρων πειθὼ καὶ παρηγορίαν.

v. 517. θέλοντι δὲ] ὁ δέ, ἀντὶ τοῦ γάρ.

v. 518. πάρει] γράφεται παρῇς.

v. 520. δύσθεος γυνὴ] ἀσεβής.

v. 523. καρανοῦται] κεφαλαιοῦται. λόγος] ἀντὶ τοῦ τὰ ἐφεξῆς τοῦ ὀνείρου.

v. 524. ἐν σπαργάνοισι παιδὸς ὁρμῆσαι δίκην] ὡς παῖδα αὐτὸν ἐκτεῖναι ἐν τοῖς σπαργάνοις. Ἀπὸ κοινοῦ τὸ ἔδοξε.

v. 525. χρῄζοντα] πρὸς τὸν δράκοντα εἶπε τὸ χρῄζοντα.

νεορενὲς] ἀντὶ τοῦ νέον.

v. 527. ὑπὸ στυγὸς] τοῦ μισητοῦ θηρίου.

v. 528. ὥστ' ἐν γάλακτι] ἀντὶ γάλακτος αἷμα.

v. 529. ἀνδρὸς ὄψανον] ὄψανον, ὄψις, φαντασία. Τὸ χ. δέ, ὅτι ἀπὸ ὄψεως παρήγαγε τὸ ὄψανον, τὸ ἐκ τοῦ ἀνδρὸς Ἀγαμέμνονος φάντασμα.

v. 531. ἀνῆλθον] ἀνέλαμψαν. ἐκτυφλωθέντες] οἱ σβεσθέντες ἤδη λαμπτῆρες. Νὺξ γὰρ ἦν.

v. 533. κηδείους χοὰς] τὰς πρὸς εὐμένειαν Ἀγαμέμνονος.

v. 534. ἄκος] θεραπευτικὸν ἴαμα, θεράπευμα τμητικὸν τῶν κακῶν οἰηθεῖσα ποιεῖν. Λείπει δὲ τὸ ποιεῖν.

v. 537. συγκόλλως ἔχειν] συνημμένως τῇ ἀληθείᾳ.

v. 538. τὸν αὐτὸν χῶρον] τὴν γαστέρα τῆς Κλυταιμνήστρας.

v. 543. δεῖ τοι νῦν, ὡς ἔθρεψεν] ὥσπερ δι' αἵματος ἔθρεψε τὸν δράκοντα, δεῖ αὐτὸν θρέψαι τῷ ἰδίῳ γάλακτι, ὅ ἐστι δι' αἵματος τὴν ἐμὴν ἐπιθυμίαν πληρῶσαι.

v. 544. ἐκδρακοντωθεὶς] ἀγριωθεὶς κατ' αὐτῆς.

v. 549. ἁπλοῦς ὁ μῦθος] σύντομος.

τήνδε] τὴν Ἠλέκτραν.

v. 551. ἄνδρα τίμιον] τὸν Ἀγαμέμνονα.

v. 553. ἢ καὶ Λοξίας] ἤ, ἀντὶ τοῦ καθό. Τὸ ἑξῆς ἐφήμισε τὸ πρίν.

v. 555. παντελῆ] τελείαν.

σάγην] πανοπλίαν· ἢ τελείαν περιβολὴν ἔχων ξένου.

v. 558. φωνὴν ἥσομεν Παρνησσίδα] Φωκικήν *).

---

*) Vulgo legebatur: Φονικήν. mendose; cui alius quis assuerat ista: Οἶμαι δὲ Φωκικὴν λέγειν.

v. 561. δαιμονᾷ] τετάρακται.

v. 562. μενοῦμεν οὕτως] κἂν μὴ δεξιωθῶμεν, μενοῦμεν πρὸ τῶν θυρῶν ἐπὶ τοσοῦτον, ὥστε εἰκάζειν τινὰ ὅτι ἠτιμώθημεν καὶ τοιαῦτα λέγειν.

v. 566. βηλὸν] τὸν οὐδόν.

v. 569. σάφ' ἴσθι] τὸ ἑξῆς· σάφ' ἴσθι πρὶν αὐτόν.

v. 571. ποδώκει] τῷ ταχεῖ ξίφει. Ὡς ἐπὶ ἐμψύχου δὲ εἶπεν.

v. 572. οὐχ ὑπεσπανισμένη] οὐκ ἀποτυγχάνουσα.

v. 573. ἄκρατον αἷμα] ὡς εἰ ἔφη τοῦ τρίτου κρητῆρος, μετὰ Ἀγαμέμνονα τῶν δύο τούτων τὸ αἷμα.

v. 574. σὺ δ' οὖν] ὦ Ἠλέκτρα.

v. 575. ἀρτίκολλα] σύμφωνα καὶ ὑγιῶς συναρμοζόμενα ταῖς νεωστὶ συνθήκαις ἡμῶν.

v. 577. τὰ καίρια] τὰ χρήσιμα.

v. 578. τούτῳ] τῷ Πυλάδῃ.

v. 579. ὀρθώσαντί μοι] συμπράξαντί μοι.

v. 580. πολλὰ μὲν] πολλὰ τίκτει ὁ ἀὴρ ἐκ τῆς ἡλιακῆς ἀκτῖνος πτηνὰ καὶ ἑρπετά. Εἰσὶ γὰρ ὄφεις ἐξ ἀέρος πίπτοντες.

v. 581. δειμάτων ἄχη] κατὰ περίφρασιν, δείματα.

v. 582. ἀγκάλαι] αἱ κοιλότητες.

v. 583. ἀνταίων] ἔναντι.

v. 584. πλάθουσι] γεννῶσι καὶ αὔξουσι. μεταίχμιοι] Αἱ μεταξὺ γῆς καὶ οὐρανοῦ λαμπάδες. Τοῦτ' ἔστιν, ὁ ὑπὸ ἡλίου φωτιζόμενος ἀήρ.

v. 585. πεδαμάρσοι] οἶμαι πεδοῦροι, ἵν' ᾖ τὸ σημαινόμενον μετέωροι. Ἄλλως· αἱ ἀκτῖνες τοῦ ἡλίου αἱ καθημεριναί.

v. 588. αἰγίδων] καταιγίδων. φράσαι] ἐννόησον.

v. 589. ἀλλ' ὑπέρτολμον] ὁ ἀλλὰ ἀντὶ τοῦ δέ.

v. 590. τίς λέγοι] τίς λέγοι φρεσὶν, ἀντὶ τοῦ ἐννοήσειεν.

v. 592. παντόλμους] ἀπὸ κοινοῦ τὸ τίς λέγοι.

v. 594. ὁμαυλίας] ὁμοκοιτίας.

v. 595. θηλυκρατὴς] ὁ γυναικῶν κρατῶν. Λέγει δὲ ταῦτα ὅτι ἡ Κλυταιμνήστρα κατωφερείας ἕνεκα τῷ Αἰγίσθῳ ἐγαμήθη.

ἀπέρωτος] στυγνὸς καὶ ὑπερήφανος.

v. 598. ἴστω] γινωσκέτω δ' ὁ παιδευθεὶς οὐχ ὑποπτέροις φροντίσιν. Ἴν' ᾖ τὸ ὅς ὑποτακτικὸν ἀντὶ τοῦ ὁ προτακτικοῦ. Ἄλλως· οὐχ ὑπόπτερος, ὁ μὴ κοῦφος, ἀλλ' ἀληθῶς μαθεῖν θέλων.

v. 600. ἁ παιδολύμας] ἡ τῷ παιδὶ Μελεάγρῳ λυμηναμένη. Οὕτω τὸ ἑξῆς· ἥντινα μήσατο πρόνοιαν τάλαινα Θεστιὰς ἡ παιδολύμας καὶ πυρδαής.

v. 604. ἐπεὶ] Ἀφ' οὗ ξύμμετρον τῷ παιδὶ δαλόν· ἐξότε πεσὼν ἀπὸ τῆς μητρὸς ἐβόησε· τοῦτ' ἔστιν ἐξότε γεγέννηται.

v. 606. ξύμμετρόν] τὸν συμμετρηθέντα αὐτῷ εἰς τὸ διὰ βίου μοιρόκραντον ἦμαρ. Ὅ ἐστιν, εἰς τὸ ἦμαρ τῆς ζωῆς τὸ ὑπὸ μοιρῶν δεσποζόμενον.

v. 608. ἀλλὰ δὴ] ἀπὸ κοινοῦ τὸ ἴστω τίς.

v. 612. χρυσεοδμήτοισιν ὅρμοις] ὅτι ὅρμον ὑπὸ Μίνωός φησιν εἰληφέναι Σκύλλαν οὐ δι' ἔρωτα.

v. 614. Νῖσον] τὸ ἑξῆς· ἀπώλεσεν ἁ κυνόφρων Νῖσον πνέοντα ὕπνῳ.

v. 615. ἀπροβούλως] ἀπρονοήτως, οὐ προσκεψαμένη τὸ ἀποβησόμενον. Ὡς προδότις γὰρ τοῦ πατρὸς ἐτιμωρήθη ὑπὸ Μίνωος.

v. 616. πνέονθ'] ἀντὶ τοῦ ἀσθμαίνοντα.

v. 617. κιχάνει] τὸν Νῖσον, μὴ τὴν Σκύλλαν. Ἑρμῆς] ὁ θάνατος.

v. 618. ἐπεὶ δ' ἐπεμνήσαμεν] Λείπει μνήσομαι Κλυταιμνήστρας.

v. 619. ἀκαίρως δὲ] ὁ δὲ, ἀντὶ τοῦ γάρ. γαμήλευμα] τοῦ Αἰγίσθου.

v. 621. μήτιδας] Λείπει εἰργάσατο.

v. 623. ἐπ' ἀνδρὶ δηΐοις ἐπικότῳ σέβας] ἐπ' ἀνδρὶ φοβερῷ καὶ σεβαστῷ καὶ παρὰ τοῖς πολεμίοις.

v. 624. ἀθέρμαντον] ἀθράσυντον. Διὰ τὸ θράσος γὰρ ᾄδονται αἱ Λήμνιαι.

v. 625. ἄτολμον αἰχμὰν] Λείπει ἡ κατά.

v. 626. πρεσβεύεται] μεῖζον ὀνομάζεται. τὸ Λήμνιον] Λείπει ἔργον.

v. 627. λόγῳ] ἐν διηγήματι. κατάπτυστον] μισητόν.

v. 628. εἴκασε] εἰκονίσειέ τις.

v. 629. τὸ δεινὸν] τὸ κατὰ Κλυταιμνήστρα[ν].

v. 630. θεοστυγήτῳ δ' ἄχει] ὁ δὲ ἀντὶ τοῦ γάρ.

v. 632. οἴχεται γένος] τὸ τῶν Λημνιάδων.

v. 633. οὐκ ἐνδίκως ἀγείρω] συνάξας κατηγορῶ. Νύσσει γάρ με τὸ δίκαιον ταῦτα λέγειν.

v. 634. τὸ δ' ἄγχι] τὸ δὲ ξίφος τῆς δίκης, τὸ ἔχον πικρίαν, ἀντικρὺ διὰ πνευμόνων ὁρμᾷ.

v. 636. τὸ μὴ θέμις] τὸ γὰρ μὴ δίκαιον οὐ δεῖ ἀμελεῖσθαι, οὐδὲ παρασιωπᾶσθαι, ἀλλ' ἐκδικήσεως τυγχάνειν.

κ̀ ἐστι v. 638. τὸ πᾶν Διὸς] λείπει ὁ γάρ. Τὸ γὰρ πᾶν τοῦ Διὸς σέβας παρεξέβησαν ἀθεμίστως οἱ περὶ τὸν Αἴγισθον.

v. 640. παρεκβάντες] Ἀντὶ τοῦ παρεξέβησαν. Καὶ ἔστι μετοχὴ ἀντὶ ῥήματος· ὡς τὸ καρπῷ βριθομένη. (Iliad. Θ. 307.)

v. 641. δίκας δ' ἐρείδεται πυθμὴν] ῥίζα δικαιοσύνης καταβάλλεται.

v. 643. τέκνον δ' ἐπεισφέρει δώμασι] Ἀντὶ τοῦ ποινήν. Ἐπεισφέρει δὲ τοῖς οἴκοις τέκνον παλαιῶν αἱμάτων· ὅ ἐστι, τίκτει ὁ φόνος ἄλλον φόνον.

ἢ περιβόντος: v. 645. τίνει] ἀπαιτεῖ.

v. 648. τίς ~~ἔνδον~~] ἐν δόμοις.

v. 649. ἐκπέραμα] ἐκπεράσαι τινὰ καλῶ. Τὸ ἐκπέραμα ~~λέγει~~ ἐστι τὸν διάκονον τὸν εἰσιόντα καὶ ἐξιόντα πρὸς τὰς ἀποκρίσεις.

v. 655. νυκτὸς ἅρμα] περίφρασις, ἡ νύξ.

v. 656. ἐμπόρους] ὁδοιπόρους.

v. 657. ἀγκύραν ἐν δόμοισι] ἐν τοῖς πανδόκοις δόμοις τῶν ξενοδόκων καιρὸς τὴν ἀγκύραν προσορμίσαι τοὺς ὁδοιπόρους, ἀντὶ τοῦ καταλῦσαι.

v. 658. τελεσφόρος] ἀρχηγὸς, διοικητής.

v. 659. εὐπρεπέστερον] βέλτιον ἄνδρα ἐξελθεῖν.

v. 660. ἐν λεχθεῖσιν] ἐν ταῖς πρὸς γυναῖκας ὁμιλίαις. οὐκ ἐπαργέμους] σκοτεινοὺς, ἀπὸ τῶν περὶ τοὺς ὀφθαλμοὺς λευκωμάτων. Πλεονάζει ἡ οὐ.

v. 666. δικαίων τ' ὀμμάτων παρουσία] ἀντὶ τοῦ καὶ δίκαιοι ἄνθρωποι.

v. 667. βουλιώτερον] βουλευτικώτερον. Ὃ ἐστιν, εἰ οὐ διὰ ξενίαν ἥκετε, ἀλλὰ δι' ἄλλο τι.

v. 669. Δαυλιεὺς] Δαυλὶς ἡ καὶ Αὐλίς *).

v. 670. αὐτόφορτον] ἐπὶ ἰδίᾳ πραγματείᾳ.

v. 671. ἀπεζύγην] τῆς ὁδοῦ τῆς ὁδοιπορίας ἀπελυθεὶς, ἐπὶ τῷ ξενισθῆναι παρ' ὑμῖν. Ἐκ μεταφορᾶς τῶν ἀπολυομένων τοῦ ζυγοῦ ἵππων, καὶ ἐπὶ φάτνην ὁρμώντων.

v. 673. ἐξιστορήσας] ἐρωτήσας καὶ μαθών.

v. 674. πεύθομαι] ἤκουσα γὰρ ἐν τῷ μου πρὸς αὐτὸν διαλόγῳ ὅτι Στρόφιος προσαγορεύεται.

v. 675. ἄλλως] δι' ἄλλην χρείαν.

v. 676. πρὸς τοὺς τεκόντας] τὸ ἑξῆς, ἀγνὼς πρὸς ἀγνῶτα εἶπεν· ἐπείπερ, ὦ ξένε. Τὰ δὲ ἄλλα διὰ μέσου.

v. 677. μηδαμῶς] μηδαμῶς λάθη με ἡ βουλὴ τῶν φίλων. Λέγει δὲ τῶν περὶ Αἴγισθον.

v. 678. εἴτ' οὖν κομίζειν] εἰς τοὺς οἴκους.

---

*) Haec Scholiastae verba manifesto in mendo cubant; quae qua ratione sint liberanda non video; nam si, quod proximum est, corrigas ἡ καὶ Αὐλίς, turpissimum ei errorem affinges. Scripserat fortasse Δαυλὶς, ὡς καὶ Αὐλίς, ut doceret gentile femininum se habere ut Αὐλίς; quod probat Inscriptio ap. Golzium. Cf. Steph. Byzant. et ad eum Berkel. *Abresch.*

v. 680. πόρθμευσον] διακόνησον.

v. 683. εἰ δὲ τυγχάνω] πιθανῶς· ἵνα δοκῇ ὅλ… ἀγνοεῖν.

v. 687. ὦ δυσπάλαιστε] ὦ δυσκαταγώνιστε.

v. 688. ἐπωπᾶς] ἐφορᾷς πολλὰ τὰ ἡμέτερα ἀτ… χήματα. κακποδῶν] καὶ τὰ πόῤῥωθεν καλῶς κείμενα τῶ… φίλων. Ὅ ἐστι, τὰ ἐπὶ ξένης ἀγαθὰ ἐνδιαιτήματα το… Ὀρέστου τοῖς τόξοις εὐστόχως κινουμένη.

v. 690. ἀποψιλοῖς με] ἀπογυμνοῖς με.

v. 691. καὶ νῦν Ὀρέστης] ἀντὶ τοῦ πρότερον. Τὸ γὰρ νῦν δηλοῖ καὶ τὸ παρεληλυθός.

v. 692. ἔξω κομίζων] Τὸ ἑξῆς οὕτως τοῦ νοήματος· καὶ πρότερον ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα· ἦν γὰρ εὐβούλως ἔχων Ὀρέστης. Ποῖος Ὀρέστης; ἡ τοῖς οἴκοις ἰατρικὴ ἐλπὶς τῆς ἀγαθῆς εὐφροσύνης. Νῦν δὲ ἀπώλετο. πηλοῦ πόδα] Παροιμία ἔξω πηλοῦ πόδα.

v. 693. βακχείας καλῆς] ἡ εὐφροσύνη τῶν βασιλείων οἴχεται.

v. 694. παροῦσαν ἐγγράφει] τάξον αὐτὴν ἀφανισθεῖσαν ἀρᾷ *). Ὡς πρὸς τὸ ἐλπὶς δ' ἀπέδωκεν.

v. 698. ἔστιν εὐμενέστερον] ἢ τὸ ἀγαθὰ ἀγγεῖλαι. Τοῦτο γὰρ φιλίας αἴτιον τοῖς ξένοις γίνεται.

v. 700. κάρανῶσαι] κεφαλαιῶσαι, εἰπεῖν.

v. 702. ἀξίως σέθεν] τῶν σοὶ ἀξίων τιμῶν.

v. 704. ἦλθεν ἂν] εἰ καὶ μὴ σὺ ἤγγειλας.

v. 705. ἡμερεύοντας] δι' ἡμέρας καμόντας.

v. 710. αἰνῶ] συμβουλεύω σοι ταῦτα πράσσειν, ὡς δώσοντι δίκην, ἤν τι παρὰ τὸ δέον ποιήσῃς.

v. 715. πότε δὴ στομάτων] πότε ἐπευξόμεθα.

---

*) Veteres Grammatici ἐγγράφει habuisse videntur pro imperandi malo, qui, si sit saltem ἔγγραφε scribendum putabat Henr. Stephanus, ipse licet in Thes. L. Gr. observet γραφέω Atticis usurpatum ἀντὶ τοῦ γράφω.

v. 717. ὦ πότνια χθὼν] ὦ προςφιλὴς καὶ τιμία ἡμῖν χθών.

καὶ πότνι' ἀκτὴ] ἡ ἀκτὴ τοῦ τάφου.

v. 721. νῦν γὰρ ἀκμάζει] νῦν γὰρ καιρὸν ἔχει ἡ δολία πειθὼ συναγωνίσασθαι τῷ Ὀρέστῃ. καὶ συνάρασθαι πρὸς τὴν ὁδόν.

v. 723. ἐφοδεῦσαι] ἀπὸ κοινοῦ τὸ νῦν ἀκμάζει.

v. 725. ἀνὴρ ὁ ξένος] ξένον τὸν Ὀρέστην καλεῖ, ἵνα δόξωσιν ἀγνοεῖν τὸ σκαιώρημα. τεύχειν κακὸν] ἀντὶ τοῦ πεποιηκέναι πένθος τῷ οἴκῳ διὰ τῆς ἀγγελίας.

v. 728. λύπη δ' ἄμισθος] κακόμισθος· δάκρυα γὰρ προξενεῖ. Κίλισσαν δέ φησι τὴν Ὀρέστου τροφόν, Πίνδαρος δὲ Ἀρσινόην, Στησίχορος δὲ Λαοδάμειαν.

v. 729. Αἴγισθον ἡ κρατοῦσα] ἡ τοὺς ξένους κρατοῦσα καὶ ὑποδεξαμένη, Αἴγισθον καλεῖν ἐκέλευσε.

v. 731. τὴν νεάγγελτον] τὴν νεωστὶ ἀγγελθεῖσαν.

v. 735. παγκάκως ἔχει] ἀντὶ τοῦ ὁ οἶκος κακῶς διάκειται ὑπὸ τῆς φήμης, ἧς ἤγγειλαν οἱ ξένοι σαφῶς.

v. 736. τορῶς] σαφῶς.

v. 737. ἦ δὴ] ἀντὶ τοῦ ὄντως.

v. 739. ὥς μοι] ὡς ἀντὶ τοῦ λίαν. συγκεκραμένα] ἡ κρεωφαγία τῶν Θυέστου παίδων, καὶ ὁ τοῦ Ἀγαμέμνονος θάνατος.

v. 742. τοιόνδε πῆμ'] οἷον ἐπὶ τῇ τοῦ Ὀρέστου ἀγγελίᾳ νῦν.

v. 743. τλημόνως] καρτερικῶς ὑπέφερον.

v. 744. τῆς ἐμῆς ψυχῆς τριβὴν] τὸν συντρίψαντά μου ταῖς ἐπιμελείαις τὴν ψυχήν.

v. 747. καὶ νυκτιπλάγκτων] οὐ μόνον δι' ἡμέρας, ἀλλὰ καὶ διὰ νυκτῶν. Ἀνωφέλητα ἐστὶ τῇ τλάσῃ καὶ πολλὰ καὶ μοχθηρά. ὀρθίων κελευσμάτων] κελεύουσι γὰρ τὰ καλεῖν οἱ παῖδες.

v. 750. τρέφειν ἀνάγκη] ἀνάγκη τρέφειν ἐπιμελείᾳ ψυχῆς. Πῶς γὰρ οὔ;

v. 751. οὐ γάρ τι φωνεῖ] ἀλλ' ἀνάγκῃ διὰ δακρύων ἐπέφερεν.

v. 753. νέα δὲ νηδὺς] ἡ γὰρ νέα νηδὺς τῶν τέκνων ἑαυτῇ ἀρκεῖν καὶ βοηθεῖν βούλεται· ὅ ἐστιν, ἀνύειν βούλεται τὰς ἐπιθυμίας.

v. 755. ψευσθεῖσα παιδὸς] ἀπὸ κοινοῦ ἐξέθρεψα.

v. 757. χειρωναξίας] τὰς διὰ χειρῶν ἐργασίας.

v. 758. ἐξεδεξάμην πατρὶ] ἀντὶ τοῦ ἔθρεψα, ἀπέσωσα.

v. 762. ἐσταλμένον] ἠσκημένον, παρεσκευασμένον.

v. 766. δεσπότου στύγει] τῷ μισουμένῳ ὑπ' Ἀγαμέμνονος.

v. 769. ἐν ἀγγέλῳ] χαίρεις.

v. 770. ἀλλ' ἦ] ἀλλ' ὄντως.

v. 771. τροπαίαν] μετατροπήν.

v. 773. οὔπω κακός γε μάντις] τινὲς στίζουσιν εἰς τὸ οὔπω, ἵν' ᾖ· οὔπω ἐλπὶς οἴχεται δόμων. Ταῦτα δὲ καὶ ὁ τυχὼν μάντις γνοίη. Ἄλλως· οὔπω κακός γε] τοῦτο ἀκριβοῦς μάντεως εἰπεῖν.

v. 774. τῶν λελεγμένων δίχα] παρὰ τὰ εἰρημένα μοι περὶ τοῦ Ὀρέστου.

v. 779. παραιτουμένη] παρὰ σοῦ αἰτουμένη. Πλεονάζει ἡ παρά.

v. 781. δὸς τύχας] δός μοι εὐτυχίαν εὐτυχῆσαι βεβαίως.

v. 783. διαδικάσαι] δικαίως, κατὰ τὸ δίκαιον.

v. 785. ἀνδρὸς] τοῦ Ἀγαμέμνονος. πῶλον] τὸν Ὀρέστην.

v. 786. ζυγέντα] ἐνέμεινε τῇ μεταφορᾷ. Φήσας γὰρ ἐν ἅρματι πημάτων τὸ δρόμῳ ἐπήγαγε.

v. 788. μέτρον] τέλος αὐτῷ προστιθεὶς τῶν κακῶν. ῥυθμὸν — δάπεδον] ἀντὶ τοῦ εὐτάκτου δάπεδον καὶ μὴ τραχεῖαν πορείαν.

v. 789. τοῦτ' ἰδεῖν] Ἀντὶ τοῦ ἴδοι. Τὸ δὲ ἑξῆς· ἴδοι δέ τις σωζόμενον αὐτῷ τὸν ῥυθμὸν τοῦ δρόμου· μηδὲ ὑπερδραμὼν ἐν τῷ δαπέδῳ διαρρήξῃ τὸν χαλινόν. Ἄλλως.

Λείπει τὸ ὅπως. Ὁ δὲ νοῦς ὅπως ἂν τοῦτο ἴδοι σωζόμενον τὸν ῥυθμὸν ὁμαλὸν καὶ εὔτακτον, κατὰ τὸν δρόμον τῶν ἀνυομένων πημάτων.

v. 792. ὦ Ζεῦ θὲς] τὸν Ὀρέστην.

v. 793. μέγαν ἄρας] ἐπάρας γὰρ τὸν Ὀρέστην, δυνήσῃ καὶ τριπλασίονα ποινὴν εἰςπράξασθαι τὸν Ὀρέστην ποιῆσαι. δίδυμα κ. τ.] διπλάσια καὶ τριπλάσια.

v. 796. νομίζετε] ἡνιοχεῖτε καὶ διοικεῖτε.

v. 800. γέρων φόνος] Ἀγαμέμνονος ὁ παλαιὸς φόνος μὴ συγχωρήσῃ φόνον τῷ Ὀρέστῃ τεχθῆναι, διὰ τὸν φόνον Ὀρέστου.

τόδε καλῶς κτάμενον] διὰ τοῦτο τὸ καλῶς ἀναιρεθησόμενον· λέγει δὲ τὸ αἷμα τοῦ Αἰγίσθου.

v. 801. ὦ μέγα ναίων στόμιον] ὦ ᾅδη.

v. 802. εὖ δὸς ἀνιδεῖν] ἀναβλέψαι.

v. 804. δνοφερᾶς καλύπτρας] τοῦ σκότους.

v. 805. ἐπιφορωτατος] ὡς ἐπὶ ἀνέμου εἶπεν, ἀντὶ τοῦ ὁ λογικώτατος.

v. 807. φανεῖ] τὰ δὲ κρυπτὰ νῦν φανερώσει. Ἄλλως. φανεῖ χρηΐζων κρυπτὰ] θέλων πολλὰ κρυπτὰ εὑρήσει.

v. 808. ἄσκοπον] ἀπροφύλακτον. Ἀδιάσκοπός ἐστιν ὁ λόγος, καὶ ἀδιάγνωστος, τουτ᾽ ἔστιν ὁ Ἑρμῆς· νύκτα γὰρ καὶ σκότον πρὸ τοῦ προςώπου φέρει.

v. 811. καὶ τότε δὴ] ὅταν ἀπαλλαγῶμεν. πλοῦτον] τὸν πλοῦτον τῶν δωμάτων ἐλεύθερον τῇ πόλει μεθήσομεν.

v. 812. λυτήριον] ἐλεύθερον. Νῦν γὰρ ὑπὸ τυράννων ἀποκέκλεισται.

v. 813. θῆλυν] γεννητικόν. οὐριοστάταν] οὐρίως σταθέντα.

v. 814. ὁμοῦ κρεκτὸν] ὁμοῦ μεθήσομεν τὸν κρεκτὸν γοήτων νόμον, ὅ ἐστι, καὶ τῶν ἀγαθῶν τῇ πόλει μεταδώσομεν, καὶ τὸν Ἀγαμέμνονα ἀκινδύνως θρηνήσομεν. γοήτων] τὸν τῶν γοήτων, οἱ ὡς ᾄδουσι περιιόντες τὴν πόλιν.

v. 816. τὰ δ᾽ εὖ ἐμόν, ἐμὸν κέρδος] τὰ καλῶς ἀποβαίνοντα τὸ ἐμὸν κέρδος ἐστίν· τῶν δὲ περὶ Ὀρέστην καὶ Ἠλέκτραν ἀπαλλαγὴ ἄτης.

v. 819. σὺ δὲ θαρσῶν] Ὦ Ὀρέστα, σὺ δὲ θαῤῥῶν ἐμοὶ τέκνον θροούσῃ πρὸς σὲ πατρὸς αὐδάν, ὅ ἐστιν, ὡς ἂν εἰ πατὴρ συμβουλεύσῃ, ὅταν ἥκῃ καιρός, ἔργῳ ἐπιβαλοῦ ἐπικαλεσάμενος τὸ εἴδωλον τοῦ πατρός· πρόσεχε δὲ κἀμοὶ συμβουλευούσῃ σοι οἷα πατήρ.

v. 820. μέρος ἔργων] ὁ καιρὸς τοῦ ἔργου. Λείπει ἐπιβαλοῦ.

v. 821. ἐπαΰσας πατρὸς ἔργῳ] ἀντὶ τοῦ ἐπικαλεσάμενος τὸ εἴδωλον τοῦ πατρός.

v. 822. ἐπίμομφον ἄτην] κατεργασάμενος τὴν πολλῶν μέμψεων ἀξίαν ἄτην, ὅ ἐστι, τὸν Αἴγισθον καὶ τὴν Κλυταιμνήστραν.

v. 823. Περσέως] ἀντὶ τοῦ πορθητοῦ, ἢ ἐπεὶ ἀπεστραμμένος ἐκαρατόμησε Μέδουσαν, ἀποστραφείς, φησίν, ὡς ἐκεῖνος· μή πως θεώμενος αἰδεσθῇς τὴν μητέρα.

v. 827. ἔνδοθεν] ἐν τῇ ψυχῇ. Ἄλλως. Τὴν ἔνδον ἐπὶ τῆς οἰκίας φονίαν ἄτην καταβαλών, ὅ ἐστι, τὴν Κλυταιμνήστραν.

v. 829. τὸν αἴτιον] τὸν Αἴγισθον.

v. 833. μόρον δ' Ὀρέστου] ὑπούλως ταῦτά φησι.

v. 834. φόνῳ] τῷ τοῦ Ἀγαμέμνονος.

v. 835. ἑλκαίνοντι καὶ δεδηγμένῳ] ὡς ἐπὶ μαχαίρας, οὐ παρακαλυφθέντι, ἀλλ' ἀειμνήστῳ· ἐν γὰρ τοῖς θρήνοις ἀμύσσουσιν αὐτῶν τὰ στήθη.

v. 838. θνήσκοντες μάτην] οὐκ ἀληθῶς ἀποθανόντες.

v. 841. οὐδὲν ἀγγέλων σθένος] οὐ τοσοῦτον ἰσχύει εἰπεῖν ἄγγελος, ὡς αὐτόπτης.

v. 846. ὠμματωμένην] τὴν συνετήν μου φρένα.

v. 847. Ζεῦ, Ζεῦ τί λέγω] ταῦτά φησιν ὁ χορός, εἰσελθόντος τοῦ Αἰγίσθου.

v. 850. ἴσον] τὸ ἀληθές.

v. 852. πειραὶ κοπάνων] πειραί, αἱ ἀκμαὶ τῶν ξιφῶν. Ἄλλως. Κοπάνων, τῶν συγκοπῶν, πειραὶ παρὰ τὸ πείρειν. Κοπάνων δὲ τῶν κοπτικῶν ξιφῶν.

v. 855. ἢ πῦρ καὶ φῶς] πῦρ δαΐδων.

v. 862. ἔα ἔα] φωνῆς ἀκούουσιν ἀναιρουμένου τοῦ Αἰγίσθου.

v. 870. γυναικείας πύλας] τὰς τῆς Κλυταιμνήστρας.

v. 871. καὶ μάλ' ἡβῶντος] ἀνδρὸς δεῖ εἰς τὸ χαλάσαι τὰς πύλας.

v. 872. διαπεπραγμένῳ] τῷ σφαγέντι.

v. 878. τοὺς τεθνηκότας λόγῳ] ἀντὶ τοῦ· ὁ τῷ λόγῳ τεθνηκὼς Ὀρέστης ἀπέκτεινε τὸν ζῶντα Αἴγισθον.

v. 885. Αἰγίσθου βία] ἀντὶ τοῦ ὦ Αἴγισθε.

v. 890. οὔλοισιν ἐξήμελξας] τὸ οὖλον οὐδετέρως.

v. 892. ποῦ δαὶ τὰ] μετεσκεύασται ὁ ἐξάγγελος εἰς Πυλάδην, ἵνα μὴ ἐλέγωσιν.

v. 893. εὐορκώματα] τὰ ὁρκωμόσια ἃ ἐξυνωμόσαμεν.

v. 894. ἅπαντας ἐχθροὺς] πλέον λέγε πάντας ἀνθρώπους ἔχειν τοὺς θεοὺς ἔχθρους.

v. 896. ἕπου, πρὸς αὐτὸν] πρὸς αὐτὸν τὸν Αἴγισθον. Πιθανῶς δέ, ἵνα μὴ ἐν φανερῷ ἡ ἀναίρεσις γένηται.

v. 900. γηράναι] ἀπὸ τοῦ γήρημι.

v. 906. δορυξένους] οὐκ ἔστιν ἀποῤῥίψαι, τὸ δορυξένοις ἐκδοῦναι πρὸς ἀνατροφήν.

v. 909. αἰσχύνομαί σου] τὸν Αἴγισθον φησι.

v. 910. μὴ 'λλ' εἴφ' ὁμοίως] ὅτι Κασάνδραν ἐπέγημεν.

v. 911. ἔσω καθημένη] ἑτέρῳ συγκοιμωμένη. Ἄνδρα ἐν πολέμοις πονοῦντα μὴ θέλε κρίνειν γυνὴ οὖσα.

v. 916. ἐγκότους κύνας] τὰς Ἐριννύας.

v. 918. πρὸς τύμβον μάτην] ὅτι μέλλω τελευτᾶν. Παροιμίαν εἶναι τοῦτο φασὶ πρὸς τύμβον κλαίειν καὶ πρὸς ἄνδρα νήπιον.

v. 923. στένωμεν οὖν] εὐγνωμόνως ἐλεοῦσι τοὺς περὶ Αἴγισθον.

v. 924. ἐπήκρισε] ἐπ' ἄκρον ἦλθε.

v. 930. διπλοῦς λέων] οἱ περὶ Ὀρέστην καὶ Πυλάδην.

v. 931. ἔλακε] ἤλασεν δὲ εἰς τὸ τέλος τοῦ δρόμου· ὅ ἐστιν, ἤνυσε τὸν ἀγῶνα. Ἀφίκετο, φησίν, εἰς τὸ τέλος τοῦ ἀγῶνος.

v. 932. ὁ πυθοχρήστας] ὁ ὑπὸ Πυθοῦς χρησθεὶς Ὀρέστης.

v. 935. τριβὰς] ὡς φυγόντων τὰς συντριβὰς τῶν οἴκων.

v. 937. δυσοίμου τύχας] δυσπορεύτου τύχης. Τὸ δὲ ἑξῆς· τὰς ἀναφυγὰς τῶν κακῶν τὰς ἀπὸ δυσοίμου τύχης.

v. 938. ἔμολε] τῷ Αἰγίσθῳ ἔμολεν ἡ ποινὴ τῷ ἀποκτείναντι δόλῳ τὸν Ἀγαμέμνονα.

v. 941. Διὸς κούρα] ἡ δὲ Διὸς θυγάτηρ ἡ Δίκη πάρεστιν ἐν τῇ πρὸς Αἴγισθον μάχῃ, καὶ ἐφήψατο τοῦ ξίφους. Δικαίως γὰρ Ὀρέστης ἠμύνατο.

v. 945. ὀλέθριον πνέουσα] Τὸ ἑξῆς· ἔμολεν ὀλέθριον πνέουσα.

v. 946. τάπερ] ἀντὶ τοῦ καθάπερ.

v. 947. δολίαν] τὴν Κλυταιμνήστραν, τὴν δολίως βλάπτουσαν καὶ ἐπὶ πολὺν χρόνον τὸν οἶκον ἐποίχεται ἡ δίκη. Ἐπεξῆλθε τὴν δίκην βλαπτομένην ἐκ πολλοῦ Ὀρέστης.

v. 950. κρατεῖται] συμβάλλεται οὖν τὸ θεῖον τοῖς μὴ ὑπουργοῦσι τοῖς κακοῖς.

v. 952. οὐρανοῦχον ἀρχὰν] τοὺς θεούς, ἢ τὸν Δία.

v. 954. ψάλιον οἴκων] χαλινόν.

v. 957. παντελὴς χρόνος] ὁ πάντα τελῶν χρόνος, τὰ πρόθυρα τῶν οἴκων ἀλλάξει ἀπὸ κατηφείας εἰς λαμπρότητα. ἀμείψεται] ἀλλαγήσεται· οὐχ ὁμοίως ἔσται τοῖς πρώην ἐν τῷ οἴκῳ ἡμῶν.

v. 960. ἐλατήριον] τὸ ἐλαῦνον τοὺς ἀσεβεῖς· ἢ τὸ ἀπελαθῆναι ὀφεῖλον· ἐλατήριον δὲ τὸ καθαρτικὸν φάρμακον.

v. 961. εὐπροσώπῳ κοίτᾳ] ἡ δὲ τύχη νῦν ἐν εὐόπτῳ κοίτῃ, τοῦτ' ἔστιν ἐν ἀγαθῇ καταστάσει πρὸς τὸ

ἰδεῖν τὰ νῦν γεγονότα καὶ ἑτέρων λεγόντων ἀκοῦσαι. Λείπει τὸ ἐστί.

v. 963. μετοικοδόμων] οἱ νῦν τοὺς δόμους οἰκοῦντες πεσοῦνται εἰς τὸ ἔμπαλιν τῆς πρώτης τύχης. Τοῦτο δὲ ἀπὸ τῶν κύβων μετήγαγεν.

v. 965. ἴδεσθε χώρας] Ἀνοίγεται ἡ σκηνὴ καὶ ἐπὶ ἐγκυκλήματος ὁρᾶται τὰ σώματα· ἃ λέγει διπλῆν τυραννίδα.

v. 970. ξυνώμοσαν] θάνατον τῷ πατρί.

v. 973. τὸ μηχάνημα] τὸν πέπλον.

v. 975. ἐκτείνατ' αὐτὸν] πρὸς τὸν χορόν.

v. 979. παρῇ μοι] ἡ μοι ἀντωνυμία τὴν οἰκειότητα δηλοῖ. ἐν δίκῃ] ἐν τῇ κρίσει τῶν Ἐρινύων.

v. 981. Αἰγίσθου γὰρ οὐ λέγω] Αἰγίσθου γὰρ οὐ λέγω μόρον, μητρὸς δέ, ἥτις ἐπὶ ἀνδρὶ τοῦτο μήσατο στύγος.

v. 984. βάρος] τὸ βάρος φίλον πρώην.

v. 987. σήπειν θίγουσ' ἄν] ὑπερβολή· ὅτι καὶ τὸν μὴ δηχθέντα ἀλλὰ μόνον ἁψάμενον σήπει.

v. 989. κἂν τύχω] ἀντὶ τοῦ ἐπιτύχω εὐθίκτως κακολογήσας.

v. 990. ἄγρευμα] δίκτυον.

v. 991. δρύτης κατασκήνωμα] παραπέτασμα ὅρους.

v. 992. ποδιστῆρας] τοὺς πλέον τῶν ποδῶν καθήκοντας.

v. 994. ἀπαιόλημα] ἀπάτημα.

v. 1001. μίμνοντι] τῷ τοιαῦτα πράξαντι χρόνῳ πάθος ἀνθεῖ.

v. 1004. Φόνου δὲ κηκὶς] τοῦ αἵματος.

v. 1005. πολλὰς βαφὰς] ὡς πολυτελοῦς ὄντος τοῦ ἱματίου καὶ ἠφανισμένου τῷ αἵματι.

v. 1011. διὰ πάντα] ἡ διὰ πρὸς τὸ ἀμείβεται. ἄτιμος] ἀτιμώρητος.

v. 1014. ἔπη τελεῖ] εἰς τί ἀποβαίνει τὰ κατ' ἐμέ.

v. 1017. δύσαρκτοι] δυσχερῶς ἀρχόμενοι καὶ πειθόμενοι.

v. 1021. πατροκτόνον] τὴν μητέρα.

v. 1022. πλειστηρίζομαι] καυχῶμαι.

v. 1023. Λοξίαν χρήσαντα] καὶ τὰς ἐπιθυμίας τῆς τόλμης Φημὶ τὸν Ἀπόλλωνα χρῆσαί μοι.

v. 1026. προσίξεται] τοσαύτη γάρ ἐστιν, ὡς μηδὲ τοξότην ἐφικέσθαι τοῦ μήκους.

v. 1030. πυρός τε φέγγος] τὸ ἐν Παρνασσῷ.

v. 1057. καιρίοις] ἐγκαίροις εὐτυχίαις.

v. 1060. γονίας] γονίας ἄνεμος ὅταν ἐξ εὐδίας κινηθῇ χαλεπὸν πνεῦμα.

τὰ τοῦ δράματος πρόσωπα· πυθιὰς προφῆτις· ἀπόλλων· ὀρέστης· κλυταιμνήστρας εἴδωλον· χορὸς εὐμενίδων· ἀθηνᾶ· πρόπομποι·

SCHOLIA IN EUMENIDES.

ὙΠΟΘΕΣΙΣ ΤΗΣ ΤΟΥ ΑΙΣΧΥΛΟΥ ΤΡΑΓΩΙΔΙΑΣ Ἡ ἘΠΙΓΡΑΦΕΤΑΙ ΕΥΜΕΝΙΔΕΣ.

Ὀρέστης ἐν Δελφοῖς περιεχόμενος ὑπὸ τῶν Ἐρινύων βουλῇ Ἀπόλλωνος παρεγένετο εἰς Ἀθήνας, εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς· ἧς βουλῇ νικήσας κατῆλθεν εἰς Ἄργος. Τὰς δὲ Ἐρινύας πραΰνας προσηγόρευσεν Εὐμενίδας. Παρ' οὐδετέρῳ *) κεῖται ἡ μυθοποιΐα.

v. 1. πρεσβεύω] A. προτιμῶ.

πρῶτον μὲν εὐχῇ] Γ. Ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου καὶ ἑξῆς ἐκ συνεχοῦς διπλῆς. Οἱ δὲ στίχοι τρίμετροι ἀκατάληκτοι ρλέ. Μετὰ δὲ τὸν ρις΄ τὸν ριη΄, τὸν ρκ΄, τὸν ρηβ΄ κώλου τμήματα δ΄, ἃ μονόμετρά ἐστι βραχυκατάληκτα. Μετὰ δὲ τὸν ρκδ΄ ἕτερα β΄ κῶλα· ὧν τὸ ἓν δίμετρον βραχυκατάληκτον· τὸ δὲ

*) Hic omiſſa ſunt Sophoclis et Euripidis nomina, quorum apud neutrum hanc fabulam reperiri Scholiaſtes ſignificat.

ἕτερον ἐφθημιμερὲς, ἐκ τριβραχέων. Εἰ δὲ τροχαϊκὰ τὰ κῶλα ταῦτα εἴποις, οὐκ ἂν ἁμάρτοις. Ὁ δὲ τελευταῖος·

Ἕπου μάραινε δευτέροις διώγμασιν.

v. 2. τὴν πρωτόμαντιν Γαῖαν] A. Πίνδαρός φησι πρὸς βίαν κρατῆσαι Πυθοῦς τὸν Ἀπόλλωνα· διὸ καὶ ταρταρῶσαι ἐζήτει αὐτὸν ἡ Γῆ *).

v. 3. τὸ μητρὸς] ἢ τῆς κοινῆς μητρὸς πάντων, ἢ τῆς Θέμιδος.

v. 5. λάχει] κλήρῳ.

v. 7. γενέθλιον δόσιν] ἀντὶ τοῦ ὀπτήριον θεασαμένη τὸν τῆς ἀδελφῆς ἑαυτῆς Λητοῦς παῖδα δέδωκε συγγενικὴν δόσιν.

v. 8. ὄνομ' ἔχει] ἀπόδειξις αὕτη τῆς δωρεᾶς οὐκ ἀχάριστος.

v. 9. Δήλιαν τε χοιράδα] τὴν Κύνθον. Διὰ δὲ τοῦ χοιράδα σχεδὸν τὴν αἰτίαν φησὶ δι' ἣν ἀπέλιπεν Ἀπόλλων, ἐκκλίνων τὸ εὐτελὲς τοῦ χωρίου. Ἄλλως, Δηλίαν τε χοιράδα, τὴν στρογγύλην.

v. 11. ἐς τήνδε γαῖαν] χαριζόμενος Ἀθηναίοις καταχθῆναί φησιν ἐκεῖσε Ἀπόλλωνα κἀκεῖθεν τὴν περιπομπὴν αὐτῷ εἶναι. Ὁ δὲ Πίνδαρος ἐκ Τανάγρας τῆς Βοιωτίας.

v. 13. Παῖδες Ἡφαίστου] οἱ Ἀθηναῖοι. Θησεὺς γὰρ τὴν ὁδὸν ἐκάθηρε τῶν λῃστῶν· καὶ ὅταν πέμπωσιν εἰς Δελφοὺς θεωρίδα προέρχονται ἔχοντες πελέκεις ὡς διημερώσοντες τὴν γῆν.

v. 15. τιμαλφεῖ] B. ἢν τιμᾷ.

v. 16. Δελφός τε] A. Ἐπαφρόδιτος ἐν ὑπομνήματι Καλλιμάχου αἰτίων β' φησί· Μελανθοῦς τῆς Δευκαλίωνος καὶ Κηφισσοῦ τοῦ ποταμοῦ γίνεται Μέλαινα τοὔνομα. Μελαίνης δὲ καὶ Ποσειδῶνος Δελφός, ἀφ' οὗ οἱ Δελφοί, ὅς ἐστι τῆς χώρας ἄναξ καὶ κυβερνήτης.

---

*) Quae hic in Edd. ſequuntur Ἐπαφρόδιτος etc. de Stanleji ſententia transtuli ad ſchol. in v. 16.

v. 17. κτίσας] ποιήσας. Ἰδίωμα δὲ τοῦτο Αἰσχύλου.

v. 20. τούτους ἐν εὐχαῖς] B. τοῦτο φησίν, ἐπεὶ δραματική ἐστιν ἡ ποίησις· εἰ δὲ ἦν διηγηματική, εἶπεν ἂν ὁ ποιητής· ταῦτα εἰποῦσα εἰς θρόνον ἐκαθέζετο.

v. 21. Παλλὰς] A.

χ' ἡ Παλλὰς Δελφοί νιν ὅθ' ἱδρύοντο προναίην.

Καλλίμαχος.

v. 22. κωρυκὶς πέτρα] ὁ Παρνασσός.

κωρυκὶς πέτρα] B. πέτραν φησὶ κοίλην τὸν Παρνασσόν, διὰ τὸ εἶναι δὲ κοῖλον ὄρος λέγεται ἐκεῖ ἀναστρέφεσθαι τοὺς δαίμονας καὶ διὰ τὸ ἄοικον εἶναι.

v. 24. Βρόμιος δ' ἔχει τὸν χῶρον] διὸ εἶπε, δαιμόνων ἀναστροφή.

v. 26. λαγὼ δίκην] A. λαγωοῦ δίκῃ καταπτήξαντι καὶ μὴ ἀνθισταμένῳ.

λαγὼ δίκην] B. ἤγουν λαγοὶ δειλοί εἰσιν, φησὶν οὖν αὐτὸν λαγωοῦ δίκην ὑποπτήξοντα μὴ ἀντιστῆναι τοῖς πολεμοῖσιν αὐτῷ.

Πενθεῖ] A. Νῦν φησὶν ἐν Παρνασσῷ εἶναι τὰ κατὰ Πενθέα· ἐν δὲ ταῖς Ξαντρίαις ἐν Κιθαιρῶνι.

v. 27. Ποσειδῶνος κράτος] τὴν Πυθὼ τὴν πρώην Ποσειδῶνος, ὑπὲρ ἧς Καλαύρειαν ἐδέξατο. Καλλίμαχος·

Μέσφα Καλαυρείης ἦλθεν ἐς ἀντίδοσιν.

Διάλειμμα π.

v. 28. καλοῦσα] καλοῦσα φροιμιάζομαι.

v. 32. ἴτων] ἴτωσαν. Ἀττικώτερον.

v. 34. ἢ δεινὰ λέξαι] B. τὰ δεινά φησιν ἐξέπεμψέ με τοῦ μαντείου, ἰδοῦσα γὰρ Ὀρέστην ἐπὶ τοῦ βωμοῦ καὶ τὰς Ἐριννῦς κοιμωμένας, ἔξειμι τεταραγμένη.

v. 35. πάλιν μ' ἔπεμψεν] πρὸ ὀλίγου ἔρημος ἡ σκηνὴ γίνεται. Οὔτε γὰρ ὁ χορός πω πάρεστιν, ἥτε ἱέρεια εἰς τὸν ναόν. Γεισῆλθεν

ad vs. 29 τοῦτό φησιν ἐπεὶ δραματική ἐστιν ἡ ποίησις· εἰ δὲ ἦν διηγηματική εἶπεν ἂν ὁ ποιητής· ταῦτα εἰποῦσα εἰς θρόνον ἐκαθέζετο:

s. Rhein. Mus. 1848. p. 563 will ein † gesehen haben.

v. 36. σωκεῖν] διὰ τὸ γῆρας. ἀκταίνειν] κουφίζειν. Σημαίνει δὲ καὶ τὸ γαυριᾶν καὶ ἀτάκτως πηδᾶν.

v. 38. δείσασα γὰρ] τὰ δεινὰ δείσασα ἐξέπεμψέ με τοῦ μαντείου. Ἰδοῦσα γὰρ Ὀρέστην ἐπὶ τοῦ βωμοῦ καὶ τὰς Ἐρινύας κοιμωμένας, ἔξεισι τεταραγμένη τετραποδηδὸν ἐκ τοῦ νεώ.

v. 40. ὁρῶ δ' ἐπ' ὀμφαλῷ μὲν] B. Ἐμφατικῶς παρίστησι τὸν νεωστὶ αὐθεντικότα οἱονεὶ τὸν φονεύσαντα, αὐθέντης γὰρ λέγεται ὁ φονευτής.

v. 41. προστρόπαιον] A. ἱκέτην. B. ἱκετεύοντα.

v. 42. στάζοντα χεῖρας] A. ἐμφατικῶς· τοῦτο νεωστὶ αὐθεντηκότα παρίστησι. νεοσπαδὲς] νεωστὶ ἐσπασμένον.

v. 45. ἀργῆτι μάλλῳ] Εἰώθασιν ὅταν ἀσαφές τι εἴπωσιν οἱ ποιηταὶ ἐπεκδιδάσκειν αὐτό. Ὅμηρος (Iliad. E. 586.)·

Κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους.

ἀργῆτι] B. λευκῷ.

v. 47. εὕδει γυναικῶν] A. ἐπὶ σκηνῆς φαίνεται τὸ μαντεῖον. Ἡ δὲ προφῆτις πρόεισιν ἐπικλήσεις, ὡς ἔθος, τῶν θεῶν ποιησομένη· ἀπροόπτως τε ἰδοῦσα τὰς Ἐρινύας κύκλῳ τοῦ Ὀρέστου καθευδούσας πάντα μηνύει τοῖς θεαταῖς· οὐχ ὡς διηγουμένη τὰ ὑπὸ τὴν σκηνήν. {τοῦτο γὰρ νεωτερικὸν Εὐριπίδειον} ὑπὸ δὲ τῆς ἐκπλήξεως τὰ θορυβήσαντα αὐτὴν καταμηνύουσα φιλοτέχνως· τὰ δὲ πρῶτα εὐχαὶ καὶ ἐπικλήσεις θεῶν, ἵνα ἀπὸ τῶν εὐφημοτέρων ἄρξηται ἡ προφῆτις. Οἰκονομικῶς δέ, οὐκ ἐν ἀρχῇ διώκεται Ὀρέστης, ἀλλὰ τοῦτο ἐν μέσῳ τοῦ δράματος κατατάττει, ταμιευόμενος τὰ ἀκμαιότατα ἐν μέσῳ. ἐν θρόνοισιν ἥμενος] τῶν Ἐρινύων.

εὕδει] καθεύδει.

v. 48. ἀλλὰ Γοργόνας λέγω] A. πρὸς τὸ φοβερὸν τῆς ὄψεως.

ἀλλὰ Γοργόνας] B. πρὸς τὸ φοβερὸν τῆς ὄψεως φησὶ γοργείοσι· καὶ γὰρ τὰς Γοργόνας λέγουσι δείματα φέρειν τοῖς ἀνθρώποις, τὸ δὲ ὅλον εἶδον φησὶν αὐτὰς ἐν γραφῇ πτερωτάς, ἀλλ' οὐχ ἁρπακτικάς.

v. 49. οὐδ' αὖτε Γοργείοισιν] A. ἀλλ' οὐδ' Ἁρπυίας αὐτὰς λέγω· εἶδον γὰρ αὐτὰς ἐν γραφῇ πτερωτάς.

v. 52. βδελύκτροποι] ἅς τις βδελύξαιτο καὶ ἐντραπείη μισήσας· σκυθρωποί.

βδελύκτροποι] B. ἅς ἰδών τις, φησί, βδελύξαιτο καὶ τραπείη μισήσας αὐτάς, ὡς δυσειδεῖς· ἀπὸ γὰρ ὀμμάτων αὐτῶν λείβουσι σταλαγμὸν αἱματηρόν.

v. 54. δυσφιλῆ] A. οἷον αἱματηράν.

v. 55. καὶ κόσμος] ὃν ἔχουσι παρακείμενον ἐαι ταῖς.

v. 57. τὸ φῦλον] οὐ δήποτε τοιοῦτον γένος εἶδον.

τὸ φῦλον] B. τὸ γένος, οὐδέποτε φησὶ τοιοῦτον γένος εἶδον, μηδὲ ἴδοιμι.

τῆσδ' ὁμιλίας] A. συνηθείας, συνουσίας, συστήματος.

v. 59. τρέφουσ' ἀνατεὶ] τὸ τῆς ἀνατροφῆς.

τρέφουσ' ἀνατεὶ] B. ἄλλος ἄτης.

v. 60. τἀντεῦθεν] B. ὥστε, φησίν, εἰ θεραπείας χρεία αὐτῷ μελέσθω τῷ Ἀπόλλωνι, καὶ γὰρ εἰ θεραπείας χρεία, αὐτός ἐστιν ἰατρός, εἰ δὲ μαντείας, πάλιν αὐτός ἐστι τερασκόπος.

v. 62. ἰατρόμαντις] A. ὥστε εἰ θεραπείας χρεία, ἰατρός ἐστιν· εἴτε μαντείας, τερατοσκόπος· εἴτε καθαρμῶν καθάρσιος.

v. 63. καὶ τοῖσιν ἄλλοις] πόσῳ μᾶλλον τῶν ἰδίων;

v. 64. οὔτοι προδώσω] ἐπιφανεὶς Ἀπόλλων συμβουλεύει Ὀρέστῃ καταλιπεῖν μὲν τὸ μαντεῖον, φυγεῖν δὲ εἰς Ἀθήνας. Καὶ δευτέρα δὲ γίνεται φαντασία. Στραφέντα γὰρ μηχανήματα ἔνδηλα ποιεῖ τὰ κατὰ τὸ μαντεῖον ὡς ἔχει. Καὶ γίνεται ὄψις τραγική· τὸ μὲν ξίφος ἡμαγμένον ἔτι κατέχων Ὀρέστης· αἱ δὲ κύκλῳ φρουροῦσαι αὐτόν. Ἄλλως. οὔτοι προδώσω] πρὸς Ὀρέστην φησίν· ἀπέστη γὰρ ἡ ἱέρεια.

v. 66. οὐ γενήσομαι πέπων] γράφεται πρέπων.

v. 69. γραῖαι, παλαιαὶ παῖδες] παλαιαὶ γὰρ παῖδες διὰ τὸ νέον· ἢ ἐπειδὴ ἄγαμοι καὶ παρθένοι εἰσί. Τὸ ἀλλόκοτον δὲ τῆς φύσεως διὰ τῶν ἐναντίων τραγικώτερον διασύρει.

v. 71. κακῶν δ' ἕκατι] ἕνεκα τοῦ κακοποιεῖν.

v. 75. ἐλῶσι] ἀντὶ τοῦ ἐλάσωσι.

v. 78. βουκολούμενος] περιέπων.

v. 80. ἄγκαθεν] ταῖς ἀγκάλαις.

v. 85. μὴ ἀδικεῖν] B. συνίζησις, ὡσαύτως δὲ καὶ τὸ μὴ ἀμελεῖν.

v. 86. ἐπίστα] ἐπίστασαι.

v. 87. σθένος δὲ] τὸ δὲ σὸν σθένος ἀσφαλές ἐστιν εἰς τὸ εὖ ποιεῖν.

v. 90. ἐπώνυμος πομπαῖος] ὅδιος γὰρ ὁ θεός.

v. 91. ποιμαίνων] φυλάσσων.

v. 92. σέβει τοι Ζεὺς] τὸ τῶν ἱκετῶν σέβισμα καὶ δέημα οὐ μόνον τιμᾷ ὁ Ζεύς, ἀλλὰ καὶ σέβει, ὁρῶν αὐτὸ ὁρμώμενον προσηκούσῃ τύχῃ.

σέβει τοι] B. τοῦτο διὰ μέσου.

v. 95. ἐγὼ δ' ὑφ' ὑμῶν] A. Λείπει εἰμί. Ὑπὲρ ὧν ἐφόνευσα Ἀγαμέμνονα ἀπώσασθε. Καὶ οἱ ἐμὲ φονεύσαντες οὐκ ἀτιμάζονται. Παιδευτικὰ δὲ ταῦτα. Τὸ γὰρ τοὺς ἐναγεῖς καὶ μετὰ θάνατον ὑπὸ νεκρῶν ἀτιμάζεσθαι, ἱκανῶς ἔχεται παιδεύσεως. Ὁ μὲν Ὀρέστης φυγῇ οἴχεται Ἀθήναζε πυθόμενος· αἱ δὲ Ἐριννύες μόναι καθεύδουσιν ὑπὸ πόνου ἴσως καὶ Ἀπόλλωνος· τοῦ τραγῳδοποιοῦ τοῦτο ἐπιτηδεύσαντος, ἵνα διὰ τούτου ἐμφάνῃ τὸ ἄγριον αὐτῶν καὶ χαλεπόν. Πῶς δὲ διεγείρονται; οὐχ ὑπὸ Ἀπόλλωνος, οὐδὲ ὑφ' ἑαυτῶν, ἀλλ' ἐν ἄλλῃ φαντασίᾳ. Ἐφίσταται γὰρ τὸ εἴδωλον Κλυταιμνήστρας καὶ μεμψάμενον ἀνεγείρει. Ὥστε ποικίλαις φαντασίαις πεπύκνωται.

v. 98. ἀλῶμαι] B. πλανῶμαι.

v. 99. ἔχω μεγίστην] A. καὶ σφαγεῖσα αἰτῶμαι ὑπ' αὐτῶν τῶν περὶ Ἀγαμέμνονα.

ἔχω μεγίστην αἰτίαν] B. σφαγείση φησὶν αἰτιῶμαι παρ' ἐκείνων, ὡς ὑπὸ τοῦ Ὀρέστου τοῦ ἡμετέρου υἱοῦ ἀνῃρέθην.

v. 101. μηνίεται] ὀργίζεται.

v. 104. εὕδουσα γὰρ φρὴν] A. ἐν τῷ καθεύδειν ὁ νοῦς ἀκριβέστερον ὁρᾷ, μὴ παραπλανώμενος τῇ θέᾳ. Τραχυκώτερον δὲ τὸ εἴδωλον Κλυταιμνήστρας σώζει τὴν σφαγήν.

v. 105. ἐν ἡμέρᾳ δὲ μοῖρα]. Ἡ τῆς φρενὸς μοῖρα οὐ προορᾷ ἐν ἡμέρᾳ.

v. 107. νηφάλια] οἶνος γὰρ οὐ σπένδεται Ἐριννύσιν.

v. 109. ἔθυον ὥραν] ὥραν ἐν ᾗ οὐδεὶς τῶν θεῶν κοινωνεῖ τῆς θυσίας ὑμῖν. Ἐν γὰρ τῷ μεσονυκτίῳ μόναις Ἐριννύσιν ἀπάρχονται.

οὐδενὸς κοινὴν θεῶν] ὅτι ταύταις μόναις ἐν νυκτὶ θύουσιν.

v. 110. ὁρῶ πατούμενα] B. ἀνατετραμμένα.

v. 111. ὁ δ' ἐξαλύξας οἴχεται νεβροῦ δίκην] A. διὰ τὸ πεφευγέναι ἐκ τοῦ νεώ.

v. 112. ἀρκυσμάτων] B. δικτύων.

v. 113. ἐγκατιλλώψας μέγα] A. χλευάσας. Διὰ δὲ τούτων ἐρεθίζει αὐτάς.

v. 117. μυγμὸς] παρεπιγραφή. Τοῦτο δέ ἐστιν ὅ φησιν ὁ ποιητής· (Iliad. Δ. 20.)

— — αἱ δ' ἐπέμυξαν.

Τὸ δὲ ἐγείρεσθαι τὰς παρειμένας ὕπνῳ, οὐ πιθανόν. Κατὰ βραχὺ οὖν ἐκ προσβάσεως τὴν ἔγερσιν ποιήσονται.

v. 120. Φονεὺς δ' Ὀρέστης] B. ὁ μὲν Ὀρέστης, φησίν, οἴχεται Ἀθήναζε πυθόμενος. Αἱ δὲ Ἐριννύες μόναι καθεύδουσιν ὑπὸ πόνου ἴσως καὶ Ἀπόλλωνος, τοῦ τραγῳδοποιοῦ τοῦτο ἐπιτηδεύσαντος, ἵνα διὰ τούτου ἐμφανὲς γένηται τὸ ἄγριον αὐτῶν καὶ χαλεπόν.

v. 121. ὤζεις] Ὡς παρὰ τὸ αἶ αἶ αἰάζειν· οὕτω παρὰ τὸ ὢ ὢ ὤζειν.

v. 122. τί σοι] τί οὖν μέλλεις τὸ σὸν ἔργον ἀνύειν;

v. 123. συνωμόται] συνωμοσίαν ποιήσαντες κατεκοίμισαν ὑμᾶς.

v. 124. ἐξεκήρανεν] παρείλοντο.

v. 125. λάβε, λάβε] ὀνειροπολοῦσα διώκειν Ὀρέστην τοῦτό φησιν.

v. 126. κλαγγαίνεις] B. βοᾷς.

v. 130. ἄλγησον ἧπαρ] οὕτως ἄλγησον ὡς μαστιζόμενος.

v. 131. ἀντίκεντρα] A. ἴσα μαστίγων.

v. 132. ἐπουρίσασα] ἐφορμήσασα τῷ Ὀρέστῃ. Οἰκεῖον δὲ τῷ πνεύματι τὸ ἐπουρίσασα.

v. 133. κατισχναίνουσα] ἐκλεπτύνουσα, πυρετῷ ἀναλίσκουσα, ὡς δοκεῖν ἀτμοὺς ἀνιέναι ἀπὸ τῆς γαστρὸς αὐτοῦ.

v. 135. ἔγειρ' ἔγειρε] ἀναστήσει αὐτὰς οὐκ ἀθρόως, μιμούμενος ἐμφατικῶς τὴν ἀλήθειαν. Ἀλλ' ἐγείρεταί τις πρώτη, ὥστε μὴ ἀθρόως τὸν χορὸν φθέγξασθαι.

ἔγειρ' ἔγειρε] Γ. ὁ παρὼν χορὸς συνέστηκεν ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σποράδην κειμένων ιβ'. Κώλων δὴ ἀντισπαστικῶν μονομέτρων καὶ διμέτρων καὶ τριμέτρων καταληκτικῶν καὶ ἀκαταλήκτων καὶ βραχυκαταλήκτων κθ'. Ὧν τελευταῖος.

Μιάστορ' ἐκείνου πάσσεται.

v. 137. ματᾷ] A. μάταιον γίνεται.

v. 139. ἦ πολλὰ] κομματικῶς ἕκαστον κατ' ἰδίαν προενεκτέον. Αἱ γὰρ διακοπαὶ πρόσφοροι τοῖς πάθεσιν.

v. 140. ἐπάθομεν] λείπει δεινά.

v. 141. ἄφερτον] ἀφόρητον κακὸν ἐπάθομεν.

v. 145. καθιππάσω] κατεπολέμησας.

v. 147. τοκεῦσιν πικρὸν] B. συλληπτικῶς χρὴ λέγεσθαι τὸν μητραλοίαν.

v. 151. ἔτυψεν] A. ὡς ἡνίοχος ἔτυψέ με.

v. 153. λοβὸν] λοβὸς μέρος τοῦ ἥπατος.

v. 154. μαστίκτορος] λείπει τὸ ὡς.

v. 156. τὸ περιβαρὺ] οὐ τὸ τυχὸν, ἀλλὰ περισσῶς βαρύ.

κρύος ἔχειν] ἡμᾶς φησι.

v. 158. τὸ πᾶν δίκα πλέον] παρὰ τὸ δίκαιον τὸ πᾶν ἔχοντες.

v. 159. θρόνον] τὸν θρόνον, οὗ Ὀρέστης καθῆτο, πάρεστιν ὁρᾷν φονολειβῆ ἀπὸ ποδῶν ἕως κεφαλῆς ὅλον. Τὸ δὲ γᾶς ὀμφαλὸν, ἀντὶ τοῦ, τὸ ἐν Πυθοῖ. Διὰ δὲ τούτων ἀποσκευάζειν δοκοῦσι τῆς ἐπικουρίας Ὀρέστου τὸν θεόν.

v. 162. προςδρακεῖν αἱμάτων] Λείπει ὁ καὶ ὥςτε τὸν ὀφθαλμὸν ἔχειν αἱμάτων ἄγος ἐπαίροντα.

v. 166. αὐτόκλητος] αὐτὸς αὑτὸν καλέσας ἐπὶ τῷ μιᾶναι τὸν ναόν.

v. 167. παρὰ νόμων] B. ἔξω νόμων. τίων] τιμῶν.

v. 168. παλαιγενεῖς] B. ἡμᾶς δηλονότι, ὅσον τὸ ἐπί σοὶ ἀναιρήσας καὶ φονεύσας.

φθίσας] A. ἡμᾶς, ὅσον ἐπί σοι.

v. 170. ὑπαί τε γᾶν] B. ὑπὸ γῆν.

v. 172. ποτιτρόπαιος] A. προστρόπαιος, ἀντὶ τοῦ ἐναγής.

ποτιτρόπαιος] B. προστρόπαιος, ἱκέτης.

ἕτερον ἐν κάρᾳ] A. ὢν ἐναγὴς ἐν τῷ κάρᾳ ἑαυτοῦ, ἕτερον μιάστορα λήψεται καὶ οἱ ἐξ αὐτοῦ δίκας ἡμῖν δώσουσιν.

v. 174. ἔξω κελεύω] Γ. Εἴςθεσις διπλῆς. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ξε΄. Ὧν τελευταῖος·

Αὐτοῦ φυλάσσων ἀναμένω τέλος δίκης.

v. 175. χωρεῖτε] B. Τὸ μὲν πρῶτον πρὸς πάσας ὁ λόγος, ἑξῆς δὲ πρὸς μίαν ἀποδίδοται.

v. 176. πτηνὸν ἀργηστὴν ὄφιν] A. τραγικώτερον ὄφιν εἶπε τὸ βέλος διὰ τὸν ἰόν· πτηνὸν δὲ διὰ τὸ ἐπτερῶ-

σθαι. Τὸ μὲν πρῶτον πρὸς πάσας ὁ λόγος, πρὸς μίαν δὲ ἑκάστην νῦν.

πτηνὸν] B. ταχύν. ἀργηστὴν] λευκόν. ὄφιν] βέλος.

v. 177. θώμιγγος] A. νευρᾶς.

v. 178. ἀνθρώπων ἀφρὸν] τὸ αἷμα μέλανα ἀφρὸν εἶπεν. Οὐ δήπου τὸ ἔμφυτον αὐτῶν, {ἀναίμονες γάρ εἰσιν οἱ θεοὶ} ἀλλὰ τὸ ἀπ' ἀνθρώπων ἠθροισμένον· ὡς τούτῳ τροφῇ χρωμένων αὐτῶν.

v. 179. θρόμβους] τὰς πήξεις τοῦ αἵματος.

v. 181. καρανιστῆρες] αἱ ἀποκεφαλίζουσαι.

v. 183. χλοῦνις] ἡ ἀκμαία ἀποκοπή, παρὰ τὴν χλόην, ἢ ἐπεὶ χλοῦνις ὁ σῦς κάπρος δὲ συνεχῶς εὐνουχίζονται· διὰ τοῦτο τὴν ἀποκοπὴν συϊκὴν εἶπεν, οὐκ ἀνθρωπίνην.

ἀκρωνία] ἐκτομὴ μορίων.

v. 184. λευσμὸν] κακῶν ἄθροισις, ἢ λιθοβολία. Ἡρωδιανὸς δὲ τὸ σύστημα καὶ ἄθροισμα.

v. 185. ὑπὸ ῥάχιν] ἔνθα ἀνασκολοπίζονται.

v. 186. ἑορτῆς] εἰρωνικῶς, ἀντὶ τοῦ διατριβῆς.

v. 187. τρόπος μορφῆς] ἀντὶ τοῦ διὰ τῆς μορφῆς ὑμῶν ἡ κακία τῶν τρόπων ὑμῶν διαδείκνυται.

v. 190. τρίβεσθαι μύσος] προστρίβεσθαι.

v. 191. ἄνευ βοτῆρος] μόναι, ὡς ἀνήμερα θηρία.

v. 194. αὐτὸς σὺ τούτων] οὐχ ἐπικοινωνεῖς τῇ αἰτίᾳ, ἀλλὰ τοῦ παντὸς σὺ αἴτιος.

v. 198. ἔχρησα] ὥστε δέξασθαι τὸν φονέα.

v. 201. τὰς προπομπούς] ἠθικεύσαντο, τὰς διωκτρίας προπομποὺς εἰποῦσαι.

τὰς προπόμπους] B. Τοῦτο κατ' ἀκκισμὸν εἴρηται, ὅ φασιν ἰδίωμα, τὰς διωκτρίας προπομποὺς εἰποῦσαι· ἀκκίζειν γάρ φασι τὸ τὰς γυναῖκας ἰδιωματεύεσθαι καὶ σεμνολογεῖν.

v. 202. μολεῖν] B. ὑμᾶς δηλονότι.

v. 206. τί γάρ; γυναικὸς] A. τί προστέταχθε ποιεῖν παρὰ ἀνδροφόνου γυναικός;

v. 207. αὐθέντης] ὁ τοῦ Ἀγαμέμνονος φόνος οὐκ ἦν αὐθέντης, ὅ ἐστι, μιαρός].

v. 218. ἡσυχαιτέραν] B. δολιωτέραν.

v. 224. λέγῃ] B. ὀνομάζῃ.

v. 225. αἷμα μητρῷον] A. ἡ δίκη τοῦ μητρώου αἵματος.

v. 229. μῆνις] μή σοι τι θεῶν μήνιμα γένωμαι.

v. 232. προστροπαῖον] ἀκάθαρτον.

v. 233. προστετριμμένον] κατ' αὐτῶν ἐπελθόντα.

v. 234. ἄλλοισιν οἴκοις] ἄλλοις προστριψάμενον τὸ μῦσος.

v. 240. Φραδαῖς] ταῖς ἐννοίαις.

v. 241. τετραυματισμένον] ὡς αὐτόχρημα αἵματος ὄντος Ὀρέστου, καὶ μιαίνοντος τὴν γῆν, ἧς ἐφάψηται. Τὸ μὲν ἀπορρεῖν τὸ αἷμα παραδοξολογίας ἐστὶ τραγικῆς. Ὅρα δὲ μὴ ἐκβαίνῃ τὴν πίστιν, ὁ ἀπὸ Ἄργους εἰς Δελφοὺς ἥκων, εἶτα ἐκεῖθεν εἰς Ἀθήνας καὶ ἔτι αἷμα στάζων ἀπὸ τοῦ ξίφους. Φαντασία οὖν ἀμήχανος· ἀλλὰ καὶ συγκέχυται τῇ παραδοξολογίᾳ.

v. 243. ἀνδροκμῆσι] μεγαλοκμῆσιν

v. 244. σπλάγχνον] τὸ ἡμέτερον.

v. 245. ἀπτέροις] ὅτι μὴ πτερωτὰς εἰσήγαγεν αὐτάς.

v. 247. καταπτακὼς] καταπτήξας πρὸς τῷ ἀγάλματι.

v. 248. προσγελᾷ] προσσαίνει. B. θέλγει καὶ προσέρχεται.

v. 249. ὅρα, ὅρα] τὸ αὐτὸ πρόσωπόν ἐστι.

v. 252. ἀτίτας] ἀτιμώρητος.

v. 254. πλεχθεὶς θεᾶς] ἀνθ' ὧν ἡμῖν χρεωστεῖ, πρόσφυξ θέλει γενέσθαι τῆς θεοῦ.

v. 256. οὐ πάρεστιν] οὐ πάρεστιν αὐτῷ νικῆσαι ἡμᾶς.

v. 257. δυσαγκόμιστον] τὸ ἅπαξ χυθὲν αἷμα, δυσίατον.

v. 258. τὸ διερὸν] πᾶν διερὸν ἐκκεχυμένον εἰς τὴν γῆν, δυσαγκόμιστον. Τοιοῦτο οὖν καὶ τὸ αἷμα. Ἄλλως. Διερόν, τὸ βρέξαν τὴν γῆν.

v. 259. ῥοφεῖν] καταπίνειν.

v. 260. πέλανον] θρόμβον αἵματος.

v. 269. εὔθυνος] δικαστής.

v. 271. δελτογράφῳ] ἐφορᾷ δὲ πάντα, ἀναγραφόμενος αὐτὰ τῇ ἰδίᾳ δέλτῳ.

v. 272. ἐγώ, διδαχθεὶς] διδαχθεὶς πολλοὺς καθαρμούς. Ὅ ἐστι, τηλικαῦτα ἀψυχήσας, ἃ πολλῶν ἐδεήθη καθαρμῶν. Ἄλλως. Οἱ ἐναγεῖς οὔτε ἐν ἱερῷ προσήεσαν, οὔτε προσέβλεπον, οὐδὲ διελέγοντό τινι, καὶ παρ' Εὐριπίδῃ·

Τί σιγᾷς; μῶν φόνον τιν' εἰργάσω *);

Ἐπεὶ Ὀρέστης μέλλει διαλέγεσθαι, δοκῶν ἔτι ἐναγὴς εἶναι, Ἐγώ, φησι, διδαχθεὶς σὺν κακῷ τῷ ἐμαυτοῦ, καὶ οἷον διδασκάλοις χρησάμενος ταῖς ἐμαῖς συμφοραῖς, ἐπίσταμαι καὶ σιγᾶν καὶ λαλεῖν ὅπου δεῖ ἑκατέρου καιρὸν γινώσκων.

v. 276. βρίζει] κοιμᾶται.

v. 277. ἔκπλυτον] ἐκκεκαθαρμένον.

v. 281. ἀβλαβεῖ ξυνουσίᾳ] ἐβλάπτοντο γὰρ οἱ μυσαροὶ ξυντυγχάνοντες.

μυσαροῖς Pors. Adv. p. 160.

v. 286. αὐτόν τε] λείπει ἐμέ. καὶ τὸν Ἀργεῖον λεὼν] ὡς τότε συμμαχούντων Ἀργείων Ἀθηναίοις.

v. 289. Τρίτωνος] ὅτι διὰ τοῦτο οἴεται αὐτὴν Τριτογένειαν.

v. 290. τίθησιν ὀρθὸν] καταβάλλει γὰρ ἢ ὀρθοῖ.

v. 292. θρασὺς ταγοῦχος] ὡς θρασὺς ἡγεμών. Ἁρμόττουσα δὲ ἡ εὐχή· δεῖται γὰρ ἑδρανοῦς βοηθοῦ.

v. 294. ὅπως γένοιτο] τὸ ἑξῆς· ἔλθοι, ὅπως γένοιτο.

v. 298. ἀναίματον] ὁ μηδὲ αἷμα σχήσων ἐξ ἡμῶν, ἀλλὰ γενησόμενος σκιά· ῥοφήσομεν γάρ σου τὸ αἷμα· ἢ ἐναίματον, ἀντὶ τοῦ· ζῶντά σε νεκρὸν ποιήσομεν.

v. 299. οὐδ' ἀντιφωνεῖς] οὐκ ἀποκρίνῃ; ἢ ἀντὶ τοῦ· οὐδὲ ἀντιφωνήσεις μοι· ἀλλὰ καὶ βουλομένου λαλεῖν τὸ φθέγμα σου δεθήσεται.

v. 203.

---

*) Fragm. ex incerta tragoedia (ed. Beck CCI.)

v. 303. Ἄγε δὴ] ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ἀναπαιστικῶν ιε΄. Ὧν τὰ μέν ἐστι δίμετρα ἀκατάληκτα, τὰ δὲ καὶ ἤτοι ἐφθημιμερῆ, τὰ δὲ πενθημιμερῆ, τὰ δὲ μονόμετρα.

v. 304. Μοῦσαν στυγερὰν] A. ὡς ἐπὶ νεκρῷ.

v. 306. λάχη] τοὺς κλήρους ἡμῶν. Ἀπὸ κοινοῦ δὲ τὸ δεδόκηκε· δεδόκηκεν ἡμῖν λέξαι τίνα τρόπον τὰ κατ' ἀνθρώπους λάχη ἐφοδεύομεν.

v. 307. ἐπινωμᾷ στάσις] ἐπισκοπεῖ. Στάσις δὲ τὸ σύστημα.

v. 313. χεῖρας φονίας ἐπικρύπτει] τὸν φόνον κρύψαι θέλει.

v. 314. τοῖσι θανοῦσιν] τοῖς ἀναιρεθεῖσιν.

v. 317. μᾶτερ] ἐπεὶ ὑπὲρ τῆς μητρὸς Ὀρέστου ἀγωνίζονται, οἰκείως τὴν μητέρα ἑαυτῶν ὀνομάζουσι.

μᾶτερ ἅ μ' ἔτικτες] Γ. Ἡ μονοστροφικὴ αὕτη περίοδος κώλων ἐστὶ χοριαμβικῶν κδ΄. Ὧν τὰ μέν εἰσιν ἡμιόλια· τὰ δὲ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα· τὰ δὲ τρίμετρα. Ὧν τελευταῖον·

— μικτὸς αὔων βροτούς.

v. 318. καὶ δεδορκόσι] A. ζῶσι καὶ θανοῦσιν ἔκδικον.

v. 322. ματρώϊον ἅγνισμα] τὸν τῷ ἰδίῳ θανάτῳ ἀφαγνιοῦντα τὸν φόνον τῆς μητρός. Ἅγνισμα δέ τινες εὐφήμως τὸ μόλυσμα. ματρῷον] B. μητρώϊον· ἐστὶ δὲ συνίζησις.

v. 326. φρενοδαλὶς] παρακίνησις τῶν φρενῶν.

v. 327. ὕμνος ἐξ Ἐρινύων] Ἐπὶ Ὀρέστῃ δὲ μέλλοντι θύεσθαι, λεχθήσεται ὕμνος ἐξ ἡμῶν, ὡς ἐπὶ ἱερείῳ, παρακοπά, ἤγουν ὃς αὐτοῦ τὰς φρένας παρακόψει.

v. 328. δέσμιος φρενῶν] ὁ δεσμεύων αὐτοῦ τὰς φρένας. ἀφόρμικτος] οὐ γὰρ σὺν ὀργανικοῖς μουσικοῖς γίνεται οὗτος ὁ ὕμνος.

v. 329. αὔων βροτοὺς] ὁ ξηραίνων τοὺς βροτούς.

v. 330. διανταία] ἡ διαμπὰξ τιμωρουμένη.

v. 332. αὐτουργίαις] αὐτοφονίαις.

v. 334. τοῖς ὁμαρτεῖν] τούτοις ἡμᾶς ἀκολουθεῖν, ἕως ἀποθανῇ ὁ τοιοῦτος.

v. 335. θανὼν] Λείπει τὸ γίνεται· ἵνα ᾖ, οὐκ ἐλεύθερος γίνεται, ἀλλὰ πάλιν κολάζεται.

v. 337. ἐπὶ δὲ τῷ] ἐφύμνιον αὐτῷ χρῆται. Λέγεται δὲ καὶ μεσοφθέγμα.

v. 343. λάχη] γέρα.

γιγνομέναισι λάχη] Γ. ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων χοριαμβικῶν νβ΄. Ὧν τὰ μέν ἐστιν ἡμιόλια, τὰ δὲ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα· τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα. Ὧν τελευταῖον

Τάξιν γ' ἔχουσα καὶ δυςήλιον κνέφας.

ὃς μόνος ἰαμβικός ἐστι τρίμετρος.

v. 344. ἀθανάτων ἀπέχειν] Α. μὴ πλησιάζειν ἡμᾶς τοῖς θεοῖς.

v. 346. παλλεύκων] οὐδαμοῦ ὅπου ἑορτὴ καὶ ἀμπεχόνη καθαρὰ πάρειμι.

v. 349. ὅταν Ἄρης] ὅταν τις ἐχθρὸς συγγενὴς ὢν τὸν συγγενῆ φονεύσῃ.

v. 350. τίθασος] οἰκεῖος φίλος.

v. 351. ἐπὶ τὸν ὢ] διὰ μέσου τὸ ὤ.

v. 353. αἵματος νέου] διὰ τὸ νέον αἷμα τοῦ νεωστὶ εἰργασμένου.

v. 355. ἐμαῖσι λιταῖς] εὔχομαι τοῖς θεοῖς τελέσαι μου τὸ βούλημα καὶ μὴ εἰς μάχην μοι ἐλθεῖν.

v. 358. ἔθνος τόδε] τὸ τῶν φονέων.

v. 363. τανυδρόμοις] τοῖς τανυδρόμοις αὐτῶν κώλοις ἐπάγουσα τὰ σφαλερά μου κῶλα. Ἢ ἀπ' ἄλλης ἀρχῆς, καὶ τοῖς τανυδρόμοις γίνεται σφαλερὰ τὰ κῶλα, διὰ τὴν ἐπιοῦσαν αὐτοῖς ἄτην δύσφορον ὑπ' ἐμοῦ. Οἷον καὶ ταχύδρομοι οὐ δύνανταί με ἐκφυγεῖν.

v. 366. κατὰ γᾶν μινύθουσιν] καὶ τοὺς ὑψηλοὺς καθαιροῦμεν.

v. 369. πίπτων δ' οὐκ οἶδε] περιφρονῶν γὰρ οὐκ αἰσθάνεται τοῦ κακοῦ.

v. 370. κνέφας] σκότος φρενῶν. Τὸ μύσος κνέφας εἴρηκε.

v. 372. πολύστονος φάτις] κακὴ δὲ φήμη περὶ τοῦ οἴκου αὐτῆς λέγεται.

v. 373. εὐμήχανοι] λείπει τὸ ἐσμέν. Ἡμεῖς γὰρ εὐμήχανοί ἐσμεν, ἐπιτελεστικαὶ καὶ τῶν κακῶν μνήμονες.

v. 376. δυσπαρήγοροι] οὐ ταχέως παρηγορούμεναι ὑπὸ βροτῶν.

v. 378. λάχη θεῶν] ἀφωρισμένα τῶν θεῶν τῷ προσόντι αὐτοῖς σκότει. Ἄλλως. Μετερχόμεναι λάχη, ὑπὲρ οὗ τιμώμεθα ὑπὸ θεῶν.

v. 380. δυσοδοπαίπαλα] δυσπαράβατα καὶ τραχέα ζῶσι καὶ τοῖς θνήκουσι.

v. 385. τὰν μοιρόκραντον] τὸν ὑπὸ μοιρῶν καὶ θεῶν τετελεσμένον.

v. 386. ἐπὶ δέ μοι] ἔπεστιν.

v. 391. πρόσωθεν ἐξήκουσα] Ἐπὶ ὀχήματος ἔρχεται.

πρόσωθεν ἐξήκουσα] Γ. Εἴσθεσις διπλῆς· μονοστροφικῆς συνεχοῦς. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ϞΒ΄. Ὧν τελευταῖος·

Ὅρκον περῶντας μηδὲν ἔκδικον φρέσιν.

v. 392. ἀπὸ Σκαμάνδρου] Α. Μιτυληναῖοι ἐμάχοντο πρὸς Ἀθηναίους περὶ πόλεως Σιγείου· ἔδοξεν οὖν μονομαχίᾳ λῦσαι τὸν πόλεμον· καὶ ὑπὲρ μὲν Μιτυληναίων ἐπολέμει Πιττακὸς, ὑπὲρ δὲ Ἀθηναίων, Φρύνων. Ἡττηθέντος δὲ Φρύνωνος διελύθη τὰ τῆς μάχης. Ἔοικεν οὖν παρορμᾶν Ἀθηναίους ὁ Αἰσχύλος εἰς τὸ ἀντέχεσθαι πάλιν Σιγείου, λέγων τὴν θεὸν ἐκεῖθεν ἐληλυθέναι.

καταφθατουμένην] καταφθάνουσα.

v. 398. κόλπον αἰγίδος] ὡς ἀρμένῳ χρωμένη τῇ αἰγίδι.

v. 404. σπαρτῶν γένει] τῶν σπειρομένων.

v. 407. ἄμορφον] ἄμορφος οὖσα οὐ δυνήσῃ με ἐφ' οἷς εἶπον ἀντιψέξαι.

v. 410. αἰανῆ] σκοτεινά. Ἢ θρηνητικὰ καὶ αἰάζειν ποιοῦντα.

v. 412. ἐπωνύμους] τὰ ἐπώνυμα οἷς καλεῖσθε.

v. 417. ὅπου] ἐν τῷ ᾅδῃ.

v. 418. ἐπιῤῥοιζεῖ] ἐπιβοᾷς, ἐπιβάλλεις.

v. 420. ἄλλης ἀνάγκης] ἐν ἐρωτήσει· μὴ ἐξ ἀνάγκης τοῦτο πεποίηκε;

v. 422. δυοῖν παρόντοιν] ὑμῖν μὲν κατηγορεῖν· ἐκείνῳ δὲ ἀπολογεῖσθαι·

Μηδὲ δίκην δικάσῃς πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς.

Ἄλλως· δυοῖν, σοῦ καὶ Ὀρέστου.

v. 423. ἀλλ' ὅρκον οὐ δέξαιτ' ἂν] μὴ πρότεινε αὐτῷ ὅρκον, καὶ διὰ τοῦτο θέλε νικᾶν. Οὕτως, φησί, φανερόν ἐστι τὸ κατ' αὐτόν, ὡς μήτε αὐτὸν δύνασθαι ὀμόσαι, ὅτι οὐκ ἔστι τοιοῦτος, μήτε θέλειν ἡμᾶς ὅρκον αἰτῆσαι, εἰ δικαίως αὐτὸν κολάζομεν.

v. 426. ὅρκοις τὰ μὴ δίκαια] οὐκ ὀφείλει ὁ ἀδικῶν ὅρκῳ φεύγειν τὴν κατηγορίαν, ἐπιορκήσει γάρ.

v. 429. ἐπαξίων] ἀξίων οὐσῶν γονέων.

v. 432. ψόγον] ἀντὶ τοῦ ἔγκλημα.

v. 435. προσίκτωρ] ὃν τρόπον κἀκεῖνος προσεκάθητο τῷ ναῷ τοῦ Διὸς καθαρισθησόμενος. Πρῶτος γὰρ Ἰξίων φόνον ποιήσας, ἐκαθαρίσθη ὑπὸ Διός.

v. 436. ἀμείβου] ἀποκρίνου μοι τὸ εὐγνωστον.

v. 439. προστρόπαιος] ἐναγής.

v. 442. παλαμναῖον] φονέα.

v. 446. οἴκοισι] καὶ εἰς οἶκον εἰσῆλθον, καὶ ὕδατι μετέλαβον.

v. 447. Φροντίδα] τὴν τοῦ μύσους.

v. 450. ἁρμόστορα] διαιτάτορα, βασιλέα. αἱ διατάκτορα

v. 451. ξὺν ᾧ σὺ] διὰ τούτων φιλοποιεῖται τὴν θεόν.

v. 453. κελαινόφρων] δολιόφρων.

v. 454. ποικίλοις ἀγρεύμασι] τῷ πέπλῳ.

v. 455. λουτρῶν ἐξεμαρτύρει] ἐκήρυττε τὸν διὰ τῆς ἐπιχύσεως τῶν λουτρῶν γενόμενον αὐτῷ φόνον. Λέγεται γὰρ μετὰ τὸ φονεῦσαι γυμνὸν ἐξαγαγεῖν καὶ δεῖξαι τοῖς πολίταις.

v. 459. καὶ τῶνδε κοινῇ] πάντων. Τοῦτο δὲ πρὸς τό· (v. 420.)

Ἄλλης ἀνάγκης οὔτινος τρέων κότον.

v. 463. τάδ' αἰνέσω] τὰ κατὰ σὴν κρίσιν ἀποβαίνοντα, ὁποῖα ἂν ᾖ, ἐπαινέσω.

v. 464. εἴ τις οἴεται] εἴ τις οἴεται τὸ πρᾶγμα τόδε βροτὸς δικάζειν, μεῖζον ἢ κατὰ ἀνθρώπους οἴεται. Ἐμοὶ δὲ περὶ φόνων δικάζειν οὐχ ὅσιον.

v. 466. ὀξυμηνίτους δίκας] φόνους ἐφ' οἷς ταχέως μηνίσουσιν Ἐριννύες. αἱ ...

v. 467. κατηρτυκὼς] τέλειος τὴν ἡλικίαν. Τοῦτο δὲ ἀπὸ τῶν ζώων.

v. 468. ἀβλαβὴς δόμοις] διὰ τούτου ἐλπίδας αὐτῷ χρηστὰς ὑποτίθησιν.

v. 469. αἱροῦμαι πόλει] δέχομαι ἐν τῇ πόλει.

v. 470. οὐκ εὐπέμπελον] εὐπαραίτητον, εὐχερῆ, εὐάρεστον. Δυσάρεστοι φύσει εἰσὶν αὗται.

v. 471. τυχοῦσαι] ἀντὶ τοῦ τυχουσῶν.

v. 475. πέμπειν δὲ] πέμπειν αὐτὰς ἀμηνίτως, δυσχερές ἐστιν ἐμοί.

v. 476. ἐπέσκηψεν τόδε] ὡς σκηπτὸς ἐπῆλθεν.

v. 477. φόνων δικαστὰς ὁρκίων] οἷον ἐνόρκους δικαστὰς ἐμοὶ θήσω.

v. 478. εἰς ἅπαντ' ἐγὼ θήσω χρόνον] διετέλεσε γὰρ τὸ Ἀρειοπαγιτικὸν συνέδριον.

v. 479. ὑμεῖς δὲ μαρτύρια] ὑμεῖς δὲ ὅρκους αὐτῶν αἰτήσατε.

v. 481. τῶν ἐμῶν τὰ βέλτατα] τὰ βέλτιστα.

v. 483. ὅρκον περῶντας] ὅρκον διδόντας.

ἩΜΙΧ. v. 484. νῦν καταστροφαὶ] Ἀθηνᾶ ἀπῆλθεν εὐτρεπίσαι δικαστάς. Ὁ δὲ Ὀρέστης ἱκετεύων μένει. Αἱ δὲ Ἐρινύες φρουροῦσιν αὐτόν. Μέλος δὲ οἰκεῖον ᾄδουσι τῇ ἑαυτῶν προαιρέσει.

νῦν καταστροφαὶ] Γ. Ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ἰαμβικῶν οβ'. Ὧν τὰ μὲν ἐστιν ἡμιόλια· τὰ δὲ, δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα· τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα. Ὧν τελευταῖον·

Ὤλετ' ἄκλαυστος, ἄϊστος.

v. 488. ἤδη τόδ' ἔργον] Α. τὸ μητροκτονεῖν.

v. 493. βροτοσκόπων] τῶν τοὺς βροτοὺς σκοπούντων.

v. 494. μαινάδων] ἡμῶν, δηλονότι.

v. 496. πάντ' ἐφήσω μόρον] Οὐκέτι τινὰ μὲν ἔννομον ἡγήσομαι, μόρον, τινὰ δὲ οὔ· ἀλλὰ πάντα ἐφήσω μόρον, ὅπως τις βούλεται ἀναιρεῖν. Οὐ τιμωρήσω τοῖς ἀδικουμένοις, ἀλλὰ συγχωρήσω ἀλλήλους ἀναιρεῖν.

v. 497. πεύσεται δ' ἄλλος] ἀεὶ τὰ ἀλλήλων ἀκούσονται, καὶ οὐ γίνεται κακῶν ἀνάπαυσις.

v. 499. ὑπόδοσιν] διαδοχήν.

v. 501. μάταν παρηγορεῖ] παθὼν δέ τις μάτην ἑαυτὸν παραμυθεῖται τῇ εἰς ἡμᾶς ἐλπίδι. Ἢ ἕκαστος δὲ τῶν φονέων παρηγορηθήσεται. Τλήμων γὰρ ὁ ἀναιδής, ἢ δ' ὧδε τλήμων.

v. 502. κικλησκέτω] ἡμᾶς δηλονότι.

v. 504. θροούμενος] θροῶν.

v. 507. ταῦτά τις] ἀναιρούμενος πατὴρ ἢ μήτηρ ὑπὸ παιδός.

v. 510. πιτνεῖ δόμος δίκας] ἐπειδήπερ ἔλωλε τὸ δίκαιον.

v. 511. τὸ δεινὸν] οὐ πανταχῆ τὸ δεινὸν ἀπεῖναι φρενῶν δεῖ.

v. 515. σωφρονεῖν] ὥστε καθήμενον ὑπὸ στένει συμφρονεῖν. Ὡς εἰ ἔλεγεν ὑπὸ τῷ δέει. Ἔστι δὲ ἀπ' εὐθείας τῆς τὸ στένος.

v. 516. ἐν φάει] λαμπρότητι καὶ ὀρθότητι φρενῶν.

v. 521. μήτε δεσποτούμενον] ἀλλὰ τὸν ἠρέμα τούτων ἐφαπτόμενον· παρόσον οἱ μὲν παντάπασι τυραννούμενοι κακῶς βιοῦσιν, οἱ δὲ ἄναρχοι, πονηρῶς.

v. 523. ἄλλᾳ] ἄλλα ἄλλως ἐφορᾷ ὁ θεός· ἐσθ' ὅπη δέος.

v. 525. ξύμμετρον] σύντομον.

v. 526. τέκος] *) ὕβριν γεννῶσα. Οἱ γὰρ ἀρξάμενοι τοῦ θείου καταφρονεῖν ὑβρίζουσι τοὺς ἀνθρώπους.

v. 527. ἐκ δ' ὑγιείας] ἐκ τοῦ ὀρθὰς ἔχειν φρένας. Νόσον δὲ φρενῶν τὴν δυσσέβειάν φησιν· ὑγίειαν δ' ἐξ ἧς ἂν εἴη ἡ τιμή· ἐξ ἐκείνης δὲ ὕβρις.

v. 530. τὸ πᾶν] καθολικῶς λέγω τὸ ἐπιφερόμενον.

v. 532. μηδέ νιν] τὴν δίκην.

v. 540. ἀνάγκας ἄτερ] ὁ χωρὶς ἀνάγκης δίκαιος ὤν.

v. 543. τὸν ἀντίτολμον] τὸν τὰ ἐναντία τοῖς εἰρημένοις τολμῶντα. Ἀντὶ τοῦ τὸν ἄδικον.

v. 543. παραιβάδαν] παραβεβηκότα.

v. 544. παντόφυρτα] πάντοθεν συνηγμένα.

v. 545. καθήσειν] ἀπὸ τῶν χειμαζομένων, τροπικῶς. Ἀντὶ τοῦ ταπεινωθήσεσθαι.

v. 546. πόνος] ἀτυχία.

v. 548. ἀκούοντας οὐδὲν] τοὺς θεούς.

v. 550. γελᾷ] γελᾷ, φησίν, ὁ δαίμων ἐπὶ τῷ ἀδίκως πάσχοντι· τὸν μηδέποτε προσδοκήσαντα τιμωρεῖσθαι

*) Hic excidisse videtur δυσσεβείας.

ἰδὼν ἐν μέσῃ τῇ δύῃ ὑπεζευγμένον καὶ χαλινωθέντα. Τοῦτο γὰρ δηλοῖ τὸ λέπαδνον.

v. 553. τὸν πρὶν ὄλβον] τὸν πολυχρόνιον δὲ ὄλβον ἑαυτοῦ προσκρούσας τῷ βραχεῖ τῆς δίκης ὤλετο.

v. 556. κήρυσσε] Κληρώσασα Ἀθηνᾶ τοὺς ἀρίστους ἄγει δικάσοντας. Καθισάντων δὲ αὐτῶν ἐν μέσῳ στᾶσα κελεύει διὰ τῆς σάλπιγγος καὶ τοῦ κήρυκος σιωπὴν γενέσθαι, ὡς μὴ ἀρκοῦντος μόνου τοῦ κήρυκος. Ὅρα δὲ πῶς τὰ νέων ἤδη ἀναχρονίζει. Ἃ γὰρ νῦν γίνεται ταῦτα τὴν Ἀθηνᾶν εἰσήγαγε λέγουσαν. Ἐχρῶντο γὰρ τῇ σάλπιγγι ἀνείργειν τὸ πλῆθος θέλοντες.

κήρυσσε κῆρυξ] Γ. Εἴσθεσις διπλῆς καθόλου. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρμδ΄. Ὧν τελευταῖος·

Σωτήριον τε καὶ δορὸς νικήφορον.

κατεργάθου] Α. κάτεχε, κώλυε.

v. 561. ἀρήγει] συμφέρει.

v. 562. αἰανῆ] διηνεκῆ· παρὰ τὸ αἰεί.

v. 563. καὶ τῶνδ' ὅπως] τῶν Ἀρεοπαγιτῶν.

v. 564. ὧν ἔχεις] ὧν ἐκληρώθης, δηλονότι μαντείων. Παραφανέντος δ' Ἀπόλλωνος ταῦτά φησιν.

v. 566. καὶ μαρτυρήσων] ὅτι οὐκ ἔστιν ἐναγής· ἐκάθηρα γὰρ αὐτόν.

v. 569. καὶ ξυνδικήσων] σύνδικοι λέγονται οἷς ἴσον μέτεστιν ἐν τῇ δίκῃ τῆς αἰτίας.

v. 572. ὑμῶν] τῶν Ἐρινύων.

εἰσάγω δὲ τὴν δίκην] ὅρα τὸ δικαστήριον.

v. 573. ὁ γὰρ διώκων] ὁ κατηγορῶν.

v. 575. πολλαὶ μέν ἐσμεν] Τοῦτο οὐ πρὸς τὰς τρεῖς, ἀλλὰ πρὸς τὸν χορόν· ιε΄ γὰρ ἦσαν.

v. 576. ἔπος δ' ἀμείβου] Ῥητορικῶς πυνθάνονται. Εἰ μὲν ὁμολογοίη, ὑπεύθυνος ἔσται· εἰ δὲ ἀρνοῖτο, ἐλεγχθή-

ἐν περιχωρήματι αὐτῷ εἰσιν οἱ Ἀρεοπαγῖται ... διαλεγόμενοι:

σεται. Καὶ Ἀχιλλεὺς πρὸς τοὺς πρέσβεις· (Iliad, I XI. 338.)

Ἀτρείδης τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας — —

διὰ γυναῖκα;

v. 579. τριῶν παλαισμάτων] ἐκπέπτωκας. Ἡ μεταφορὰ δέ ἐστιν ἀπὸ τῶν παλαιόντων, οἱ ἐπὶ τοῖς τρισὶ πτώμασιν ὁρίζουσι τὴν ἧτταν.

v. 582. ξιφουλκῷ χειρὶ] πλανᾶται. Αἱ μὲν γὰρ τὴν αἰτίαν τοῦ φόνου πυνθάνονται· ὁ δὲ πρὸς τὸ πῶς. ξίφει, φησίν· ὡς τό· μὴ δι' ἐμὴν ἰότητα. (Hom. Iliad. E. 874.)

v. 586. καὶ δεῦρο γ' ἀεὶ] ἕως δεῦρο. τὸ ἀεὶ ἐπὶ τοῦ ἕως τάττουσιν Ἀττικοὶ πολλάκις. Δεῦρο μέν μοι τόνδ' ἀεὶ τείνει λόγον. ΤΗΝ ΠΡΑΞΙΝ

v. 587. τάχα] ἀντὶ τοῦ ἴσως.

v. 588. πέμπει πατὴρ] ὡς ὑμῖν ἔπεμψεν ἡ μήτηρ, οὕτω βοηθοὺς κἀμοὶ πέμψει ὁ πατήρ.

v. 590. προςβολὰς] συντυχίας.

v. 591. δίδαξον τοὺς δικάζοντας] Πανούργως φησί, μὴ ἡμᾶς δίδασκε, ἀλλὰ τοὺς δικαστάς.

v. 592. ἀνδροκτονοῦσα] ἐμὲ κἀκεῖνον ἠδίκησεν.

v. 593. τοί γαρ σὺ μὲν] Πῶς οὖν λέγεις, ὅτι ἠδίκησέ με; πῶς δ' Ἀγαμέμνονα, ὅπου ἀπέθανεν δι' αὐτήν.

v. 594. τί δ' οὐκ ἐκείνην] οὐκ εἰ τέθνηκε, τούτου αἰτία εἶ σύ. Πῶς ἂν ἐδίωκες; ὥςτε οὐδὲ ἀποθανοῦσα διὰ τὴν σὴν αἰτίαν ἀπέθανεν.

v. 596. ἐγὼ δὲ μητρὸς] ἐγὼ οὖν ὅμαιμος εἰμι τῇ μητρί.

v. 598. ἀπεύχῃ] ἀπαρνῇ.

v. 599. ἤδη σὺ μαρτύρησον] ὡς ἀπορῶν τῆς ἀποκρίσεως. Ἐπεὶ γὰρ ἦλθεν εἰς τὴν διάκρισιν τοῦ δικαίως ἢ μὴ ἀνῃρηκέναι τὴν μητέρα, ἐπὶ τὸν συμβουλεύσαντα θεὸν καταφεύγει. Τραγικὸν οὖν καὶ πρέπον, ὁμοειδές τε τὸ πάντα λέγειν.

v. 605. θεσμὸν] τὸν Ἀρεοπαγιτικόν.

v. 608. ὃ μὴ κελεύσει Ζεὺς] ὥστε ἐμοὶ μὲν Ζεύς, ἐγὼ δὲ τούτῳ προσέταξα. Οὐκ ἄνευ Διὸς τὸ γενόμενον.

v. 609. ὅσον σθένει μαθεῖν] ἀντὶ τοῦ μάθε ὦ βουλή.

v. 610. πιφαύσκω δ' ὔμμε] κελεύω δὲ ἡμᾶς πει-θῆναι τῇ βουλῇ τοῦ Διός.

v. 614. φόνον πράξαντα] ἐκδικήσαντα.

v. 616. τιμαλφούμενον] Συνεχὲς τὸ ὄνομα παρ' Αἰσχύλῳ· δι' ὃ σκώπτει αὐτὸν Ἐπίχαρμος.

v. 622. τὰ πλεῖστ' ἀμείνονα] βελτίονα πλεῖστα ηὐ-τυχήκοτα ἀπὸ στρατείας.

v. 623. δρύτη] πυέλῳ, τῇ ὡς σορῷ αὐτῷ γενομέ-νῃ. Παρὰ τὴν δρῦν· ξύλιναι γὰρ αὗται.

κἀπὶ τέρματι] τῶν λουτρῶν δηλονότι.

v. 624. περεσκήνωσεν] πρὸς τὴν συναλοιφὴν τῆς περὶ, καὶ τὴν συζυγίαν τοῦ ῥήματος. ἀτέρμονι] ἀτρα-χήλῳ.

v. 628. ταύτην τοιαύτην] τὴν Κλυταιμνήστραν.

λεὼς] οἱ δικασταί.

v. 630. πατρὸς προτιμᾷ] ὡς λέγεις οὖν, πατέρα προτιμᾷ μητρὸς ὁ Ζεύς.

v. 632. πῶς ταῦτα] οὐ τὸν Δία προέθετο κακῶς εἰπεῖν, ἀλλὰ τὸν Ἀπόλλωνα ὡς ψευσάμενον βούλεται ἐλέγξαι.

v. 633. ὑμᾶς] ὦ κριταί.

v. 642. πῶς γὰρ τὸ φεύγειν] Ἐκ τῆς Ἀπόλλωνος ἀπολογίας κατακρίνουσιν Ὀρέστην· Εἰ γὰρ τὸν φονέα οὐχ οἷόν τε τὸν φόνον ἀνακαλέσασθαι, πῶς Ὀρέστης φονεύσας ἐλευθερωθήσεται;

ὅρα] σκόπει πῶς δικαιοῖς Ὀρέστην φεύγειν.

v. 649. κύματος] κυήματος.

v. 650. ὁ θρώσκων] ὁ σπερμαίνων.

ἡ δ' ἅπερ ξένῳ] ὡς παρακαταθήκη.

v. 653. πατὴρ μὲν ἂν γένοιτο] γεννήσειεν.

v. 657. ἐγὼ δὲ Παλλὰς] ὦ Παλλάς. ὡς ἐπίσταμαι] ὅσον δύναμαι.

v. 662. τάδ' αἰανῶς] δι' αἰῶνος.

v. 663. ἐπισπόρους] ἀπογόνους.

v. 664. ἀπὸ γνώμης] ὃ δοκιμάζεται.

v. 668. τί γὰρ πρὸς ὑμῶν] τί τεθεῖσα μέμψιν παρ' ὑμῶν οὐχ ὑπομενῶ,

v. 676. φθόνον] μῆνιν.

v. 677. νεόπτολιν] τὸν Ἄρειον πάγον· Ἐν αὐτῷ γὰρ ἐστρατοπέδευσαν. Σημείωσαι ὅτι πρώτη ἐπὶ Ὀρέστῃ γέγονε δίκη ἐν τῷ Ἀρείῳ πάγῳ.

v. 680. ἐν δὲ τῷ σέβας] ὁ δὲ ἀντὶ τοῦ γάρ.

v. 681. μὴ ἀδικεῖν] συνίζησις.

v. 687. βουλεύω] συμβουλεύω τοῖς ἐμοῖς πολίταις δημοκρατεῖσθαι μέν, ὑπὸ φόβον δὲ μὴ εἶναι.

v. 695. εὐδόντων ὕπερ] τῶν ἀποθανόντων.

v. 708. προστροπαῖς Ἰξίονος] καθάρας τὸν πρωτ... μυσῆ Ἰξίονα.

v. 709. ἐγὼ δὲ μὴ τυχοῦσα] ἐπ' ἀπειλὰς τρέπονται ἀφεῖσαι τὴν δικαιολογίαν.

v. 720. ἐμῇ τὸν ἰὸν] ἐκβάλλεις τὴν ὀργήν, οὐδὲν δυναμένη βλάψαι τοὺς ἐχθρούς.

v. 721. καθιππάζῃ] κατατρέχεις.

v. 723. ὡς ἀμφίβουλος οὖσα] ἀμφιβάλλουσα. Τέως γὰρ ἐν ἀμφιβόλῳ ἔχω τὸ ὀργίζεσθαι.

v. 725. τήνδ' ἐγὼ προσθήσομαι] ἐγὼ προσθήσω τὴν ἐσχάτην ψῆφον. Ἢ ὅτι ἂν ἴσαι γένωνται, νικᾷ ὁ κατηγορούμενος.

v. 733. ὅσοις δικαστῶν] ὁ ἀριθμὸς τῶν Ἀρεοπαγιτῶν λ' καὶ εἷς.

v. 736. νῦν ἀγχόνης μοι] νῦν μοι ζωὴ ἢ θανάτου τέλος.

v. 737. ἢ πρόσω τιμὰς] ἢ τὰς πρώην ἔχειν τιμάς.

v. 739. ἐν διαιρέσει] διακρίσει τῶν λευκῶν καὶ μελαινῶν.

v. 740. γνώμης δ' ἀπούσης] γνώμης, ἀντὶ τοῦ ψήφου. Ὁ τρόπος συνεκδοχή, ἀπὸ τοῦ προηγουμένου τὸ ἀκόλουθον· τὸν γὰρ μέλλοντα βάλλειν ψῆφον δεῖ πρῶτον ἐν γνώμῃ γενέσθαι.

v. 741. βαλοῦσα τ' οἶκον] ἡ ψῆφος δὲ βαλεῖν τε καὶ ὀρθῶσαι οἶκον δύναται.

v. 743. ἴσον γάρ ἐστι] κἂν ἴσαι δὲ γένωνται αἱ ψῆφοι, ὁ κατηγορούμενος νικᾷ.

v. 751. τάςδε συνδίκους] τὰς συνηγόρους Εὐμενίδας.

v. 755. πρυμνήτην] κυβερνήτην, ἄρχοντα.

v. 759. πράξομεν] τιμωρησόμεθα.

v. 760. καὶ παρόρνιθας πόρους]. ἀπαισίους.

v. 762. ὀρθουμένων] γεννωμένων.

v. 766. πάλαισμα] τὴν ἐμὴν ἐπικουρίαν.

v. 768. ἰὼ θεοὶ νεώτεροι] Γ. Ὠδὴ χοροῦ ἐπῳδική, διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι. Ἔχει δὲ τοὺς πρώτους μὲν γ' στίχους ἰαμβικοὺς τριμέτρους ἀκαταλήκτους. Τὰ δὲ ἑξῆς κῶλά εἰσιν ἀντισπαστικὰ πενθημιμερῆ καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα καὶ τρίμετρα ιγ'.

v. 773. ἀντιπενθῆ] Α. ἰσοπενθῆ ὅμοια δρῶντα, οἷς πέπονθα.

v. 774. μεθεῖσα] ἀντὶ τοῦ μεθήσω· μετοχὴ ἀντὶ ῥήματος· ὡς τό· καρπῷ βριθομένη (Iliad. Θ. 308.) ἀντὶ τοῦ βρίθεται.

σπερμολογοῦν ... ηλεις v. 775. σταλαγμὸν] ἢ τὴν κατὰ βραχὺ φθοράν. χθονιαφόρον] τὸν εἰς τὴν γῆν φερόμενον.

v. 776. ἄφυλλος] ἄκαρπος.

ἰὼ δίκα] τοῦτο διὰ μέσου ὀλοφυρόμεναι ἀναφωνοῦσιν.

v. 780. γένωμαι] λείπει ὁ ἢ, διαζευκτικός· ἢ τί γένωμαι.

v. 781. πολίταις] ὑπὸ τῶν πολιτῶν ἔπαθον· ἔμιξε τῷ θρήνῳ τὴν τιμωρίαν τεχνικῶς. Εἰπὼν γάρ, δύσοιστα ἔπαθον, ἐπήγαγε, πολίταις· ἵνα ᾖ, πολίταις δύσοιστα ὄντα.

v. 782. κόραι δυστυχεῖς] κόραι Νυκτός.

v. 787. ἀλλ' ἐκ Διὸς γὰρ] ἔφασκε γὰρ ὁ Ἀπόλλων γνώμῃ Διὸς μαντεύεσθαι.

v. 792. σταλάγματα] γράφεται στεκάγματα· ἃ Σταλάγματα δὲ εἰσὶν αἰχμαὶ βιβρώσκουσαι τὰ σπέρματα.

v. 808. βαλεῖν] λείπει ἐμποιήσω.

v. 814. οὐκ ἐστ' ἄτιμοι] Γ. Εἴσθεσις διπλῆς ἀμοιβαίας καὶ μονοστροφικὰς ἔχουσα τὰς περιόδους. Εἰσὶ δὲ τὰ τοῦ χοροῦ μὲν κῶλα ἀντισπαστικά· τὰ δὲ τοῦ ἑτέρου προσώπου ἰαμβικοὶ στίχοι τρίμετροι. Τῆς πρώτης οὖν περιόδου στίχοι εἰσὶν ιγ'.

v. 815. δύσκηλον] Α. δυσθεράπευτον.

v. 821. καρπὸν φέροντα] τὸν πάντα ποιοῦντα κακῶς πράττειν.

v. 822. κοίμα] κοίμιζε.

πικρὸν μένος] τὸν θυμόν.

v. 823. ὡς σεμνότιμος] λείπει ἐσομένη.

v. 824. τἀκροθίνια] ὡς προτέλεια θυόντων Ἀθήνῃσι ταῖς Ἐρινύσι. // τέλος δὲ ὁ γάμος.

v. 825. γαμηλίου τέλους] τοῦ γάμου.

v. 827. ἐμὲ παθεῖν] Γ. Ἡ στροφὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ἀντισπαστικῶν διμέτρων βραχυκαταληκτικῶν καὶ πενθημιμερῶν καὶ μονομέτρων καὶ τριμέτρων ια'.

v. 829. ἀτίετον] ἀνεκδίκητον τιμωρεῖσθαι μὴ δυναμένην. Τὸ δὲ φεῦ, διὰ μέσου ἀναφωνεῖ.

v. 830. πνέω τοι μένος] ὀργὴν καὶ ἅπαντα κότον πνέω.

v. 831. δᾶ] ὦ γῆ, Δωρικῶς· ὅθεν καὶ Δαμάτηρ.

v. 835. δαμίαν] τὴν δημοσίαν, ὑπὸ θεῶν δηλονότι·

v. 836. ἦραν δόλοι] οἱ δόλοι γὰρ τῶν θεῶν ὡς οὐδὲν παρῆράν με τῶν δημοσίων τιμῶν.

v. 837. ξυνοίσω] φέρουσά σοι τὰς ὀργάς.

v. 838. σοφωτέρα] διὰ τὸν χρόνον.

v. 840. ἐλθοῦσαι χθόνα] λείπει ὁ καί.

v. 841. γῆς τῆσδ' ἐρασθήσεσθε] ἀντὶ τοῦ μεγάλοι ἔσονται Ἀθηναῖοι ὥστε ἐπιθυμῆσαι τῆς ἐξ αὐτῶν τιμῆς.

v. 848. θηγάνας — νέων] τὰς ἀναλισκούσας τὰ νέα.

v. 849. θυμώμασι] ὀργαῖς. Ὅτι καὶ οἰνωθέντες τρόπον τινὰ γίνονται ἐμμανεῖς.

v. 850. ἐξελοῦσα] ἀναπτερώσασα. Μάχιμον γὰρ τὸ ὄρνεον· τῶν τε ἄλλων ζώων τὸ συγγενὲς αἰδουμένων μόνος οὐ φείδεται.

μυρτα νοα. θυραιος ὁ περικός

v. 853. οὐ μόλις παρὼν] οὐ μακράν.

v. 855. ἐνοικίου δ' ὄρνιθος] τῶν ἐνοικούντων πολιτῶν. ὅ ἐστιν ὁμόφυλον πόλεμον.

v. 859. ἐμὲ παθεῖν] Γ. Ἡ μεσῳδικὴ αὕτη ἀντιστροφὴ κώλων ἐστὶν ἀντισπαστικῶν ια'. Τὸ αὐτὰ δὲ ἐστι κῶλα ἃ καὶ ἐν τῇ στροφῇ εἴρηκεν.

v. 869. οὔτοι καμοῦμαι] Εἴσθεσις διπλῆς συνεχοῦς μερικῆς· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λε'. Ὧν τελευταῖος·

Τὴν δ' ἀστύνικον ἐν βροτοῖς τιμᾷν πόλει.

v. 870. πρὸς νεωτέρας] τὸ ἑξῆς· πρὸς νεωτέρας ἐμοῦ καὶ πολισσούχων βροτῶν, θεὸς παλαιὰ ἄτιμος ἔῤῥειν.

v. 873. ἀλλ' εἰ μὲν ἁγνὸν] Εἰ πείθῃ τῷ μειλίγματι τῆς ἐμῆς γλώττης παραμένουσα καὶ τῶν καταλεχθέντων ἀγαθῶν μεταλάμβανε· εἰ δὲ μὴ πείθῃ, ἴσθι μὴ βλάψασα πόλιν.

v. 919. δέξομαι Παλλάδος] Γ. Εἴσθεσις διπλῆς ἐν ἐκθέσει τοῦ δράματος, ἀμοιβαίας τὰς περιόδους ἔχουσα. Εἰσὶ δὲ τὰ μὲν τοῦ χοροῦ κῶλα χοριαμβικά· τὰ δὲ τοῦ ἑτέρου προσώπου ἀναπαιστικά. Εἰσὶ δὲ τὰ τῆς πρώτης ταύτης στροφῆς κῶλα χοριαμβικὰ ὅμοια τοῖς προῤῥηθεῖσιν ια'.

v. 923. τάδ' ἐγὼ προφρόνως] Γ. τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι δίμετρα καὶ μονόμετρα ια'.

v. 926. δενδροπήμων] Γ. Τὰ τοῦ χοροῦ ταῦτα κῶλα χοριαμβικά ἐστιν ια', ὅμοια καὶ ἰσόμετρα τοῖς ἄνω. Ἔστι δὲ ἀντιστροφὴ τῆς ἄνω στροφῆς.

v. 934. γόνος] Α. τὰ σπέρματα.

v. 935. πλουτόχθων] ὁ ἐκ γῆς πλουτίζων καρπός.

v. 937. ἡ τάδ' ἀκούετε] Γ. Τὰ κῶλα ταῦτ' ἀναπαιστικά ἐστι δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ ζ'.

πόλεως φρούριον] Α. ὦ 'Αρεοπαγῖται.

v. 944. ἀνδροκμῆτας] Γ. Στροφὴ ἑτέρα. Τὰ δὲ κῶλά εἰσι χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσι ιβ'.

v. 955. τάδε τοι χώρᾳ] Γ. Τὰ κῶλα ταῦτα ἀναπαιστικά εἰσι δίμετρα καὶ μονόμετρα η'.

v. 963. τάσδ' ἄπληστον κακῶν] Γ. 'Αντιστροφὴ τῆς ἄνω στροφῆς. Τὰ δὲ κῶλά εἰσι χοριαμβικὰ ὅμοια ιβ'.

v. 974. ἆρα φρονοῦσι] Τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι δίμετρα καὶ μονόμετρα η'.

v. 982. χαίρετ' ἐν αἰσιμίαις πλούτου] Στροφὴ ἑτέρα. Τὰ δὲ κῶλά εἰσι χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσι ζ'.

v. 989. χαίρετε χ' ὑμεῖς] Τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι καὶ δίμετρα καὶ μονόμετρα ια'.

v. 1000. χαίρετε, χαίρετε δ' αὖθις] Γ. Ἑτέρα στροφή. Τὰ δὲ κῶλά εἰσι χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσιν η'.

v. 1007. Αἰνῶ δὲ μύθους] Ἑτέρα περίοδος ἐν ἐκθέσει τοῦ δράματος. Οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιη'.

v. 1018. βᾶτ' ἐκ δόμων] Γ. Ἑτέρα στροφὴ ἐν ἐκθέσει τελευταίᾳ τοῦ δράματος. Τὰ δὲ κῶλα χοριαμβικά ἐστιν ὅμοια τοῖς ῥηθεῖσι δέκα ἕξ.

SCHOLIA IN SUPPLICES.

in marg. alia manu:

Ζτ hoc est ζητει

v. 1. ἀφίκτωρ] ἱκετῶν ἔφορος.

v. 3. χαίων ἀρθέντ' ἀπὸ προστομίων] τινὲς τοῦ Φάρου Αἰγύπτου· προπάροιθε γάρ ἐστιν. Ἄμεινον δὲ τὰ στόμια ἀκούειν, πλεοναζούσης τῆς πρό. Διὰ γὰρ τοῦ Ἡρακλεωτικοῦ στομίου τὴν φυγὴν ἐποιήσατο.

v. 5. Δίαν δὲ] ὁ δὲ ἀντὶ τοῦ γάρ.

v. 7. οὔτιν' ἐφ' αἵματι] οὐκ ἐφ' αἵματί τινι κατεγνωσθεῖσαι ψήφῳ πόλεως δημοσίᾳ ἡμᾶς ἀπελαυνούσῃ.

Ms φυλαξάνοραν:

v. 9. φυξάνοραν γάμον] φυγὴν ἀνδρῶν ἐμποιοῦντα ἡμῖν. Ἀμείνονα τῶν κακῶν ἐψηφίσατο τὴν φυγήν. Κακὸν ὁ γάμος, κακὸν δὲ καὶ ἡ φυγή· αἱρετώτερον δὲ τὸ φεύγειν.

v. 10. ἀσεβῆ] ὃν οὐ σέβομεν ἡμεῖς οὐδὲ τιμῶμεν.

v. 13. στασίαρχος] τῆς συστάσεως ἡμῶν ἄρχων.

Ms ὑπὲρ

πεσσονομῶν] ὑπὲρ τούτων λογιζόμενος.

v. 22. ἐγχειριδίοις] τοῖς ἱκετηρίοις θαλλοῖς.

v. 23. ἱεροστέπτοισι κλάδοισι] τοῖς στεφάνοις.

v. 25. βαρύτιμοι] οἱ βαρέως τιννύμενοι καταχθόνιοι θεοί. Τὸ δὲ ὕπατοι, ἀπὸ ἄλλης ἀρχῆς.

v. 27. τρίτος οἰκοφύλαξ] τριτόσπονδος, ἢ ὁ τρίτος τῶν εἰρημένων. Εἶπε γάρ, ὕπατοι θεοί, καὶ Ζεὺς σωτὴρ τρίτος.

καὶ χθόνιοι

v. 28.

v. 28. δέξαιθ' ἱκέτην] δέξαιτο ἡμᾶς τῷ τῆς χώρας αἰδεσίμῳ πνεύματι. Ὅ ἐστιν, αἰδῶ ἐπιπνεύσας τοῖς ἡμᾶς δεχομένοις Ἀργείοις.

v. 32. ἀσώδει] πηλώδει, ψαμμώδει. Τὴν γὰρ ψάμμον οὕτως φασίν. Ὡς ὁ ποιητής· (Iliad. Φ. 320. 322.)

Εἰλύσω ψαμάθοισι

— — — τόσσην οἱ ἄσω καθύπερθε καλύψω.

μ τόσσην δ' ἄσιν:

v. 34. πέμψατε] τὸ ἑξῆς οὕτως, πέμψατε πόντονδε, ἔνθα ἀντήσαντες λαίλαπι χειμωνοτύπῳ, βροντῇ, στεροπῇ τε, ὀμβροφόροισί τε ἀνέμοις ἀγρίας ἁλὸς, ὄλοιντο.

v. 38. ὧν θέμις] ὧν τὸ δίκαιον ἡμᾶς εἴργει, διὰ τὸ μὴ θανατωθῆναι τὸν πατέρα.

v. 39. πατραδελφίαν] ἀνεψιῶν τῶν ἐκ τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτῶν.

v. 42. Δῖον πόρτιν] ἐπικαλούμεθα τὸν ἶνιν τῆς βοὸς τὴν ἐπαφὴν τὴν ἐξ ἐπιπνοίας τοῦ Διός. Ἄλλως· πόρτιν, τὸν Ἔπαφον.

v. 43. τιμάορα] βοηθόν.

v. 45. ἐξ ἐπιπνοίας] τὴν ἐξ ἐρωτικῆς διαθέσεως· ἐπέπνευσε γὰρ αὐτῷ ὁ ἔρως.

v. 46. ἐπωνυμίᾳ δ' ἐπεκραίνετο] τῇ δὲ ἐπωνυμίᾳ ἐβεβαιοῦτο ὁ εὔμοιρος αὐτοῦ βίος· ὡς γὰρ τῆς γονῆς ἐψηφίσατο Ζεύς, οὕτω καὶ τῆς τύχης.

v. 50. ἐν πιονόμοις] ἐν Ἄργει, οὗ ἐνέμετο ἡ Ἰώ.

v. 52. πρόσθε πόνων] τῆς Ἰοῦς τοὺς πόνους ἐγὼ διηγουμένη.

v. 54. πιστὰ τεκμήρια] τὸ ἑξῆς οὕτως· ὃν ἐπικαλουμένη, νῦν ἐν Ἄργει δείξω πιστὰ τεκμήρια, ὡς οὐ ξένος ὢν ἐλεύσεται, ἀλλ' εἰς προγόνων γῆν.

v. 56. ἐν μάκει] προϊόντος τοῦ χρόνου.

v. 57. οἰωνοπόλων] τῶν φωνὰς οἰωνῶν γινωσκόντων.

v. 59. δοξάσει τις ἀκούων] πλεονάζει τὸ τίς.

v. 60. Τηρείας μήτιδος] κατὰ παράφρασιν τοῦ Τηρέως.

v. 62. κιρκηλάτου] τῆς ὑπὸ κίρκων ἐλαυνομένης.

v. 63. εἰργομένα] διωκομένη.

v. 64. ἠθέων] τῶν συνήθων τόπων.

v. 69. Ἰαονίοισι νόμοισι] ἀντὶ τοῦ Ἑλληνικῇ φωνῇ.

v. 71. Νειλοθερῆ] τὴν ἐν τῷ Νείλῳ θερισθεῖσαν, ὅ ἐστι βλαστήσασαν ἐν Αἰγύπτῳ. Ἀπὸ τῶν σταχύων δὲ ἡ μεταφορά.

v. 73. γόεδνα] τῶν γόων τὸ ἄνθος ἀποδρέπομαι.

v. 75. ἀερίας ἀπὸ γᾶς] σκοτεινῆς· μέλαινα γάρ ἐστιν. Ἢ ὅτι ταπεινὴ καὶ τοῖς ἀπὸ θαλάσσης ὡς ὑπόγειος φαίνεται.

v. 77. ἀλλὰ θεοὶ] ἀλλ' ὦ γενέται θεοὶ καλῶς τὸ δίκαιον ὁρῶντες. Καὶ Ἡσίοδος· (Ἐργ. 9.)

κλῦθι ἰδὼν ἀΐων τε.

v. 78. μὴ τέλεον] τὴν τῶν Αἰγυπτιάδων.

v. 81. ἔνδικοι γάμοις] ἐπὶ τοῖς νενομισμένοις καὶ δόξασιν ἡμῖν.

v. 82. ἔστι δὲ] καὶ τοῖς ὑπὸ πολέμου τειρομένοις καὶ τετραμμένοις εἰς φυγήν, δαιμόνων σέβας· ῥῦμα τῆς βλάβης ἐστίν. Ἢ οὕτως· καὶ τοῖς ὑπὸ πολέμου τειρομένοις, καὶ τετραμμένοις εἰς φυγὴν ὁ βωμὸς Ἄρης ἐστίν· ὑπερμαχεῖ γὰρ αὐτῶν καὶ οὐδὲν πάσχουσι διὰ τὸ σέβας τῶν θεῶν.

v. 86. Διὸς ἵμερος] γνωμικῶς παρὰ τό· (Iliad. Θ. 143.)

ἀνὴρ δέ κεν οὔτι Διὸς νόον εἰρύσσαιτο.

v. 87. πάντα τοι φλεγέθει] ἐν παντὶ τόπῳ λάμπει, κἂν διὰ σκότου χωρῇ. Τοῖς μὲν ἀνθρώποις οὐκ εὐσύνοπτός ἐστιν· ἀλλὰ μέλαινά τις αὐτοῖς κατέχει συντυχία.

v. 90. πίπτει δ' ἀσφαλῶς] εἰ δέ τι ἀνυσθῇ τῷ νεύματι τοῦ Διὸς ἀσφαλῶς πίπτει ἀποβαίνει ἀσφαλῶς ἤγουν εὐσχημόνως.

οὐδ' ἐπὶ νώτῳ] ἀσχημόνως. Τὸ γὰρ εἰς νῶτον πίπτειν τοὺς παλαιστὰς ἄσχημόν ἐστιν.

v. 92. πραπίδων δάσκιον] πυκνοὶ γάρ εἰσιν οἱ τῶν πραπίδων αὐτοῦ τοῦ Διὸς πόροι.

v. 96. πανώλεις] τοὺς τοῦ ὀλέσθαι ἀξίους, ὅ ἐστι κακούς·

v. 100. ἥμενον ἄνω φρόνημα] τὸ δὲ φρόνημα αὐτοῦ ἐπὶ τῶν ἁγνῶν ἑδρασμάτων ἐφήμενον ἐξέπραξε τὸν σκοπὸν ἑαυτοῦ αὐτόθεν ἀπὸ τῶν ἁγνῶν ἑδρασμάτων, ὅ ἐστι τοῦ οὐρανοῦ. Ἄλλως. ἢ τὸ ἄνω ἱδρύμενον, ἢ τὸ ἑδραῖον.

v. 105. πυθμὴν] αὐτὸς ὁ Αἴγυπτος.

v. 106. τὸ θάλος] ἡ ῥίζα τῶν πεντήκοντα παίδων, ὅ ἐστιν Αἴγυπτος αὐτός. αὐτὸς ὁ

v. 108. διάνοιαν μαινόλιν] οὐ φύλλοις, ἀλλὰ τῇ ἀνοίᾳ τῶν παίδων ἑαυτοῦ καὶ διάνοιαν μαινόλιν ἔχων· ὅπερ ἐστὶ κέντρον ἄφυκτον.

v. 110. ἀπάτᾳ] τῇ ἀπατητικῇ.

v. 112. δακρυοπετῆ] παρασκευαστικὰ τοῦ πίπτειν τὰ δάκρυα τῶν ἀκουόντων.

v. 115. ζῶσα γόοις με τιμᾷ] γράφεται ζώσατο οἷς με τιμᾷ. ζώσατο οἷς με τιμᾷ

v. 116. ἰλέομαι] ἱλάσκομαι.

βοῦνιν] τὴν γῆν κατὰ βαρβάρους.

v. 118. εὐακοεῖς] νοεῖς καὶ τὴν βάρβαρον φωνήν. ὥστε

v. 121. καλύπτρᾳ] τῷ κεφαλοδέσμῳ.

v. 122. θεοῖς δ' ἐναγέα] ὅπου δὲ θάνατος ἀπῇ, ἐκεῖ τῶν ἀνθρώπων εὐπραγούντων τιμαὶ τοῖς θεοῖς ἐπιτρέχουσιν. Ἐναγέα δὲ, ἐναγίσματα.

v. 125. δυσάγκριτοι] δυσδιάγνωστοι.

v. 126. ἀπάξει] ἡμᾶς.

v. 130. ἐμπιτνῶ ξὺν λακίδι] τῷ διασχισμῷ ἐμπίπτω.

v. 133. λινορραφής τε δόμος] ἡ ναῦς. Παρόσον τρυπῶντες τὰς ναῦς σπάρτοις αὐτὰς συνέρραπτον. Καὶ τὸ παρ' Ὁμήρῳ· (Odyss. Ξ. 383.)

νῆας ἀκειόμενος.

τὸ συρράπτοντες δηλοῖ. Ὅθεν καὶ ἀκεστρίας τὰς ῥαπτρίας φασί.

v. 134. ἅλα στέγων] τὴν θάλασσαν εἴργων.

v. 136. τελευτᾶς δ' ἐν χρόνῳ] ἴσον οὖν πρὸς τὴν ἀρχὴν ἔσται καὶ τὸ τέλος.

v. 139. σπέρμα σεμνᾶς μέγα ματέρος] Ἔπαφος.

v. 141. ἐκφυγεῖν] λείπει τὸ δοίη.

v. 142. θέλουσα δ' αὖ θέλουσαν] θέλουσάν με εἶναι ἁγνήν.

v. 143. ἐνώπι' ἀσφαλὲς] ἀσφαλῶς ἐπιδέτω με.

v. 147. ῥύσιος γενέσθω] ἀντὶ τοῦ ῥυσάσθω ἡ παρθένος ἡμᾶς τὰς παρθένους.

v. 151. εἰ δὲ μὴ] εἰ δὲ μὴ ῥύσεται.

v. 154. τὸν πολυξενώτατον] τὸν καταχθόνιον ᾅδην.

v. 158. Θεῶν ὀλυμπίων] ὦ Ζεῦ, ἡ παρὰ τῶν θεῶν μῆνις κατὰ Ἰοῦς ἐστι μαστιγωτική.

v. 162. οὐρανόνικον] τὴν τῆς Ἥρας τῆς ἐν ἀνδρὶ νικώσης πάντας τοὺς ἐν οὐρανῷ θεούς. Καὶ ἐφ' ἡμᾶς οὖν ἔφθασεν ἡ μῆνις τῆς Ἥρας πρὸς τὸ ἄνω τοῦτο

Τὸν πολυξενώτατων
Ζῆνα τῶν κεκμηκότων
Ἱξόμεσθα —

χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμών. Τὰ δ' ἄλλα διὰ μέσου ἀναπεφώνηται.

v. 165. καὶ τότ' οὐ δικαίοις] τὸ ἑξῆς· καὶ τότε οὐ δικαίοις ἐνέξεται Ζεὺς λόγοις, νῦν ἔχων παλίντροπον ὄψιν λιταῖς. Οὐκ εὐαπολόγητος ἔσται, φησὶν, ὅταν ἡμᾶς παρίδῃ ἀπολλυμένας.

v. 180. τῷδε ναυκλήρῳ] ἐξάρχῳ.

v. 181. καὶ ταπὶ χέρσου] ὡς τὰ ἐν θαλάσσῃ.

v. 182. δελτουμένας] ἀπογραφομένας.

v. 190. ἐπόρνυται στόλον] τὸν πρὸς ἡμᾶς στόλον μετὰ ὁρμῆς ποιεῖται.

v. 192. τῶν δ' ἀγωνίων θεῶν] στρογγύλα γάρ ἐστι τὰ ἱερεῖα καὶ γωνίας οὐκ ἔχοντα.

v. 194. λευκοστεφεῖς] λευκοῖς ἐρίοις ἐστεμμένας.

v. 196. ἔχουσαι διὰ χερῶν] ὅ ἐστιν ἀντέχεσθε τῇ δεξιᾷ τῶν ἀγαλμάτων, τῇ ἀριστερᾷ τοὺς κλάδους κατέχουσαι.

v. 203. μὴ πρόλεσχος] μὴ πολλὰ προοιμιάζου.

μηδ' ἐφολκὸς] μήτε προτέρα κατάρχου τοῦ λόγου, μήτε ἀμειβομένη μακρολόγει.

v. 205. χρεῖος] ἐπικουρίας χρήζεις.

v. 209. Ζεὺς γεννήτωρ] ὁ ἔφορος τοῦ γένους.

v. 211. πέλας θρόνους] ὡς αὐτοῦ ἤδη καθεσθέντος.

v. 212. μὴ ἀπολωλότας] μὴ μετὰ τὸ ἀπολέσαι οἰκτειρήσαις ἡμᾶς.

v. 215. καὶ Ζηνὸς ὄρνιν] ἥλιον· ἐξανίστησι γὰρ ἡμᾶς ὡς ὁ ἀλεκτρυών.

v. 219. συγγνοῖτο] συγγένοιτο.

v. 221. τρίαιναν] ἐν γραφῇ.

σημεῖον θεοῦ] τοῦ Ποσειδῶνος.

v. 223. Ἑρμῆς ὅδ' ἄλλος] ὡς τῶν Αἰγυπτίων ἄλλως αὐτὸν γραφόντων.

v. 228. ὁμαίμων] τὸν συγγενῶν ἡμῖν.

v. 230. ἄκοντος] παρὰ πατρὸς ἄκοντος.

v. 234. ὑστάτας] μεθ' ἃς οὐκ ἔστιν ἄλλη τιμωρία.

v. 237. ἀνέλληνα] τὸν οὐχ Ἕλληνα κατὰ στολήν.

v. 239. χλίοντα] τρυφῶντα.

v. 241. οὐδὲ κηρύκων] μὴ ἐπικηρυκευσάμεναι.

v. 242. ἡγητῶν] πρέσβεων.

v. 244. ἀφικτόρων] Ἑλληνικῶν ἱκετῶν.

v. 246. συνοίσεται] συμφωνήσει.

v. 248. εἰ μὴ παρόντι] ἔμελλον ἂν στοχασμῷ τὰ καθ' ὑμᾶς λέγειν, εἰ μὴ φωνὴν εἴχετε.

v. 249. ἀμφὶ κόσμον] περὶ τοῦ κόσμου ἡμῶν, ὅτι βάρβαρος.

v. 250. ἔτην] νῦν δημότην.

v. 251. τηρὸν] φύλακα.

v. 253. Παλαίχθονος] Παλαίχθων ὄνομα κύριον.

v. 257. καὶ πᾶσαν αἶαν] ἀντὶ τοῦ καὶ πάσης αἴας.

v. 258. πρὸς δύνοντος] τοῦ πρὸς δυσμὰς μέρους Στρυμόνος κρατῶ. Στρυμὼν δὲ ποταμὸς Θράκης.

v. 261. συντέμνει δ' ὅρος] ὁ δὲ ὅρος ὁ ἡμέτερος τἀπὶ Δωδώνην ἔχει, ἕως τῆς θαλάσσης· καὶ ἐπέκεινα δὲ τῶνδε κρατῶ.

v. 263. ἐκ πέρας Ναυπακτίας] τοῦ πέρατος. Ἀνεχρόνισε δέ· τῶν γὰρ Ἡρακλειδῶν ναυσὶ διαβάντων εἰς Ἄργος οὕτως ἐκλήθη Ναύπακτος.

v. 268. παλαιῶν αἱμάτων] ὡς τῶν πολιτῶν αὐτοκτονησάντων.

v. 270. δράκονθ' ὅμιλον] τί ἀνῆκε; δρακόντων πλῆθος.

v. 279. προσφύσω] ἀποδείξω.

v. 285. Κύπριος χαρακτὴρ] καὶ γυναῖκες ἂν Κύπριαι ἀνδράσι μιγεῖσαι τέκοιεν καθ' ὑμᾶς.

v. 287. ἱπποβάμοσιν] ἵπποις ἐοικυίαις κατὰ τὸ τάχος.

v. 288. καμήλοις] καμήλοις νωτοφορουμέναις κατὰ τὴν χθόνα. Ἀστράβη δὲ λέγεται ἡ νωτοφόρος ἡμίονος.

v. 290. καὶ τὰς ἀνάνδρους] λείπει εἶναι.

v. 294. κληδοῦχον] ἱέρειαν.

v. 299. παλλαγμάτων] αἱ περιπλοκαί.

v. 300. νείκη τάδε] νείκη Διὸς καὶ Ἥρας εἰς τί κατέληξαν;

v. 301. βούτην γυναῖκα] τὴν διὰ τὴν γενομένην ὑπὸ Διὸς μεταμόρφωσιν τῆς Ἰοῦς τῇ θεᾷ προσῆψας.

v. 311. ἤλασεν] δὶς αὐτὴν ἤλασε μακρῷ δρόμῳ.

v. 312. συγκόλλως] συμφώνως.

v. 319. τίν' οὖν ἔτ' ἄλλον] ὁ Εὐριπίδης φησὶ παῖδας εἶναι Βήλου Αἴγυπτον, Δαναόν, Φοίνικα, Φινέα, Ἀγήνορα.

v. 321. τοῦτό μοι φράσον] τοῦ πατρός.

v. 334. τί φῂς ἱκνεῖσθαι] διὰ τί λέγεις ἐληλυθέναι.

v. 337. πότερα] τίς γὰρ τοὺς ἄνδρας δεσπότας ὠνοῖτο;

ἢ τὸ μὴ θέμις] ἢ ὅτι ἀθέμιτος γάμος; ᾤετο γὰρ αὐτὰς ἐκδεδόσθαι ἤδη ἄλλοις ἀνδράσιν.

v. 338. τίς δ' ἂν] κατ' ἔχθραν δηλονότι. Τίς γὰρ τοὺς ἄνδρας δεσπότας ὤνοιτο;

v. 343. εἴπερ γ' ἀπ' ἀρχῆς] συνέπρασσον ὑμῖν, εἰ ἀρχὴν προφάσεως εἶχον.

v. 347. κατασκίους] τοῖς θαλλοῖς ἱκετηρίων κλάδων πεπληρωμένας.

v. 355. βοτῆρι] τῷ ἑαυτῆς βοτῆρι σημαίνουσα τοὺς διωγμούς.

v. 356. ὁρῶ κλάδοισι] ὁρῶ ὅμιλον θεῶν ἐστεμμένων ἱκετηρίαις.

v. 358. ἀστοξένων] τῶν νῦν μὲν ξένων, πρώην δὲ συνημμένων τῷ ἄστει.

v. 361. ἄνατον φυγὰν] τῶν μὴ ἐπὶ βλάβῃ τινος γεγονυῖαν.

v. 362. Διὸς κλαρίου] παντάπασι κληροῦντος καὶ κραίνοντος.

v. 363. παρ' ὀψιγόνου] παρ' ἐμοῦ τῆς νεωτέρας ὁ γέρων.

v. 364. αἰδόμενος] οὐ πτωχεύσεις.

v. 366. Ἱεροδόκα] οἱ θεοὶ δέχονται τὰ ἀπὸ ἀνδρὸς ἁγνοῦ ἱερά.

v. 368. δωμάτων ἐφέστιοι] οὐ πρὸς τὴν ἑστίαν τῶν ἐμῶν δωμάτων· ἀντὶ τοῦ οὐκ ἰδίᾳ πρὸς ἐμὲ ποιεῖσθε τὰς ἱκεσίας, ἀλλὰ πρὸς πᾶσαν τὴν πόλιν.

v. 369. εἰ μιαίνεται] εἰ δὲ τὸ κοινὸν μιαίνεται, ὅ ἐστιν ἡ πόλις.

v. 374. ἄκριτος] ἀνυπεύθυνος.

v. 379. παλιγκότοις] ἐχθροῖς.

v. 383. καὶ τύχην ἑλεῖν] καὶ τοῦ συμφέροντος ἐπιτυχεῖν.

v. 385. φύλακα πολυπόνων] τὸν ξένιον καὶ ἱκέσιον Δία τὸν φύλακα τῶν ἀτυχούντων· οἵ τινες τοῖς πέλας προσιζάνοντες οὐ μεταλαμβάνουσι τῆς δίκης, ἀλλ' ὑπερορῶνται.

v. 388. Ζηνὸς ἱκταίου] τοῖς θρήνοις τῶν πασχόντων συμμαχεῖ ὁ τοῦ Διὸς χόλος.

v. 389. δυσπαρέλκτοις] δυσπαραμυθήτοις.

v. 396. ὕπαστρον δέ τοι] τὴν δὲ τοῦ γάμου μηχανὴν ὁριοῦμαι τοῖς ἄστροις· ἀντὶ τοῦ μηχανήσομαι φεύγειν δι' ὁδοῦ μακρᾶς τὸν γάμον. Οἱ γὰρ μακρὰν ὁδὸν φεύγοντες, δι' ἄστρων σημαίνεσθαι ἔλεγον.

v. 406. νέμων εἰκότως] αὐτὸς ἐπεξηγήσατο τί ἐστι ἑτερορρεπής.

v. 408. τί τῶνδ' ἐξ ἴσου] εἰ ὁ Ζεύς, φησί, τὸ ἴσον φυλάττει, τί ἀπορεῖς συμμαχῆσαι τῷ Διΐ.

v. 410. δεῖ τοι βαθείας] δεῖ δὴ εἰς βυθὸν μολεῖν φροντίδος βαθείας σωτηρίου, δίκην κολυμβητῆρος. Τοῦτο δὲ τοῖς σπογγοτόμοις συμβαίνει τὸ πόρρωθεν σκοπεῖν καὶ περιβλέπεσθαι.

v. 415. ῥυσίων] ἀντὶ τοῦ ἱκετίδων.

v. 425. δυσθέοις] διωγμοῖς ἀθέοις.

v. 430. κότον] τὸν τοῦ Διός.

v. 432. βίᾳ δίκας] παρὰ βούλησιν τῆς δίκης.

v. 434. ἀμπύκων] ὡς ἵππων τῆς ἄμπυκος ἑλκομένην.

v. 435. ἐπιλαβὰς ἐμῶν] τὰς ἐπιλήψεις τῶν πέπλων μου.

v. 436. ἴσθι γὰρ] λείπει τὸ ὅτι. Ἀπὸ κοινοῦ δὲ τὸ μὴ τλαίης ἰδεῖν.

v. 439. ὁμοίαν θέμιν] δίκαιόν ἐστιν ἀποδιδόναι ὁμοίαν δίκην·

Αἴκε πάθη τά κ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο.

v. 441. δεῦρο δ' ἐξοκέλλεται] οὕτως ἀποβαίνει.

v. 442. ἢ τοῖσιν ἢ τοῖς] ἢ τοῖς θεοῖς, ἢ τοῖς Αἰγυπτιάδαις.

v. 446. χρήμασι] χρημάτων.

v. 447. καὶ μέγ' ἐμπλήσας] τοῦ Διὸς ἐμπιμπλῶντος καὶ γεμίζοντος ἄτης τὸν γόμον.

v. 449. γλῶσσα τοξεύσασα] ἀντὶ τοῦ γλώσσης τοξευσάσης, ὅ ἐστιν εἰπούσης.

v. 454. πημονῆς ἄκη] τῆς προσδοκωμένης πημονῆς ἀκή.

v. 455. ἐγὼ παροίχομαι] καὶ τοῦτο ποιῶν ἐκτὸς ἔσομαι τοῦ νείκους θεοῖς ὑπηρετῶν.

v. 456. θέλω δ' ἄϊδρις] μάντις ἀποβαίην φαῦλος.

v. 460. συλλαβὰς] τὰς στροφὰς τῶν ζωνῶν.

v. 466. νέοις πίναξι] καινοῖς ἀναθήμασι τὰ ἀγάλματα τῶν θεῶν κοσμήσω. Λέγει δὲ ὅτι μετεωρήσω ἐμαυτὸν τῇ ἀγχόνῃ.

v. 468. ἀπάγξασθαι θεῶν] ἐξήρτημαι τῶν θεῶν.

v. 469. μαχιστῆρα καρδίας] ἤκουσα λόγον καρδίας δηκτικόν.

v. 471. δυσπάλαιστα] δυσμεταχείριστα. Ἀπὸ κοινοῦ τὸ ἤκουσα.

v. 476. οὐχ ὑπερτοξεύσιμον] ἀνυπέρβλητον.

v. 479. πῶς οὐχὶ τἀνάλωμα] τὸ πτῶμα τῶν σωμάτων.

v. 482. ἐν βροτοῖς φόβος] ὁ τούτου φόβος μέγας ἐστὶν ἐν βροτοῖς.

v. 488. φιλαίτιος λεὼς] τοὺς γὰρ ἄρχοντας ἐν ταῖς τοιαύταις περιστάσεσιν εἴωθεν αἰτιᾶσθαι ὁ λαός.

v. 492. πᾶς τις εὐνοίας φέρει] ὡς καὶ πρὸς τὸν εὖ ἔχοντα ὁ φθόνος ἕρπει.

v. 495. φράστορας τε] τοὺς φράσοντας.

v. 499. οὐχ ὁμόστολος φύσις] οὐχ ὅμοιαι τοῖς ἐγχωρίοις ἐσμὲν, ὥστε λαθεῖν.

v. 501. μὴ θράσος τέκῃ] μὴ θαρσήσας μόνος ἀπελθεῖν, φοβηθῶ ὑπό τινος.

v. 504. θεῶν ἕδρας] τοὺς κατὰ τὰς ἕδρας τῶν θεῶν.

v. 505. καὶ ξυμβόλοισιν] τοῖς συντυγχάνουσιν.

v. 508. ποῦ θράσος νέμοις] ἀντὶ τοῦ παραγενομένης μου τὸ θράσος νέμοις.

v. 512. βέβηλον] τὸ πᾶσι βατὸν καὶ μὴ ἱερόν.

v. 513. πτερωτῶν] δρακόντων.

v. 531. ἄλευσον] καταπόντωσον αὐτῆν τὴν ὕβριν.

εὖ στυγήσας] ἀντὶ τοῦ δικαίως.

v. 533. ταὶν μελανοζυγάταν] τὴν ναῦν ἐν ᾗ βλαβῆ βλαβήσονται.

v. 535. παλαίφατον] πολυβόητον.

v. 537. νέωσον] ἀνανέωσον τὴν φήμην ὅτι σοῦ ἐσμεν.

v. 538. πολυμνήστωρ] πολλὴν μνήμην ἔχων γενοῦ ἐφάπτωρ τῆς Ἰοῦς.

539. δίας] τῆς δίας Αἰγύπτου, τῆς τοῦ Διὸς ἱερᾶς γῆς.

v. 541. μετέσταν] εἰς Ἄργος.

v. 542. ἀνθονόμους ἐπωπὰς] κατανομάς.

v. 543. βούχιλον] ἔνθα ἐχιλοῦτο ἡ βοῦς καὶ ἤσθιεν.

v. 544. οἴστρῳ ἐρεσσομένα] ἐλαυνομένη.

v. 545. ἁμαρτίνοος] ἀντὶ τοῦ μανεῖσα.

v. 547. ἀντίπορον] Ἀσίαν καὶ Εὐρώπην.

v. 548. ἐν αἴσα] ἐν εἱμαρμένῃ.

v. 549. πόρον κυματίαν] τὸν Βόσπορον.

v. 550. ἰάπτει δ' Ἀσίδος] λείπει ὁ καί.

v. 558. πολύπυρον αἶαν] Φοινίκην· ἣν ἱερὰν Ἀφροδίτης φησὶ διὰ Βύβλον καὶ Λίβανον.

v. 559. ἱκνεῖται] ἱκνεῖται δὲ δῖον πάμβοτον ἄλσος, τοῦ οἴστρου τῷ κέντρῳ αὐτὴν διατρυπῶντος.

v. 560. βουκόλου πτερόεντος] τοῦ μύωπος.

v. 561. πάμβοτον ἄλσος] τὴν Αἴγυπτον.

v. 562. χιονόβοσκον] φασὶ γὰρ λυομένης χιόνος παρὰ Ἰνδοῖς πληροῦσθαι αὐτόν.

v. 564. νόσοις ἄθικτον] λέγεται γὰρ ὁ ἀὴρ κουφότερος εἶναι. Ἐπεξηγήσατο δὲ τί ἐστι τὸ μένος τοῦ Τυφῶ, εἰπὼν τὸ ὕδωρ τοῦ Νείλου.

v. 568. ἔννομοι] οἰκήτορες.

v. 570. ὄψιν ἀήθη] ὄψιν ἀήθη ὁρῶντες.

v. 571. μιξόμβροτον] τερατῶδες.

v. 574. καὶ τότε δή τις] ὡς ἐν ἐρωτήσει.

v. 575. ὁ θέλξας] ὁ θεραπεύσας.

v. 577. κρέων] κραίνων.

v. 579. βία δὲ] λείπει ὁ καί.

v. 581. δακρύων δ' ἀποστάζει πένθιμον] ἐννοοῦσα ἃ πέπονθεν.

v. 583. ἕρμα] βάρος.

ἀψευδεῖ λόγῳ] καθὼς ἡ φήμη βούλεται.

v. 587. φυσίζωον γένος] τὸ γένος τῆς Ἰοῦς.

v. 591. καὶ τόδ' ἂν γένος] καὶ τὸ γένος ἡμῶν ἐξ Ἐπάφου λέγων εἶναι, τῆς ἀληθείας κυρήσεις, καὶ οὐ ψεύσῃ.

v. 595. πατὴρ φυτουργὸς] αὐτὸς ὁ πατὴρ φυτουργὸς τοῦ γένους, ὁ τῇ ἑαυτοῦ χειρὶ θεραπεύσας τὴν Ἰώ.

v. 597. πᾶν μῆχαρ] ἡ πάντων μηχανή.

v. 598. ὑπ' ἀρχᾶς] οὐχ ὑπὸ τὰς ἀρχάς δέ τινος τῶν κρεισσόνων καθήμενος, τὸ μεῖον ἔχων.

v. 600. οὗ τινος ἄνωθεν] οὐ σέβει κάτω ὢν αὐτός.

v. 601. πάρεστι δ' ἔργον] ἅμα τῷ λόγῳ ἡ πρᾶξις.

v. 602. φέρει φρὴν] εἰς τὸ συντελέσαι.

v. 607. δήμου κρατοῦσα] πότερον πλείους οἱ συμμαχοῦντες ἡμῖν, ἢ ὀλίγοι.

v. 610. δεξιωνύμοις] δεξιοῖς.

v. 611. ἔφριξεν αἰθὴρ] πυκνὰς ἔσχε τὰς ἠρμένας αὐτῷ χεῖρας.

v. 612. ἡμᾶς μετοικεῖν] τὸ ἑξῆς· ἔδοξεν ἡμᾶς μετοικεῖν.

v. 614. ἐνοίκων] πολιτῶν.

v. 615. ἐὰν δὲ προστιθῇ τὸ καρτερὸν] λείπει τὸ τίς· ἀντὶ τοῦ βίᾳ πολιτῶν.

v. 620. μήποτε] εἰς τὸν μετέπειτα χρόνον μήπως αὐξήσῃ κότον ὁ Ζεύς.

v. 621. παχῦναι] γράφεται πλατῦναι.

v. 622. διπλοῦν μίασμα] διπλοῦν καθὸ καὶ ξένους ὄντας παρορῶμεν, καὶ συγγενεῖς δειχθέντας οὐκ ἐλεοῦμεν.

v. 624. χερσὶν Ἀργεῖος] ταῖς χερσὶν ἐπέκραν, πρὶν εἰπεῖν τὸν κήρυκα, ἀράτω τὰς χεῖρας ὅτῳ ταῦτα δοκεῖ.

v. 629. ποινὰς] ἀμοιβάς.

v. 632. πρὸς ἅπαντα] βεβαίως εἰς τὸ παντελὲς φέρων αὐτάς.

v. 633. νῦν ὅτε καὶ θεοὶ] ἀντὶ τοῦ εἴποτε.

v. 635. χεούσας] χεούσης ἐμοῦ εὐκταῖα γένει, ἢ τῷ γένει.

v. 636. πυρίφατον] πυρὶ ἀναλωθεῖσαν.

v. 638. κτίσαι] ποιῆσαι.

μάχλον] τὸν εἰς τοὺς πολέμους κατωφερῆ, ἢ τὸν παλίμβολον.

v. 641. θερίζοντα] τὸν ἐν ἄλλοις ἀρότροις θερίζοντα τοὺς βροτούς.

v. 642. οὕνεκ' ᾤκτισαν ἡμᾶς] ἡ πόλις.

v. 645. ποιμνὰν] τὴν ἡμῶν σύστασιν.

ἀμέγαρτον] ἀφθόνητον, διὰ τὸ ἀτελές.

v. 646. μετ' ἀρσένων] τῶν Αἰγυπτιαδῶν.

v. 650. πράκτορά τε σκοπὸν] Διὸς σκοπόν, τὸν Διὸς ὀφθαλμὸν τὸν πάντα σκοποῦντα.

v. 654. ἐφίζει] ἐφιζάνει, γὰρ βαρύς, καὶ ἐρείπει τὸν οἶκον.

v. 655. ἅζονται γὰρ] τοῦτο συναπτέον οὐδὲ μετ' ἀρσένων.

v. 658. ἀρέσονται] εἰς ἀρέσκειαν ἄγουσιν.

v. 666. ἥβας] τὸ ἄνθος τῆς ἥβας αὐτῶν μὴ ἐκκοπείη.

v. 671. γεμόντων] πληρούσθωσαν καὶ διαπρεπέτωσαν τοῖς γέρουσιν αἱ θυμέλαι, ἢ οἱ γέροντες.

v. 674. σεβόντων] τῶν γερόντων σεβόντων τὸν Δία τὸν ξένιον ὑπερτάτως.

v. 676. ὃς πολιῷ νόμῳ] ὁ Ζεὺς τῷ ἀρχαίῳ νόμῳ τὸ ἴσον τηρεῖ.

v. 677. ἐφόρους γᾶς] βασιλεῖς.

v. 686. βοάν τε δήμιον] ἐμφύλιον μάχην, τὴν ἐπὶ τοῖς ἀπολωλόσι βοήν.

v. 687. ἀπ' ἀστῶν] ἄπωθεν τοῦ κράτους τῶν ἀστῶν.

v. 692. ἐπικραινέτω] τελεσφορῆσαι ποιείτω.

v. 693. φέρματι] γεννήματι.

πανώρῳ] κατὰ πᾶσαν ὥραν αὐξομένῳ.

v. 694. πρόνομα] πρὸ τῆς πόλεως νεμόμενα.

v. 696. ἐκ δαιμόνων] παρὰ δαιμόνων.

v. 698. Μοῦσαι θεαί τ' ἀοιδοὶ] αἱ ᾠδαί.

v. 701. φυλάσσοι τ'] ἀμετακίνητοι εἶεν αὐτοῖς αἱ τιμαί.

ἀτιμίας] ἀσφαλείας.

v. 703. εὐκοινόμητις ἀρχὰ] ἡ γὰρ ἀρχὴ ὑπὸ τῶν κοινῶν προνοουμένη, τήν τε πόλιν καὶ τὸ κοινὸν αὔξει.

v. 704. ξένοισί τε] τοῖς τε ξένοις δίκας εὐσυμβόλους διδοῖεν πρὶν ἐξοπλίζειν Ἄρη.

v. 710. τὸ γὰρ τεκόντων σέβας] Πρῶτον θεούς, δεύτερον νόμους, τρίτον δὲ τόδε, τὸ τοὺς γονεῖς τιμᾶν. Ἐχρῆν δὲ εἰπεῖν· καὶ τοὺς γονεῖς δὲ σέβειν· τὸ γὰρ τιμᾶν γονεῖς τρίτον ἐστὶ παράγγελμα δίκης.

v. 716. ἱκεταδόκου] τῆς δεξαμένης ἡμᾶς τοὺς ἱκέτας.

v. 718. στολμοί τε λαίφους] κατὰ περίφρασιν τὸ λαῖφος.

παραῤῥύσεις] ἐκτάσεις.

v. 721. καλῶς κλύουσα] οὕτως δὲ ἡμῖν κλύουσα τοῦ οἴακος οὐ φίλη ἐστί.

v. 722. νήϊοι] ναῦται.

v. 723. ἐκ πεπλωμάτων] ἐκ τῶν λευκῶν πεπλωμάτων μέλανα γυῖα φαίνονται ἔχοντες.

v. 731. ῥυσίων] ἐνεχύρων. Ἐνεχυράζοντες ἡμᾶς διά τινος ἁρπαγῆς.

v. 733. βοῇ] βοῇ νῦν τῇ βοηθείᾳ.

v. 734. ἀλκῆς] τῆς τῶν βωμῶν καταφυγῆς.

v. 738. μῆκος δ' οὐδὲν] τῆς ἡμῶν φυγῆς καὶ τῆς τούτων παρουσίας.

v. 739. περίφοβόν μ' ἔχει τάρβος] ὅσον μοι προγέγονεν ὄφελος διὰ τῆς ἐνθάδε φυγῆς τῷ δείματι νῦν παροίχεται. Ἀπιστῶ γὰρ εἰ τεύξομαι ἐπικουρίας.

v. 742. ἐπεὶ τελεία] τελεσθεῖσα.

v. 749. ἐν μεσημβρίᾳ] καλῶς ἐν ἡλίῳ γεγυμνασμένους.

v. 753. δολομήτιδες] οἱ Αἰγυπτιάδαι.

v. 754. κόρακες] Λείπει τὸ· ἁρπάζουσί με.

v. 757. εἰ σοί τε] εἰ ἀσεβήσαιεν εἰς τοὺς βωμούς.

v. 760. περίφρονες] ἀντὶ τοῦ ὑπέρφρονες.

ἀνιέρῳ] ἀσεβεῖ.

v. 763. κρείσσους κυνῶν] τοσοῦτον αὐτῶν διαφέρουσιν ὅσον λύκοι κυνῶν.

v. 764. βύβλου δὲ καρπὸς] ἐπεὶ παπυροφάγοι οἱ Αἰγύπτιοι.

v. 766. κράτος] τὴν βίαν.

v. 767. στολὴ] ὁρμή.

v. 768. οὐδ' ὅρμος] οὐδὲ ἡ ὁρμὴ ταχεῖα, οὐδὲ ἡ ἔκβασις.

οὐδὲ πεισμάτων] ἀντὶ τοῦ πείσματα σωτήρια.

v. 769. ἀγκυρουχίαις] ταῖς ἀσφαλείαις καὶ κατοχαῖς τῶν ἀγκυρῶν.

v. 770. ποιμένες] κυβερνῆται.

v. 775. θρασυνθῆναι] πρὶν καταθαῤῥῆσαι τῷ ὅρμῳ τὰς ναῦς.

in marg. ... i. e. ...

adv. ... post περ ... χειρὶ τὸ ἐντελές:

v. 777. ἄγγελον δ' οὐ μέμψεται] ἐμὲ τὸν ἀπαγγέλλοντα αὐτοῖς τὴν παρουσίαν τῶν Αἰγυπτιαδῶν.

v. 779. βουνῖτι] ὀρεινή.

ἔνδικον σέβας] δίκαια σέβεσθαι, ἢ ἣν δικαίως πάντες τιμῶσιν.

v. 781. κελαινὸν] ἀφανές.

v. 782. μέλας γενοίμαν] μεταβληθείην μὴ εἰς πτηνόν, ἀλλ' εἰς ἄψυχόν τι.

v. 788. πάλλεταί μου] ἀντὶ τοῦ τεταραγμένη ἐστίν. Ἡ μεταφορὰ ἀπὸ τῆς θαλάσσης, ἥτις ἐν τῷ ταράσσεσθαι μελαίνεται.

v. 789. πατρὸς σκοπαὶ] προσκοπήσας ὁ πατὴρ καὶ σημάνας, ἐτάραξεν ἡμᾶς:

v. 790. μορσίμου] μόρον μοι ἐπάγοντος.

v. 802. καρδίας γάμου] τοῦ γάμου δαΐκτῆρος τῆς καρδίας μου.

v. 805. ἐλευθεροῦται] ἀντὶ τοῦ ἐλευθεροῖ.

v. 808. τυχὼν] ἐμοῦ δηλονότι.

v. 809. ἀμφ' αὐτᾶς] περὶ ἐμαυτῆς.

v. 810. καὶ λυτήρια] λείπει εὕρω.

v. 811. ἴυζε δ' ὀμφὰν] ἴς ἐπεξηγήσατο ὀμφάν. Ἑαυταῖς δὲ παρακελεύονται.

v. 812. λίτανα] λιτανευτικά.

v. 813. τέλεα δέ μοι] καὶ ἐπιτελεστικά μοι καὶ λύσιμα τῶν κακῶν γινόμενα. Ἄλλως. Ἀντὶ τοῦ ἀτάραχα.

v. 818. παγκρατὲς Ζεῦ] ἰὼ πάσης γῆς κρατῶν Ζεῦ.

v. 821. διόμενοι] διώκοντες.

v. 822. μάταισι] ταῖς ζητήσεσι.

v. 824. ἐπίπαν] ἴσον ἐπὶ πάντων ζυγὸν ταλάντου.

v. 827. ὀ, ὀ, ὀ] ταῦτα μετά τινος πάθους ἀναβοῶσιν, ἐξ ἀπόπτου τοὺς Αἰγυπτιάδας ἰδοῦσαι.

v. 828. ὅδε μάρπτις] ὁ ἐλθὼν ἐπὶ τὸ μάρψαι ἡμᾶς.

ναΐος γαΐας] ὁ πρώην μὲν ἐπὶ νηός, νῦν δὲ ἐπὶ γ γεγονώς.

v. 829. τῶν πρὸ μάρπτι κάμνοις] πρότερον θάνο ὦ μάρπτι, πρὶν ἡμᾶς συλλαβεῖν.

Ἰὸφ] ἐπὶ ἀποπτυσμοῦ μίσημα. Ἀπὸ δὲ τοῦ ἀπ πτύειν ἀπόφθεγμα ἐποίησε. Διὸ δεῖ τὴν ὑστέραν δασύνει Ἔστι δὲ τοῦτο διὰ μέσου.

v. 830. κάκκας] καταβάσεις.

v. 832. ὁρῶ τάδε] οὐκέτι παρὰ τοῦ πατρὸς ἀκού σασα, ἀλλ' αὐτόπτης γενομένη βοῶ.

v. 834. φυγᾷ πρὸς ἀλκὰν] πρὸς τὴν τῶν θεῶν ἀλ κήν, τὴν ἐπὶ τῇ δόξῃ ἐπηρμένην ἀλκήν, ἔστι δὲ παρὰ τε κύδεϊ γαίων. (Homer. Iliad. A. 405.)

v. 837. προτάσσου] ὦ Πελασγέ, πρὸ ἡμῶν παράταξαι.

v. 839. ὅπως ποδῶν] ὡς ἔχετε τάχος ποδῶν.

v. 840. οὐκοῦν] ἰδίως τοῦτο, ἀντὶ τοῦ εἰ δὲ μή.

v. 849. αἵμον'] ἡμαγμένον σε καθίζω.

v. 850. ἄπιτα] ἀπιόντα, κατὰ συγκοπήν.

v. 852. ἴχαρ] ἐπιθυμίαν εἶπε τὴν ἄτην τῆς φρενός.

v. 854. λεῖφ' ἕδρανα] κατάλειπε τοὺς βωμούς.

v. 855. ἀτίετ' ἀνὰ πόλιν εὐσεβῶν] μήποτε μετέχοι τιμῆς ἐν τῇ πόλει τῶν εὐσεβῶν.

v. 857. ἀλφεσίβοιον] τὸ ζωοποιοῦν τὰ θρέμματα, ἢ ἔντιμον, μεταφορικῶς. Λέγει δὲ τοῦ Νείλου. Ἀρρενογόνον γὰρ τὸ ὕδωρ τοῦ Νείλου· ὅθεν Ζεὺς πιὼν ἔτεκεν Ἄρεα.

v. 860. βαθυχαῖος] ἡ μεγάλως εὐγενής· χαοὶ γὰρ οἱ εὐγενεῖς. Ἐγὼ ἡ βαθυχαῖος ἀναξία ταύτης τῆς βαθρείας, ὦ γέρον.

v. 862. Σὺ δὲ ναΐ, ναΐ] Σὺ δὲ θέλων καὶ μὴ θέλων ναῒ βήσῃ τάχα, βίᾳ πολλῇ κακοπαθῶν.

v. 869.

v. 869. καὶ γὰρ δυσπαλάμοις ὄλοιο] τοῦτο ἰδία, εὐκτικῶς. Ὄλοιο οὖν σὺν ταῖς μηχαναῖς.

v. 870. ἁλίῤῥυτον ἄλσος] τὸ πέλαγος.

v. 871. κατὰ Σαρπηδόνιον χῶμα] κατὰ τὴν Σαρπηδονίαν ἄκραν.

v. 874. ἴυζε καὶ λάκαζε] μάτην λήκει καὶ βόα.

v. 875. οὐχ ὑπερθορῇ] οὐκ ἐκφύγοις.

876. πικρότερ' ἀχέων] καὶ αὐτῶν ἀχέων πικρότερα ἴυζε.

v. 879. λύμασις ἡ πρὸ γᾶς] εἶς ὑπὲρ τῶν Αἰγυπτίων πρεσβεύοι.

v. 884. ἀντίστροφον] τὴν ἐξ ἀμφοτέρων τῶν μερῶν ἑλισσομένην, ὅ ἐστιν ἀμφιέλισσαν.

v. 887. βρετίεσσα] ἡ τῶν βρετέων ἐπικουρία βλάπτει με. Τοῦτο δέ φησιν, ἐπεὶ θαρσοῦσαι αὐτοῖς ἐν τῷ φανερῷ κατελήφθησαν.

v. 889. ὄναρ, ὄναρ μέλαν] μηδὲν οὖσαν.

v. 891. μᾶ γᾶ, μᾶ γᾶ] ὦ μῆτερ γῆ.

v. 893. ὦ βᾶ γᾶς παῖ Ζεῦ] Ὦ πάτερ Ζεῦ, γῆς παῖ. Ἡ αὐτὴ γὰρ Ῥέα καὶ Γῆ.

v. 895. οὐδ' ἐγήρασαν] εἰς γῆράς με ἤγαγεν.

v. 896. μαιμᾷ] ἐνθουσιᾷ.

v. 903. χιτῶνος ἔργον] τὴν ἐργασίαν τοῦ χιτῶνος.

v. 916. ὤρθωσας] εἰς ὀρθὴν ἦλθες.

v. 943. οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα] οὐκ ἐγγράφως ταῦτα εἶπον, ἀλλὰ ζώσῃ φωνῇ.

v. 947. μαρτύρων ὕπο] οὐ δεήσει μαρτύρων ἡμῖν· ὁ Ἄρης κρίνει τὸ νεῖκος. Οὐδὲ γὰρ ἄργυρον παρ' ὑμῶν λαμβάνοντες εἰρηνεύσαιμεν ἄν.

v. 954. ἐκ κριθῶν μέθυ] πρὸ γὰρ τῆς εὑρέσεω[ς] τοῦ οἴνου τοῦτο ἐξεῦρον Αἰγύπτιοι. Λέγεται δὲ μεθύ[σ]σκειν.

v. 962. καὶ μονοῤῥύθμους δόμους] ὡς πολλῶν ξέ[ν]ων ἐκεῖ οἰκούντων.

v. 966. τί τῶνδε] ἐμοῦ καὶ τῶν ἀστῶν.

v. 968. Δῖε Πελασγῶν] ὡς Δῖα γυναικῶν (Odyſſ. Σ. 207.)

v. 970. πρόνοον] τὸν πρόνοιαν ἡμῶν ποιούμενον.

v. 973. πᾶς τις ἐπειπεῖν] ἐπεὶ πᾶς ἄνθρωπός ἐστιν ἕτοιμος εἰς τὸ ψέγειν τοὺς ξένους.

v. 993. σωφρονίσμασιν πατρὸς] σωφρονεῖτε ὅπως ὁ τῶν Αἰγυπτιαδῶν ὅμιλος καταγωσθῇ ὑπὸ τῶν Ἀργείων καὶ μὴ ἡμεῖς.

v. 995. γλῶσσαν εὔτυχον] τὸ εἰπεῖν μυσαρόν τι κατὰ τῶν ξένων, εὐχερές ἐστιν.

v. 998. ἐπίστρεπτον] τὴν ἐπιστροφῆς δεομένην· ἢ τὴν ἐπιστρέφουσαν εἰς θέαν.

v. 1000. θῆρες δὲ κηραίνουσι] πάντα ἐπιθυμίᾳ δουλεύουσι.

1007. πρὸς ταῦτα μὴ πάθωμεν] μὴ ὑποπέσητε ἀνδράσιν.

v. 1029. πολύτεκνοι] πολυτεκνίας πρόξενοι.

v. 1035. θεσμὸς] ὁ τοῦ ἡμετέρου ὕμνου νόμος.

v. 1040. μετάκοινοι] κοινωνοί.

v. 1043. ἁρμονίᾳ] ἡ ἁρμονία μετέχει τῆς Ἀφροδίτης.

v. 1045. ψεδυρὰ] ὅτι πολλὰ ψεύδονται οἱ ἐρῶντες.

v. 1048. φοβοῦμαι] δέδοικα, ὅτι εὐπλοίας ἔτυχον, μὴ καὶ τοῦ γάμου τύχωσι.

v. 1055. μετὰ πολλῶν] μετὰ ἄλλων πολλῶν γάμων γυναικῶν καὶ οὗτος τελεσθήσεται.

v. 1067. μηδὲν ἀγάζειν] λίαν ἐξετάζειν.

v. 1076. δίμοιρον αἰνῶ] ἡδέως ἔχω τὸ δίμοιρον τῶν κακῶν σὺν ἑνὶ ἀγαθῷ. Ὅ ἐστι τῇ ἀπαλλαγῇ τοῦ γάμου. Πίνδαρος· (Pyth. III. 145. ſqq.) 77

Ἓν παρ' ἐσλὸν πήματα σὺν
Δύο δαίονται βροτοῖς
Ἀθάνατοι. —

indistincte versibus positis.

ΒΙΟΣ ΑΙΣΧΥΛΟΥ.

Αἰσχύλος ὁ Τραγικός, γένος μὲν ἦν Ἀθηναῖος, Ἐλευσίνιος τῶν δήμων, υἱὸς Εὐφορίωνος, Κυναιγείρου ἀδελφὸς καὶ Ἀμεινίου, ἐξ εὐπατριδῶν τὴν φύσιν ἔχων· νέος δὲ ἤρξατο τῶν τραγῳδιῶν, καὶ πολὺ τοὺς πρὸ αὐτοῦ ὑπερῆρε κατά τε τὴν ποίησιν, καὶ τὴν διάθεσιν τῆς σκηνῆς, τήν τε λαμπρότητα τῆς χορηγίας, καὶ τὴν σκευὴν τῶν ὑποκριτῶν, τήν τε τοῦ χοροῦ σεμνότητα, ὡς καὶ Ἀριστοφάνης φησίν, (Ran. 1036.)

Ἀλλ' ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνά,
Καὶ κοσμήσας τραγικὸν λῆρον. — —

Συνεχρόνισε δὲ Πινδάρῳ, γεγονὼς κατὰ τὴν τεσσαρακοστὴν Ὀλυμπιάδα. Γενναῖον δέ φασιν αὐτόν, καὶ μετασχεῖν τῆς ἐν Μαραθῶνι μάχης σὺν τῷ νεωτέρῳ ἀδελφῷ Κυναιγείρῳ,

τῆς τε ἐν Σαλαμῖνι ναυμαχίας, σὺν τῷ νεωτέρῳ ἀδελφῷ Ἀμεινίᾳ, καὶ τῆς ἐν Πλαταιαῖς πεζομαχίας. Κατὰ δὲ τὴν σύνθεσιν τῆς ποιήσεως ζηλοῖ τὸ ἁδρὸν ἀεὶ καὶ ὑπέρογκον, ὀνοματοποιΐαις τε καὶ ἐπιθέτοις, ἔτι δὲ καὶ μεταφοραῖς, καὶ πᾶσι τοῖς δυναμένοις ὄγκον τῇ φράσει περιθεῖναι, χρώμενος. Αἵ τε διαθέσεις τῶν δραμάτων οὐ πολλὰς αὐτῷ περιπετείας καὶ πλοκὰς ἔχουσιν, ὡς παρὰ τοῖς νεωτέροις. Μόνον γὰρ σπουδάζει τὸ βάρος περιτιθέναι τοῖς προσώποις, ἀρχαῖον εἶναι κρίνων τοῦτο τὸ μέρος, μεγαλοπρεπές τε καὶ ἡρωϊκόν· τὸ δὲ πανοῦργον, κομψοπρεπές τε καὶ γνωμολογικόν, ἀλλότριον τῆς τραγῳδίας ἡγούμενος· ὥστε διὰ τὸ πλεονάζειν τῷ βάρει τῶν προσώπων, κωμῳδεῖται παρὰ Ἀριστοφάνει· ἐν μὲν γὰρ τῇ Νιόβῃ, ἕως τρίτης ἡμέρας ἐπικαθημένη τῷ τάφῳ τῶν παίδων, οὐδὲν φθέγγεται ἐγκεκαλυμμένη. Ἐν δὲ τοῖς Ἕκτορος λύτροις Ἀχιλλεὺς ὁμοίως ἐγκεκαλυμμένος οὐ φθέγγεται, πλὴν ἐν ἀρχαῖς ὀλίγα πρὸς Ἑρμῆν ἀμοιβαῖα. Διὸ ἐκλογαὶ μὲν παρ' αὐτῷ τῇ κατασκευῇ διαφέρουσαι πάμπολλαι ἂν εὑρεθεῖεν· γνῶμαι δὲ ἢ συμπάθειαι, ἢ ἄλλο τι τῶν δυναμένων εἰς δάκρυα ἀγαγεῖν, οὐ πάνυ. Ταῖς τε γὰρ ὄψεσι καὶ τοῖς μύθοις πρὸς ἔκπληξιν τερατώδη μᾶλλον ἢ πρὸς ἀπάτην κέχρηται. Ἀπῆρεν δὲ ὡς Ἱέρωνα τὸν Σικελίας τύραννον, κατά τινας μὲν, ὡς ὑπὸ Ἀθηναίων κατασπουδασθεὶς, καὶ ἡσσηθεὶς νέῳ ὄντι τῷ Σοφοκλεῖ· κατὰ δὲ ἐνίους, ἐν τῷ εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας ἐλεγείῳ ἡσσηθεὶς

Σιμωνίδῃ· τὸ γὰρ ἐλεγεῖον πολὺ τῆς περὶ τὸ συμπαθὲς λε-πτότητος μετέχειν θέλει, ὃ τοῦ Αἰσχύλου, ὡς ἔφαμεν, ἐστὶν ἀλλότριον. Τινὲς δέ φασιν, ἐν τῇ ἐπιδείξει τῶν Εὐμενίδων σποράδην εἰσαγαγόντα τὸν χορόν, τοσοῦτον ἐκπλῆξαι τὸν δῆμον, ὥστε τὰ μὲν νήπια ἐκψῦξαι, τὰ δὲ ἔμβρυα ἐξαμβλωθῆναι.

Ἐλθὼν τοίνυν εἰς Σικελίαν, Ἱέρωνος τότε τὴν Αἴτνην κτίζοντος, ἐπεδείξατο τὰς Αἴτνας, οἰωνιζόμενος βίον ἀγαθὸν τοῖς συνοικοῦσι τὴν πόλιν. Καὶ σφόδρα τῷ τυράννῳ Ἱέρωνι καὶ τοῖς Γελώοις τιμηθείς, ἐπιζήσας τρίτον ἔτος, ὢν ἐτῶν πέντε πρὸς τοῖς ἑξήκοντα, τοῦτον ἐτελεύτα τὸν τρόπον. Ἀετὸς χελώνην ἁρπάσας, ὡς ἐγκρατὴς γενέσθαι τῆς ἄγρας οὐκ ἴσχυεν, ἀφίησι κατὰ πετρῶν αὐτήν, συνθλάσων τὸ δέρματος. Ἡ δὲ ἐνεχθεῖσα κατὰ τοῦ ποιητοῦ, φονεύει αὐτόν. Χρησμὸς δὲ ἦν αὐτῷ δοθεὶς οὕτως· Οὐράνιόν σε βέλος κατακτανεῖ. Ἀποθανόντα δὲ Γελῷοι πολυτελῶς ἐν τοῖς δημοσίοις μνήμασι θάψαντες, ἐτίμησαν μεγαλοπρεπῶς, ἐπιγράψαντες οὕτως,

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
  Μνῆμα καταφθίμενον πυροφόροιο Γέλας.
Ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι,
  Καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

Εἰς τὸ μνῆμα δὲ φοιτῶντες ὅσοις ἐν τραγῳδίαις ἦν ὁ βίος, ἐνήγιζόν τε καὶ τὰ δράματα ὑπεκρίνοντο. Ἀθηναῖοι

δὲ τοσοῦτον ἠγάπησαν Αἰσχύλον, ὡς ψηφίσασθαι μετὰ θάνατον αὐτοῦ, τὸν βουλόμενον διδάσκειν τὰ Αἰσχύλου, ~~χρυσὸν~~ χορὸν λαμβάνειν. Ἐβίωσε δὲ ~~ἑξήκοντα καὶ τρία~~ ξε' ἔτη, ἐν οἷς ἐποίησεν δράματα ~~ἑβδομήκοντα~~ ο', καὶ ἐπὶ τούτοις σατυρικὰ ἀμφὶ τὰ ~~πέντε~~ ε'. Νίκας δὲ τὰς πάσας εἴληφε τρεισκαίδεκα· οὐκ ὀλίγας ~~δὲ καὶ~~ μετὰ τελευτὴν νίκας ἀπηνέγκατο. *) πρῶτος Αἰσχύλος πάθεσι γεννικωτάτοις τὴν τραγῳδίαν αὔξησεν, τήν τε σκηνὴν ἐκόσμησε καὶ τὴν ὄψιν τῶν θεωμένων κατέπληξε τῇ λαμπρότητι, γραφαῖς

*) Adnotationes virorum doctorum ad hanc Aeſchyli vitam una cum varietate lectionis et additamentis in editione Robortelliana Volumini quinto hujus editionis inſerentur.

καὶ μηχαναῖς, βωμοῖς τε καὶ τάφοις, σάλπιγξιν, εἰδώλοις, ἐρινύσι, τούς τε ὑποκριτὰς χειρῖσι σκεπάσας καὶ τῷ σύρματι ἐξογκώσας μείζοσί τε τοῖς κοθόρνοις μετεωρίσας. ἐχρήσατο δὲ ὑποκριτῇ πρώτῳ μὲν Κλεάνδρῳ, ἔπειτα καὶ τὸν δεύτερον αὐτῷ προσῆψε Μυννίσκον τὸν Χαλκιδέα. τὸν δὲ τρίτον ὑποκριτὴν αὐτὸς ἐξεῦρεν, ὡς δὲ Δικαίαρχος ὁ Μεσσήνιος, Σοφοκλῆς. τὸ δὲ ἁπλοῦν τῆς δραματοποιίας εἰ μέν τις ἀπὸ τῶν μετ' αὐτὸν λογίζοιτο, φαῦλον μὲν ὑπολαμβάνοι καὶ ἀπραγμάτευτον· εἰ δὲ πρὸς τοὺς ἀνωτέρω, θαυμάσειε τῆς ἐπινοίας τὸν ποιητὴν καὶ τῆς εὑρέσεως. ὅστις δὲ δοκεῖ τελειότερος τραγῳδίας ποιητὴς Σοφοκλῆς γεγονέναι, ὀρθῶς μὲν δοκεῖ, λογιζέσθω δὲ ὅτι πολὺ χαλεπώτερον ἦν ἐπὶ Θέσπιδι Φρυνίχῳ καὶ Χοιρίλῳ εἰς τοσόνδε τοῦ μεγέθους τὴν τραγῳδίαν προαγαγεῖν ἢ ἐπὶ Αἰσχύλῳ εἰπόντα εἰς τὴν Σοφοκλέους ἐλθεῖν τελειότητα. ἐπιγέγραπται τῷ τάφῳ αὐτοῦ· ἀετοῦ ἐξ ὀνύχων βρέγμα τυπεὶς ἔθανεν. φασὶν ὑπὸ Ἱέρωνος ἀξιωθέντα ἀναδιδάξαι τοὺς Πέρσας ἐν Σικελίᾳ καὶ λίαν εὐδοκιμεῖν·

ἐκ τῆς μουσικῆς ἱστορίας·

ταύτης καὶ ἄριστος εἰς τραγῳδίαν Αἰσχύλος κρίνεται ὅτι εἰσάγει πρόσωπα μεγάλα καὶ ἀξιόχρεα. καί τινος ἄλλο τε τραγῳδίαις αὐτῷ δηλούντων οἰκονομοῦντα θεῶν καθάπερ οἱ Προμηθεῖς [illegible] τὰ γὰρ δράματα συμπληροῦσιν οἱ πρεσβύτατοι τῶν θεῶν καὶ ἔστι τὰ ἀπὸ τῆς σκηνῆς καὶ ἀπὸ ὀρχήστρας θεῖα πάντα πρόσωπα·

ἱστέον ὡς οὐ κατὰ τὸν κοινὸν λόγον ἐν Καυκάσῳ φησὶ δεδέσθαι Προμηθέα, ἀλλὰ πρὸς τοῖς Εὐρωπαίοις τέρμασι τοῦ Ὠκεανοῦ, ὡς ἀπὸ τῶν πρὸς Ἰὼ λεγομένων ἔστι συμβαλεῖν·

τῶν ποιημάτων ἃ μέν ἐστι διεξοδικὰ καὶ διηγηματικὰ καὶ ἀπαγγελτικά, ἃ δὲ δραματικὰ καὶ μιμητικά, ἃ δὲ ἐξ ἀμφοῖν· ἃ δὲ μόνον δραματικά· αὐτὰ γὰρ ~~[illegible]~~ ἐνεργεῖ καὶ ~~[illegible]~~ λέγει ἅμα τὰ πρόσωπα καὶ αὐτὰ τὸ κῦρος ἔχει. διὰ τοῦτο ἐπιγραφαὶ τῶν δραμάτων ἐπιγραφαὶ προγραφῆς τοῦ ποιητοῦ. Νιόβη Αἰσχύλου. Ὁμήρου δὲ Ἰλιὰς μικταὶ γάρ εἰσιν αἱ ποιήσεις αὐτῶν·

sequitur catalogus τῶν Αἰσχύλου δραμάτων

ΕΠΙΓΡΑΜΜΑΤΑ ΕΙΣ ΑΙΣΧΥΛΟΝ.

ΑΝΤΙΠΑΤΡΟΥ.

Ο τραγικὸν φώνημα καὶ ὀκρυόεσσαν ἀοιδὴν
Πυργώσας στιβαρῇ πρῶτος ἐν εὐεπίῃ,
Αἴσχυλος Εὐφορίωνος, Ἐλευσινίης ἑκὰς αἴης
Κεῖται, κυδαίνων σήματι Θρινακίην.

ΑΔΗΛΟΥ ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.

Αἴσχυλον ἥδε λέγει ταφίη λίθος ἐνθάδε κεῖσθαι.
Τὸν μέγαν, οἰκείης τῆλ' ἀπὸ Κεκροπίης,
Λευκὰ Γέλας Σικελοῖο παρ' ὕδατα. Τίς φθόνος ἀστῶν
Θησείδας ἀγαθῶν ἔγκοτος αἰὲν ἔχει;

ΔΙΟΣΚΟΡΙΔΟΥ ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ.

Θέσπιδος εὕρεμα τοῦτο· τὰ δ' ἀγροιῶτιν ἀν' ὕλαν
Παίγνια, καὶ κώμους τοὺς ἀτελειοτέρους [1])
Αἰσχύλος ἐξύψωσεν, ὁ μὴ σμίλευτα χαράξας [2])
Γράμματα, χειμάῤῥῳ δ' οἷα καταρδόμενα.
Καὶ τὰ κατὰ σκηνὴν μετεκαίνισεν. Ὦ στόμα πάντων
Δεξιὸν ἀρχαίων, ἦσθά τις ἡμιθέων.

---

1) Sic emendavit Brunck. Vulg. τούσδε τελειοτέρους.

2) Ex emendatione Casauboni a Brunckio probata. Vulgo legebatur Αἰσχύλος ἐψύχωσε νοήσιμα * ετα χάραξας, qua de lectione sic Stanleius: νοήσιμα ἔτα.] In aliis Libris esse dicitur νονησμια ευτα: Scribendum suspicor νοησει δευτα χαραξας Γραμματα: Sic apte sequitur χειμαῤῥῳ δ' οἷα καταρδομενα: *Literas intelligentia subactas est veluti torrente irrigatas,* id est, quae et arte et copia praestant. Pro δευτα etiam scriptum esse potuit in quibusdam μακτα, eoque pertinere vulgatum μαετα: μασσω, μακτος: μακτης ex Hesychio notissimum est: Quid Bentleji νεοσμιλευτα ad χειμαῤῥῳ καταρδομενα? *Stanl.*

ΚΑΤΑΛΟΓΟΣ

ΤΩΝ ΑΙΣΧΥΛΟΥ ΔΡΑΜΑΤΩΝ, ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

Ἀγαμέμνων, Ἀθάμας, Αἰγύπτιοι, Αἰτναῖοι γνήσιοι, Αἰτναῖοι νόθοι, Ἀμυμώνη, Ἀργεῖοι, Ἀργὼ ἢ Κωπαστής, Ἀταλάντη. Βάκχαι, Βασσάραι. Γλαῦκος ποτνιεύς. Δαναΐδες, Δικτυουργοί. Ἐλευσίνιοι, Ἐπίγονοι, Ἑπτὰ ἐπὶ Θήβαις, Εὐμενίδες. Ἠδωνοί, Ἡλιάδες, Ἡρακλεῖδαι. Θεόδωροι ἢ Ἰσθμιασταί, Θρῆσσαι. Ἱκέτιδες, Ἰξίων, Ἰφιγένεια. Κάβειροι, Καλλιστώ, Κᾶρες ἢ Εὐρώπη, Κερκύων, Κήρυκες, Κίρκη σατυρική, Κρῆσσαι. Λάϊος, Λέων, Λήμνιοι, Λυκοῦργος. Μέμνων, Μυρμιδόνες, Μυσοί. Νεανίσκοι, Νεμέα, Νηρηΐδες, Νιόβη. Ξάντριαι. Οἰδίπους, Ὅπλων κρίσις, Ὀστολόγοι. Πενθεύς. Περραιβίδες, Πέρσαι, Πηνελόπη, Πολυδέκτης, Προμηθεὺς δεσμώτης, Προμηθεὺς πυρφόρος, Προμηθεὺς λυόμενος, Προπομποί, Πρωτεύς. Σαλαμίνιοι, Σεμέλη ἢ Ὑδροφόρος, Σίσυφος δραπέτης, Σφίγξ. Τήλεφος, Τοξότιδες, Τροφοί. Ὑψιπύλη. Φιλοκτήτης, Φορκίδες, Φρύγες ἢ Ἕκτορος λύτρα, Φρύγιοι. Χοηφόροι. Ψυχαγωγία, Ψυχοστασία.

Praetermiſſae ſunt in hoc Catalogo Aeſchyli fabulae ſequentes, a Butlero ſic notatae.

ΑΙΑΣ ΛΟΚΡΟΣ. Apud Zenob.

ΑΚΤΑΙΩΝ. Citatur a Schol. Homeri Venet. p. 238.

ΑΛΚΜΗΝΗ. Apud Heſych.

ΒΑΣΣΑΡΙΔΕΣ. Eadem ac Βάσσαραι. Chorus ſcil. ex βασσάραις Bacchi ſacerdotibus conſtabat.

ΓΛΑΥΚΟΣ ΠΟΝΤΙΟΣ. Strabo. Pauſan. Arati Biographus. Schol. Theocr.

ΔΑΝΑΗ. Heſych. in καθαίρομαι γῆρας ut vult Stanl. Sed Lexicographus habet Δαναί quae Δαναΐσιν propius accedit.

ΔΙΚΤΥΟΥΛΚΟΙ. Eadem ni fallor ac δικτυοουργοὶ quae agnoſcitur in Catalogo.

ΙΛΙΟΙ. Neſcio an ſic inſcripta fuerit Aeſchyli fabula. Vitae auctarium apud Rob. Διὰ τοῦτο αἱ τῶν δραμάτων Ἐπιγραφαὶ προςγράφονται τοῦ ποιητοῦ· Νιόβη Ὁμήρου· Αἰσχύλου ἐνιλίοις, ubi nos ἐν Ἰλίοις tentavimus. Cui conjecturae fidem adſtruere videtur Ariſtoteles Art. Poet. c. 32. ed. Tyrwhitt., quamquam in loco forte corrupto. Σημεῖον δὲ ὅσοι πέρσιν Ἰλίου ὅλην ἐποίησαν, καὶ μὴ κατὰ μέρος ὥςπερ Εὐριπίδης Νιόβην, καὶ ἱμὴ ὥςπερ Αἰσχύλος ἢ ἐκπίπτουσιν, ἢ κακῶς ἀγωνίζονται. Ubi ſi corrupte Νιόβην pro Ἑκάβην ſcriptum dixeris, ſatis colligi videtur Ariſtotelem aliquam Aeſchyli fabulam de Ilii excidio ante oculos habuiſſe. Et erant ſane multae ejus Argumenti, quarum Fragmenta ad nos pervenerunt; ſcil. Ψυχοστασία, Ἕκτορος Λύτρα κ. τ. λ. ut vix definire auſim, utrum ἐν Ἰλίοις ad res apud Ilium geſtas generatim, an ad ſingularem aliquam fabulam referri debeat.

ΝΗΡΕΥΣ. Eadem fortasse ac Νηρηΐδες.
ΠΑΛΑΜΗΔΗΣ. Schol. Ven. ad Iliad. Δ. p. 120.
ΣΙΣΥΦΟΣ ΠΕΤΡΟΚΥΛΙΣΤΗΣ. Hesych. in θώψεις.
ΦΙΝΕΥΣ. Athen. X. 5. p. 421. F.
ΦΟΙΝΙΣΣΑΙ. Pollux. VII. 19.
ΩΡΕΙΘΥΙΑ. Longin. §. 3. ed. Toup.

Hactenus Butlerus.

Ceterum de his Aeschyli fabulis omnibus agitur in annotationibus ad Fragmenta quae Tomo V. editionis nostrae proxime prodituro, inserentur.

HALAE
TYPIS GEBAUERIANIS.